5 Demek ki bütün doğa düşünürleri karşıtları ilke yapıyor: hem her şeyin bir ve devinimsiz olduğunu söyleyenler (nitekim Parmenides de sıcak ile soğuğu ilke yapıyor, bunlara ateş ile toprak diyor) hem seyrek ile sıkı ilke yapanlar. Demokritos da birine 'varolan' ötekine 'varolmayan' deyip 'dolu' ile 'boş'u ilke diye alıyor; ayrıca yer, biçim, düzen açısından ayrım yapıyor; bunlar ise karşıtların cinsleri: yer, üst ile altın; ön ile arkanın; biçim, köşeli ile köşeli olmayanın, düz ile yuvarlağın cinsi. Demek herkes bir biçimde karşıtları ilke alıyor, bu açık. Üstelik de yerinde, çünkü şu gerekiyor: ilkeler ne birbirlerinden olurlar ne de başka nesnelerden, herşey onlardan olur. İlk karşıtlarda da bu özellikler bulunuyor: 'ilk' olmaları nedeniyle başka nesnelere bağlı değiller, 'karşıt'

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

4. 188ᵃ 3 — 5. 188ᵇ 19

μὴ ἐξ ἄλλων, διὰ δὲ τὸ ἐναντία μὴ ἐξ ἀλλήλων. ἀλλὰ δεῖ τοῦτο καὶ ἐπὶ τοῦ λόγου σκέψασθαι πῶς συμβαίνει. λη-
πτέον δὴ πρῶτον ὅτι πάντων τῶν ὄντων οὐθὲν οὔτε ποιεῖν πέ-
φυκεν οὔτε πάσχειν τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος, οὐδὲ γίγνεται
ὁτιοῦν ἐξ ὁτουοῦν, ἂν μή τις λαμβάνῃ κατὰ συμβεβηκός·
πῶς γὰρ ἂν γένοιτο λευκὸν ἐκ μουσικοῦ, πλὴν εἰ μὴ συμ-
βεβηκὸς εἴη τῷ μὴ λευκῷ ἢ τῷ μέλανι τὸ μουσικόν; ἀλλὰ
λευκὸν μὲν γίγνεται ἐξ οὐ λευκοῦ, καὶ τούτου οὐκ ἐκ παντὸς
ἀλλ' ἐκ μέλανος ἢ τῶν μεταξύ, καὶ μουσικὸν οὐκ ἐκ μου-
σικοῦ, πλὴν οὐκ ἐκ παντὸς ἀλλ' ἐξ ἀμούσου ἢ εἴ τι αὐτῶν
ἐστι μεταξύ. οὐδὲ δὴ φθείρεται εἰς τὸ τυχὸν πρῶτον, οἷον
τὸ λευκὸν οὐκ εἰς τὸ μουσικόν, πλὴν εἰ μή ποτε κατὰ συμ-
βεβηκός, ἀλλ' εἰς τὸ μὴ λευκόν, καὶ οὐκ εἰς τὸ τυχὸν ἀλλ'
εἰς τὸ μέλαν ἢ τὸ μεταξύ· ὡς δ' αὕτως καὶ τὸ μουσικὸν
εἰς τὸ μὴ μουσικόν, καὶ τοῦτο οὐκ εἰς τὸ τυχὸν ἀλλ' εἰς τὸ
ἄμουσον ἢ εἴ τι αὐτῶν ἐστι μεταξύ. ὁμοίως δὲ τοῦτο καὶ
ἐπὶ τῶν ἄλλων, ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων ἀλλὰ
σύνθετα κατὰ τὸν αὐτὸν ἔχει λόγον· ἀλλὰ διὰ τὸ μὴ τὰς
ἀντικειμένας διαθέσεις ὠνομάσθαι λανθάνει τοῦτο συμβαῖνον.
ἀνάγκη γὰρ πᾶν τὸ ἡρμοσμένον ἐξ ἀναρμόστου γίγνεσθαι καὶ
τὸ ἀνάρμοστον ἐξ ἡρμοσμένου, καὶ φθείρεσθαι τὸ ἡρμοσμέ-
νον εἰς ἀναρμοστίαν, καὶ ταύτην οὐ τὴν τυχοῦσαν ἀλλὰ τὴν
ἀντικειμένην. διαφέρει δ' οὐθὲν ἐπὶ ἁρμονίας εἰπεῖν ἢ τάξεως
ἢ συνθέσεως· φανερὸν γὰρ ὅτι ὁ αὐτὸς λόγος. ἀλλὰ μὴν
καὶ οἰκία καὶ ἀνδριὰς καὶ ὁτιοῦν ἄλλο γίγνεται ὁμοίως· ἥ
τε γὰρ οἰκία γίγνεται ἐκ τοῦ μὴ συγκεῖσθαι ἀλλὰ διῃρῆ-
σθαι ταδὶ ὠδί, καὶ ὁ ἀνδριὰς καὶ τῶν ἐσχηματισμένων τι

[a] 30 ἄλλων ΛPST: ἑτέρων E διὰ . . . ἀλλήλων om. J¹ 31 λη-
πτέον] σκεπτέον F¹ 32 πάντων EPS S in *de Caelo*: ἁπάντων Λ οὐθὲν
om. S 33 ἀπὸ l 35 λευκὸν FST S in *de Caelo*: τὸ λευκὸν
EIJ μουσικης F μὴ] μὴ κατὰ l 36 μὴ ES: om. ΛV S in
de Caelo 37 ἐξ οὐ EFS: οὐκ ἐξ IJ S in *de Caelo*. [b] 4 τὸ
alt. om. ΛT εἰ μὴ] εἰκῇ F: εἰ J S in *de Caelo* 5 καὶ] καὶ εἰς
μὴ λευκὸν Λ S in *de Caelo* 6 ἢ FI S in *de Caelo*: ἢ εἰς EJ δ'
om. F 7 εἰς . . . μουσικόν E²ΛV S in *de Caelo*: om. E¹ 8 τι
om. F¹ τούτω F 9 ἐπεὶ τὰ καὶ τὰ ex ἐπὶ τὰ κατὰ fecit E
11 ἀντιθέσεις F λανθάνει τοῦτο συμβαῖνον Λ S in *de Caelo*: λανθά-
νειν τοῦτο συμβαίνει E 14 οὐ F S in *de Caelo*: οὐχὶ Λ 15 δ'
om. Bekker 16 λόγος ἐστίν. ἀλλὰ l μὴν ὅτι καὶ F 18 διαι-
ρεῖσθαι F 19 τάδε l

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

olmaları nedeniyle de birbirlerine bağlı değiller.

Ne ki, bunun nasıl olduğunu uslamlama yoluyla da araştırmak gerekiyor. İlk olarak şu kabul edilmeli: varolanlardan hiçbiri ilineksel anlamda olmadıkça bir başka nesneyi rastgele etkilemez, rastgele herhangi bir nesneden de rastgele herhangi bir nesne oluşmaz. Nitekim bir "eğitimli"den 'ak' nasıl olur? Ancak şöyle: 'eğitimli', 'ak olmayan' ya da 'kara olan' için bir ilinektir. Ama 'ak' bir 'ak olmayan'dan olur, 'ak olmayan' da gelişigüzel her şey değil ya 'kara' ya da [kara ile ak] arasında bir şey. 'Eğitimli' de 'eğitimli olmayan'dan olur, ama yine her şeyden değil, 'eğitimsiz'den ya da bunların [eğitimli ile eğitimsiz] arası bir şey varsa ondan. Yokolmada da ilk özellik rastgele bir şey haline gelmez: sözgelişi 'ak', 'eğitimli' haline gelmez -ancak bu ilineksel anlamda olur-, ama 'ak olmayan' haline gelir ve yine rastgele bir şey değil de 'kara' ya da "ak-kara arası' [bir başka renk]. Aynı şekilde 'eğitimli' de 'eğitimli olmayan' haline gelir, bu da rastgele bir şey değil, 'eğitimsiz' ya da varsa 'eğittimli-eğitimsiz arası' bir şey. Bu öteki şeylerle ilgili olarak da böyle, nitekiim yalın olmayan, bileşik nesnelerde de aynı temellendirme geçerli. Amıa karşıt durumların adı olmaması nedeniyle bu sözkonusu değilmiş gibi görünebiliyor. Aslında her 'uyumlu'nun 'uyumlu olmayan'dan, 'uyumllu olmayan'ın da 'uyumlu'dan oluşması zorunlu; yine yokolmada da 'uyumlu'nun 'uyumlu olmayan' haline gelmesi zorunlu. Bu da öyle rastgele değil, karşıtı. Ama burada uyumdan, dizilişten ya da birleştirmeeden sözetmek arasında bir fark yok, aynı kuralın işlediği açık. Üstelikk bir ev, bir heykel ve bu tür bir başka şey de aynı biçimde oluşur. Niteekim ev, bazı nesnelerin belli bir biçimde 'birleştirilmeme' daha doğrusuu 'yerleştirilmeme' durumundan oluşur: heykel de 'biçimsizlik'ten 'biçimn verilen

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

ἐξ ἀσχημοσύνης· καὶ ἕκαστον τούτων τὰ μὲν τάξις, τὰ δὲ σύνθεσίς τίς ἐστιν. εἰ τοίνυν τοῦτ' ἔστιν ἀληθές, ἅπαν ἂν γίγνοιτο τὸ γιγνόμενον καὶ φθείροιτο τὸ φθειρόμενον ἢ ἐξ ἐναντίων ἢ εἰς ἐναντία καὶ τὰ τούτων μεταξύ. τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστίν, οἷον χρώματα ἐκ λευκοῦ καὶ μέλανος· ὥστε πάντ' ἂν εἴη τὰ φύσει γιγνόμενα ἢ ἐναντία ἢ ἐξ ἐναντίων.

μέχρι μὲν οὖν ἐπὶ τοσοῦτον σχεδὸν συνηκολουθήκασι καὶ τῶν ἄλλων οἱ πλεῖστοι, καθάπερ εἴπομεν πρότερον· πάντες γὰρ τὰ στοιχεῖα καὶ τὰς ὑπ' αὐτῶν καλουμένας ἀρχάς, καίπερ ἄνευ λόγου τιθέντες, ὅμως τἀναντία λέγουσιν, ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκασθέντες. διαφέρουσι δ' ἀλλήλων τῷ τοὺς μὲν πρότερα τοὺς δ' ὕστερα λαμβάνειν, καὶ τοὺς μὲν γνωριμώτερα κατὰ τὸν λόγον τοὺς δὲ κατὰ τὴν αἴσθησιν (οἱ μὲν γὰρ θερμὸν καὶ ψυχρόν, οἱ δ' ὑγρὸν καὶ ξηρόν, ἕτεροι δὲ περιττὸν καὶ ἄρτιον ἢ νεῖκος καὶ φιλίαν αἰτίας τίθενται τῆς γενέσεως· ταῦτα δ' ἀλλήλων διαφέρει κατὰ τὸν εἰρημένον τρόπον), ὥστε ταὐτὰ λέγειν πως καὶ ἕτερα ἀλλήλων, ἕτερα μὲν ὥσπερ καὶ δοκεῖ τοῖς πλείστοις, ταὐτὰ δὲ ἢ ἀνάλογον· λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας· τὰ μὲν γὰρ περιέχει, τὰ δὲ περιέχεται τῶν ἐναντίων. ταύτῃ τε δὴ ὡσαύτως λέγουσι καὶ ἑτέρως, καὶ χεῖρον καὶ βέλτιον, καὶ οἱ μὲν γνωριμώτερα κατὰ τὸν λόγον, ὥσπερ εἴρηται πρότερον, οἱ δὲ κατὰ τὴν αἴσθησιν (τὸ μὲν γὰρ καθόλου κατὰ τὸν λόγον γνώριμον, τὸ δὲ καθ' ἕκαστον κατὰ τὴν αἴσθησιν· ὁ μὲν γὰρ λόγος τοῦ καθόλου, ἡ δ' αἴσθησις τοῦ κατὰ μέρος), οἷον τὸ μὲν μέγα καὶ τὸ μικρὸν κατὰ τὸν λόγον, τὸ δὲ μανὸν καὶ τὸ πυκνὸν κατὰ τὴν αἴσθησιν. ὅτι μὲν οὖν ἐναντίας δεῖ τὰς ἀρχὰς εἶναι, φανερόν.

Ἐχόμενον δ' ἂν εἴη λέγειν πότερον δύο ἢ τρεῖς ἢ πλείους 6
εἰσίν. μίαν μὲν γὰρ οὐχ οἷόν τε, ὅτι οὐχ ἓν τὰ ἐναντία, ἀπεί-

[b] 21 τίς om. J^1 τοίνυν] δὴ F 23 εἰς EIPT S in *de Caelo*: εἰς τὰ FJ 24 χρῶμα F 26 ἐπὶ τοσοῦτον E^1PST: τούτου E^2Λ 34 οἱ δὲ P ἢ P: οἱ δὲ Λ et in ras. E^2 35 δ' om. IJ^1 37 καὶ om. F 189[a] 2 γὰρ om. S περιέχει . . . περιέχεται ΠAPS: ὑπερέχει . . . ὑπερέχεται Bonitz et fort. T 3 τε] δὲ FI 7–8 ὁ . . . μέρος om. E^1 8 μὲν om. Λ τὸ JT: om. EFI σμικρὸν I τὸν om. E^1S 9 μανὸν . . . πυκνὸν ΛVPS: πυκνὸν καὶ μανὸν E τὴν ΛS: om. E 12 μία Λ τὰ ἐναντία IJST: τὸ ἐναντίον EF

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

bir şey' olarak. Bunlardan herbiri ya bir düzen ya da bir birleştirmedir. Demek ki bu doğru ise her oluşan şeyin oluşması, her yokolan nesnenin yokolması karşıtlara ya da karşıtlar arasında olan bir şeye bağlı. Ama arada olanlar da yine karşıtlara bağlı: sözgelişi renkler ak ile karadan oluşur. Dolayısıyla doğal olarak oluşan her şey ya karşıt ya da karşıtlardan kaynaklanıyor.

Daha önce dediğimiz gibi öteki düşünürlerin çoğu buraya değin aynı görüşü paylaşıyor; nitekim hepsi, bir temellendirme yapmasalar bile öğelerin ya da adlarını onlardan alan ilkelerin karşıtlar olduğunu söylüyorlar, sanki hakikatin kendisi onları bunu demeye zorluyor. Birbirlerinden ayrıldıkları yan ise kiminin önce gelenleri, kiminin de sonra gelenleri karşıt diye alması: kimi akılca daha bilinir olanları, kimi de duyumca [daha bilinir olanları alıyor] (kimi sıcak ile soğuğu, kimi yaş ile kuruyu, kimi tek ile çifti, kimi de KİN ile DOSTLUK'u oluşun nedenleri diye öne sürüyor, bunların hepsi ise dediğimiz açıdan birbirinden farklı). Dolayısıyla hem bir bakıma aynı şeyleri söylüyorlar hem de birbirlerinden ayrılıyorlar: onların çoğuna da göründüğü gibi söyledikleri ayrı şeyler olsa da bir benzerlik açısından aynı şeyler, çünkü dayanakları aynı ilgi: yani kimi karşıtlar kaplam kimi de içlem. İşte bunun için hem aynı hem de ayrı; hem daha iyi hem de daha kötü. Daha önce de dediğimiz gibi kiminki akılca daha bilinir, kimininki duyumca (tümel akılca, tekil duyumca bilinir olan; kavram tümele ilişkin, duyumsa tekile). Sözgelişi: büyük ile küçük akılla ilgili, ince ile kalın duyumla. İmdi karşıtların ilke olmaları gerekiyor, bu açık.

6 Şimdi yapacağımız, acaba ilkeler iki mi, üç mü yoksa daha çok mu, bunu söylemek olsa gerek; çünkü tek ilke olması olanaksız, karşıtlar bir tek değil. İlkeler sonsuz sayıda da olamaz, çünkü

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

5. 188b 20 — 6. 189b 5

ρους δ', ὅτι οὐκ ἐπιστητὸν τὸ ὂν ἔσται, μία τε ἐναντίωσις ἐν παντὶ γένει ἐνί, ἡ δ' οὐσία ἕν τι γένος, καὶ ὅτι ἐνδέχεται ἐκ πεπερασμένων, βέλτιον δ' ἐκ πεπερασμένων, ὥσπερ Ἐμπεδοκλῆς, ἢ ἐξ ἀπείρων· πάντα γὰρ ἀποδιδόναι οἴεται ὅσαπερ Ἀναξαγόρας ἐκ τῶν ἀπείρων. ἔτι δὲ ἔστιν ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ γίγνεται ἕτερα ἐξ ἀλλήλων, οἷον γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν, τὰς δὲ ἀρχὰς ἀεὶ δεῖ μένειν.

ὅτι μὲν οὖν οὔτε μία οὔτε ἄπειροι, δῆλον ἐκ τούτων· ἐπεὶ δὲ πεπερασμέναι, τὸ μὴ ποιεῖν δύο μόνον ἔχει τινὰ λόγον· ἀπορήσειε γὰρ ἄν τις πῶς ἢ ἡ πυκνότης τὴν μανότητα ποιεῖν τι πέφυκεν ἢ αὕτη τὴν πυκνότητα. ὁμοίως δὲ καὶ ἄλλη ὁποιαοῦν ἐναντιότης· οὐ γὰρ ἡ φιλία τὸ νεῖκος συνάγει καὶ ποιεῖ τι ἐξ αὐτοῦ, οὐδὲ τὸ νεῖκος ἐξ ἐκείνης, ἀλλ' ἄμφω ἕτερόν τι τρίτον. ἔνιοι δὲ καὶ πλείω λαμβάνουσιν ἐξ ὧν κατασκευάζουσι τὴν τῶν ὄντων φύσιν. πρὸς δὲ τούτοις ἔτι κἂν τόδε τις ἀπορήσειεν, εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν· οὐθενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τἀναντία, τὴν δ' ἀρχὴν οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί τινος. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς· τὸ γὰρ ὑποκείμενον ἀρχή, καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι. ἔτι οὐκ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ· πῶς οὖν ἐκ μὴ οὐσιῶν οὐσία ἂν εἴη; ἢ πῶς ἂν πρότερον μὴ οὐσία οὐσίας εἴη; διόπερ εἴ τις τόν τε πρότερον ἀληθῆ νομίσειεν εἶναι λόγον καὶ τοῦτον, ἀναγκαῖον, εἰ μέλλει διασώσειν ἀμφοτέρους αὐτούς, ὑποτιθέναι τι τρίτον, ὥσπερ φασὶν οἱ μίαν τινὰ φύσιν εἶναι λέγοντες τὸ πᾶν, οἷον ὕδωρ ἢ πῦρ ἢ τὸ μεταξὺ τούτων. δοκεῖ δὲ τὸ μεταξὺ μᾶλλον· πῦρ γὰρ ἤδη καὶ γῆ καὶ ἀὴρ καὶ ὕδωρ μετ' ἐναντιοτήτων συμπεπλεγμένα ἐστίν. διὸ καὶ οὐκ ἀλόγως ποιοῦσιν οἱ τὸ

[a] 13 ὅτι οὐδὲ FJ : om. E ὂν ἔσται fecit I δὲ P 15 δὲ in ras. ii litt. E² ὥσπερ] ὡς ὁ F 16 ὅσαπερ EPSᵖ : ὥσπερ AS¹ 17 δὲ EIJ²S : om. FJ¹ γρ. E ἄλλων AVS γρ. E : ἀλλήλων E 18 πρότερα AV : πότερα E ἄλλων EVS οἷον] οἷον καὶ E : οἷον τὸ IJ 19 post καὶ pr. add. τὸ sup. lin. J¹ καὶ μέλαν om. E¹ 20 οὐδεμία οὐδὲ I 21 ἔχειν E 22 ἢ om. AT 23 τι om. I ὅμως E¹ 24 οὐ FIJ¹Pᵅ : οὔτε EJ²Pᵖ 25 οὔτε Pᵖ 28 ὑποθήσει AS : ὑποτίθησι EIJ : ὑποθήσεται FP 30 οὐ om. I 31 ὑπόκεινον E¹ 33 οὐσίαν οὐσία ἐναντίαν I πῶς ἂν οὖν IP ἂν om. P 34 τε om. E¹ 35 λόγον εἶναι S

[b] 1 διασώσειν FJS : διασῴζειν EI¹ : διασῴζων I² ὑποθεῖναι S 4 ἤδη EST : δὴ A ἐναντιότητος F 5 καὶ om. AT : expunxit E

Ücretsiz PDF Kitap Arşivi - https://rantey.org

bu durumda 'varolan' bilinecek bir şey olmayacak: nitekim her tek cinste tek karşıtlık var, oysa töz tek cins, bunun da sınırlı olanlardan olması beklenir. Dolayısıyla sonsuz sayıda olanlar yerine Empedokles'in yaptığı gibi sınırlı sayıda olanların alınması daha iyi. Zaten Empedokles, Anaksagoras'ın sonsuz sayıda ilkeyle açıkladığı herşeyi [kendi sınırlı sayıdaki ilkeleriyle] açıkladığına inanıyor. Öte yandan bazı karşıtlar ötekilere göre öncelik taşıyor ve bazıları birbirlerinden oluşuyor: sözgelişi tatlı-acı, ak-kara; oysa ilkelerin hep kalması, [kalıcılık taşıması] gerekiyor.

Demek ki, dediklerimizden çıkan şu: ilke tek değil, ilkeler sonsuz sayıda da değil. Madem sınırlı sayıda ilke var, yalnızca iki ilke olmamasının bir nedeni var demektir. Çünkü bu durumda "acaba seyreklik sıklığa mı bir etkide bulunuyor, yoksa sıklık seyrekliğe mi?" sorusu sorulsa gerek. Her ne olursa olsun öteki herbir karşıtlık için de bu böyle, nitekim DOSTLUK KİN'i gütmüyor ve ondan herhangi bir şey oluşturmuyor, KİN de DOSTLUK'tan; ama herikisi bir üçüncü şey oluşturuyor, bazıları da daha çok sayıda ilke alıp bunlardan varolanların doğasını çıkarıyor. Bunlara ek bir sorun da şu: acaba karşıt doğaların altında bulunan, bunlardan ayrı bir ilke mi öne sürülecek? İmdi varolanların hiçbirinin tözü karşıtlar olamaz, bunu görüyoruz. İlkenin bir taşıyıcıya yüklenmemesi gerekir, çünkü bu durumda ilkenin ilkesi olacak: taşıyıcı bir ilkenin, taşıyıcının kendisine yüklenenden önce varolduğu görünecek. Ayrıca bizim görüşümüz bir tözün bir başka töze karşıt olmadığı. O zaman töz olmayanlardan bir töz nasıl olabilir? Yoksa bir 'töz olmayan' bir tözden daha önce mi varolacak? İşte bunun için bizim daha önceki savımız doğru diye kabul edilecek olursa şu da zorunlu: bu heriki [karşıt] korunacaksa, bir üçüncü şey taşıyıcı olmalı. Sözgelişi her şeyin bir tek doğası olduğunu ileri sürenlerin dediği gibi su, ateş ya da bunların arasındaki şey. Daha çok da bunların arasındaki şey olsa gerek; çünkü ateş, toprak, hava, su karşıt çiftler arasına sokulmuştur. Bunun için bir başka şeyi taşıyıcı

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

ὑποκείμενον ἕτερον τούτων ποιοῦντες, τῶν δ' ἄλλων οἱ ἀέρα· καὶ γὰρ ὁ ἀὴρ ἥκιστα ἔχει τῶν ἄλλων διαφορὰς αἰσθητάς· ἐχόμενον δὲ τὸ ὕδωρ. ἀλλὰ πάντες γε τὸ ἓν τοῦτο τοῖς ἐναντίοις σχηματίζουσιν, πυκνότητι καὶ μανότητι καὶ τῷ μᾶλλον καὶ ἧττον. ταῦτα δ' ἐστὶν ὅλως ὑπεροχὴ δηλονότι καὶ ἔλλειψις, ὥσπερ εἴρηται πρότερον. καὶ ἔοικε παλαιὰ εἶναι καὶ αὕτη ἡ δόξα, ὅτι τὸ ἓν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἀρχαὶ τῶν ὄντων εἰσί, πλὴν οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' οἱ μὲν ἀρχαῖοι τὰ δύο μὲν ποιεῖν τὸ δὲ ἓν πάσχειν, τῶν δ' ὑστέρων τινὲς τοὐναντίον τὸ μὲν ἓν ποιεῖν τὰ δὲ δύο πάσχειν φασὶ μᾶλλον.

τὸ μὲν οὖν τρία φάσκειν τὰ στοιχεῖα εἶναι ἔκ τε τούτων καὶ ἐκ τοιούτων ἄλλων ἐπισκοποῦσι δόξειεν ἂν ἔχειν τινὰ λόγον, ὥσπερ εἴπομεν, τὸ δὲ πλείω τριῶν οὐκέτι· πρὸς μὲν γὰρ τὸ πάσχειν ἱκανὸν τὸ ἕν, εἰ δὲ τεττάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει χωρὶς ἑκατέρα ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν· εἰ δ' ἐξ ἀλλήλων δύνανται γεννᾶν δύο οὖσαι, περίεργος ἂν ἡ ἑτέρα τῶν ἐναντιώσεων εἴη. ἅμα δὲ καὶ ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς πρώτας. ἡ γὰρ οὐσία ἕν τι γένος ἐστὶ τοῦ ὄντος, ὥστε τῷ πρότερον καὶ ὕστερον διοίσουσιν ἀλλήλων αἱ ἀρχαὶ μόνον, ἀλλ' οὐ τῷ γένει· ἀεὶ γὰρ ἐν ἑνὶ γένει μία ἐναντίωσις ἔστιν, πᾶσαί τε αἱ ἐναντιώσεις ἀνάγεσθαι δοκοῦσιν εἰς μίαν. ὅτι μὲν οὖν οὔτε ἓν τὸ στοιχεῖον οὔτε πλείω δυοῖν ἢ τριῶν, φανερόν· τούτων δὲ πότερον, καθάπερ εἴπομεν, ἀπορίαν ἔχει πολλήν.

7 Ὠδ' οὖν ἡμεῖς λέγωμεν πρῶτον περὶ πάσης γενέσεως ἐπελθόντες· ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας οὕτω τὰ περὶ ἕκαστον ἴδια θεωρεῖν. φαμὲν γὰρ γίγνεσθαι ἐξ ἄλλου ἄλλο καὶ ἐξ ἑτέρου ἕτερον ἢ τὰ ἁπλᾶ λέγοντες ἢ τὰ

b6 ὑποκείμενον] περιέχον E¹ 8 γε om. P 9 πυκνότητι] οἷον πυκνότητι E²ΛT 10 ὑπεροχή τε καὶ ἔλλειψις δηλονότι F 15 ὕστερον J 16 φάναι τὰ ΛPST 19 μὲν ΛT : om. E 20 ἑκατέρα P et fecit J : ἑκατέρων ex ἑκατερ' fecit E² : ἑκατέρας FI 21 δύνανται EIJ²P : δύναται FJ¹ δύο οὖσαι EIP : om. FJ 22 ἂν et εἴη om. P 24 ἐστὶ τοῦ ὄντος om. fort. P τοῦ ὄντος om. V : ταὐτὸ E¹AS Ammonius : καὶ ταὐτὸ ci. Diels τὸ I 26 ἔστιν ἔτι πᾶσαι I δὲ FJS : om. I αἱ ES : om. Λ 27 τὸ στοιχεῖον EJPST : στοιχείον F : τῶν στοιχείων I 28 ὁπότερον IJ² 30 ἡμεῖς EJT : ἡμεῖς γε FI : om. P λέγωμεν EJVP^p : λέγομεν FIT 32 ἴδια IJS : ἰδία EF γὰρ] δὴ VP 33 ἐξ om. J

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

olarak koyanların, ötekilerin içinde ise hava diyenlerin görüşü akla yakın. Çünkü hava ötekiler içinde en az duyulur farklılıklar taşıyanı. Sonra su gelse gerek. Ama hepsi 'bir'i [ilkeyi] karşıtlıklarla biçimlendiriyor: 'sıklık-seyreklik-', 'daha çok-daha az' ile. Bunlarsa daha önce dediğimiz gibi genelde açıkça aşırılık ile eksiklik. 'Bir' ile 'aşırılık-eksiklik' varolanların ilkesidir, görüşünün de oldukça eski olduğu görünüyor; ancak temellendirme tarzları aynı değil: daha eskiler 'iki'yi etkin 'bir'i edilgin olarak ele alıyor, daha sonraki düşünürlerden bazıları[6] ise tam tersi, daha çok 'bir'i etkin, 'iki'yi, [karşıtları] edilgin diye öne sürüyorlar.

Demek bunlardan ve buna benzer başka temellendirmelerden göründüğü kadarıyla dediğimiz gibi öğelerin üçten hiç de çok değil, üç tane olduğunu ileri sürmenin bir nedeni var. Nitekim edilginlikle ilgili olarak 'bir' yeterli ama, dört tane olsalar iki karşıtlık olacak, böylece herbir karşıt için onların dışında arada bulunan bir başka doğanın bulunması gerekecek; karşıt çiftler, iki töz olmalarına karşın birbirlerinden oluşabilseler karşıtlıklardan biri fazla olacak. Aynı zamanda ilk karşıtlığın çokluk olması olanaksız, çünkü töz bir tek varolan cinsidir, dolayısıyla ilkeler cins açısından değil, yalnızca daha önce ve daha sonra olmaları açısından birbirlerinden farklı olacaklar, çünkü tek cins içinde her zaman tek karşıtlık vardır; ayrıca bütün karşıtların tek bir karşıtlığa indirgendiği görünmektedir. Demek ki temel öğe ne bir ne de iki; üçten çok da değil, bu açık. Ama bunlardan hangisi? dediğimiz gibi burada büyük bir çıkmaz var.

7 Bu şekilde ilerleyerek ilkin oluşun bütünü üzerine konuşalım: çünkü önce genel olanları söylemek, sonra tekler üzerinde özel durumlara bakmak doğal. İster yalın nesnelerden sözedelim ister bileşik, "bir nesne bir başka nesneden, bir nesne değişik bir

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

6. 189ᵇ 6 — 7. 190ᵃ 24

συγκείμενα. λέγω δὲ τοῦτο ὡδί. ἔστι γὰρ γίγνεσθαι ἄνθρωπον μουσικόν, ἔστι δὲ τὸ μὴ μουσικὸν γίγνεσθαι μουσικὸν ἢ τὸν μὴ μουσικὸν ἄνθρωπον ἄνθρωπον μουσικόν. ἁπλοῦν μὲν οὖν λέγω τὸ γιγνόμενον τὸν ἄνθρωπον καὶ τὸ μὴ μουσικόν, καὶ ὃ γίγνεται ἁπλοῦν, τὸ μουσικόν· συγκείμενον δὲ καὶ ὃ γίγνεται καὶ τὸ γιγνόμενον, ὅταν τὸν μὴ μουσικὸν ἄνθρωπον φῶμεν γίγνεσθαι μουσικὸν ἄνθρωπον. τούτων δὲ τὸ μὲν οὐ μόνον λέγεται τόδε γίγνεσθαι ἀλλὰ καὶ ἐκ τοῦδε, οἷον ἐκ μὴ μουσικοῦ μουσικός, τὸ δ' οὐ λέγεται ἐπὶ πάντων· οὐ γὰρ ἐξ ἀνθρώπου ἐγένετο μουσικός, ἀλλ' ἄνθρωπος ἐγένετο μουσικός. τῶν δὲ γιγνομένων ὡς τὰ ἁπλᾶ λέγομεν γίγνεσθαι, τὸ μὲν ὑπομένον γίγνεται τὸ δ' οὐχ ὑπομένον· ὁ μὲν γὰρ ἄνθρωπος ὑπομένει μουσικὸς γιγνόμενος ἄνθρωπος καὶ ἔστι, τὸ δὲ μὴ μουσικὸν καὶ τὸ ἄμουσον οὔτε ἁπλῶς οὔτε συντεθειμένον ὑπομένει. 13

διωρισμένων δὲ τούτων, ἐξ ἁπάντων τῶν γιγνομένων τοῦτο 13 ἔστι λαβεῖν, ἐάν τις ἐπιβλέψῃ ὥσπερ λέγομεν, ὅτι δεῖ τι ἀεὶ ὑποκεῖσθαι τὸ γιγνόμενον, καὶ τοῦτο εἰ καὶ ἀριθμῷ ἔστιν 15 ἕν, ἀλλ' εἴδει γε οὐχ ἕν· τὸ γὰρ εἴδει λέγω καὶ λόγῳ ταὐτόν· οὐ γὰρ ταὐτὸν τὸ ἀνθρώπῳ καὶ τὸ ἀμούσῳ εἶναι. καὶ τὸ μὲν ὑπομένει, τὸ δ' οὐχ ὑπομένει· τὸ μὲν μὴ ἀντικείμενον ὑπομένει (ὁ γὰρ ἄνθρωπος ὑπομένει), τὸ μὴ μουσικὸν δὲ καὶ τὸ ἄμουσον οὐχ ὑπομένει, οὐδὲ τὸ ἐξ ἀμφοῖν συγκείμενον, οἷον 20 ὁ ἄμουσος ἄνθρωπος. τὸ δ' ἔκ τινος γίγνεσθαί τι, καὶ μὴ τόδε γίγνεσθαί τι, μᾶλλον μὲν λέγεται ἐπὶ τῶν μὴ ὑπομενόντων, οἷον ἐξ ἀμούσου μουσικὸν γίγνεσθαι, ἐξ ἀνθρώπου δὲ οὔ· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῶν ὑπομενόντων ἐνίοτε λέγεται ὡσαύ-

ᵇ 34 γαρ] γαρ που l : γαρ τουτο J 35 μουσικον pr. EVPST : μουσικόν τι Λ 190ᵃ 1 απλουν μεν ουν ΛP : om. E 2 τον om. P τον P 4 τον] το E¹ 5 μουσικον FIS : ἢ μουσικόν E : ἢ μουσικον ἢ μουσικον J ἄνθρωπον om. FT 6 τόδε E¹VPSPT : τόδε τι E²ΛS⁶ τοῦδε FIJ²PT : τουτου EJ¹ 7 οὐ γὰρ lVS : οἷον EF et fort. J¹ : οὔτε γαρ J² 8 μουσικόν J ἄνθρωπος scripsi : ἄνθρωπος E : ὁ ἄνθρωπος Λ 11 μὴ FJVT et sup. lin. E² : δὴ I : om. E¹ 12 συντιθέμενον E 15 καὶ alt. EIST : om. FJ 16 ἀλλ' οὐκ εἴδει ἓν I τῷ F 17 οὐ γαρ ταὐτον E²ΛS S in *de Caelo* : om. E¹ τὸ pr. om. ΛT S in *de Caelo* τὸ alt.] τῷ I 19 ὑπομένει pr. ΛV S in *de Caelo* : αὐτῷ ὑπομένει E μὴ . . . τὸ] δὲ S in *de Caelo* μὴ F et fort. PST : om. EIJ δὲ καὶ τὸ in spatio iii litt. E² : καὶ τὸ F 21 ὁ om. EJ τι . . . 22 γίγνεσθαί E²ΛVP : om. E¹ 21 μὴ] τα μὴ E² : μετὰ vel μὴ ὡς μετὰ Laas 22 τι om. E¹J²VP 24 οὐ μην ἀλλα] ἀλλα μὴν E²IJF

İstanbul Kitap Arsivi - https://rantey.org

nesneden oluşuyor" deriz. Bununla kastettiğim şu: "bir insan eğitimli oluyor"; "eğitimli olmayan eğitimli oluyor" ya da "eğitimli olmayan insan eğitimli oluyor" önermelerini alalım: burada yalın dediğim, oluşan açısından 'insan' ile 'eğitimli olmayan'; oluşan nesne açısından yalın olan dediğim ise 'eğitimli'. Bileşik olansa "eğitimli olmayan insan eğitimli oluyor" dediğimizde hem olunan hem de oluşan nesne. Bunların bazılarında yalnızca 'belli bir nesnenin oluştuğu' değil, 'neden oluştuğu da' söylenmektedir: sözgelişi 'eğitimli olmayandan eğitimli'; ama bu her durumda söylenmez, çünkü 'bir eğitimli', 'bir insandan' oluşmamıştır, bir insan eğitimli olmuştur. Yalın olarak oluştuğunu söylediğimiz nesneler içinde kimi, oluşma sürecinde kendini korur, kimiyse korumaz. Nitekim insan, eğitimli insan olunca da yine insan olarak kalıyor ama 'eğitimli olmayan' ve 'eğitimsiz' ne yalın olarak ne de bileşik olarak kalıyor.

Bunlar belirlendikten sonra, dediğimiz gibi bakılınca bütün oluşanlardan şunu çıkarmak olanaklı: her zaman bir şeyin oluşan olarak taşıyıcı olması gerekiyor ve bu da sayıca bir olsa bile biçimce kesinlikle bir değil - 'biçimce' ve 'kavramca' ile aynı şeyi kastediyorum-. İnsan olmak ile eğitimsiz olmak aynı şey değil ve biri kalıyor, öteki kalmıyor. Çelişkili olmayan kalıyor (insan kalıyor), 'eğitimli olmayan' ile 'eğitimsiz' ise kalmıyor; her ikisinden bileşik olan da, yani 'eğitimsiz insan' da kalmıyor. 'Belli bir şeyin bir şey olması' değil, 'bir şeyden bir şeyin olması' daha çok [oluşma sonrasında] kalmayanlarda sözkonusu. Sözgelişi bir eğitimli, bir insandan değil, bir eğitimsizden olur. Ama kimi zaman kalanlarda da

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

25 τως· ἐκ γὰρ χαλκοῦ ἀνδριάντα γίγνεσθαί φαμεν, οὐ τὸν χαλκὸν ἀνδριάντα. τὸ μέντοι ἐκ τοῦ ἀντικειμένου καὶ μὴ ὑπομένοντος ἀμφοτέρως λέγεται, καὶ ἐκ τοῦδε τόδε καὶ τόδε τόδε· καὶ γὰρ ἐξ ἀμούσου καὶ ὁ ἄμουσος γίγνεται μουσικός. διὸ καὶ ἐπὶ τοῦ συγκειμένου ὡσαύτως· καὶ γὰρ ἐξ ἀμού-
30 σου ἀνθρώπου καὶ ὁ ἄμουσος ἄνθρωπος γίγνεσθαι λέγεται μουσικός. πολλαχῶς δὲ λεγομένου τοῦ γίγνεσθαι, καὶ τῶν μὲν οὐ γίγνεσθαι ἀλλὰ τόδε τι γίγνεσθαι, ἁπλῶς δὲ γίγνεσθαι τῶν οὐσιῶν μόνον, κατὰ μὲν τἆλλα φανερὸν ὅτι ἀνάγκη ὑποκεῖσθαί τι τὸ γιγνόμενον (καὶ γὰρ ποσὸν καὶ ποιὸν καὶ
35 πρὸς ἕτερον [καὶ ποτὲ] καὶ ποὺ γίγνεται ὑποκειμένου τινὸς διὰ τὸ μόνην τὴν οὐσίαν μηθενὸς κατ' ἄλλου λέγεσθαι ὑποκειμένου,
190b τὰ δ' ἄλλα πάντα κατὰ τῆς οὐσίας)· ὅτι δὲ καὶ αἱ οὐσίαι καὶ ὅσα [ἄλλα] ἁπλῶς ὄντα ἐξ ὑποκειμένου τινὸς γίγνεται, ἐπισκοποῦντι γένοιτο ἂν φανερόν. ἀεὶ γὰρ ἔστι ὃ ὑπόκειται, ἐξ οὗ τὸ γιγνόμενον, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα ἐκ
5 σπέρματος. γίγνεται δὲ τὰ γιγνόμενα ἁπλῶς τὰ μὲν μετασχηματίσει, οἷον ἀνδριάς, τὰ δὲ προσθέσει, οἷον τὰ αὐξανόμενα, τὰ δ' ἀφαιρέσει, οἷον ἐκ τοῦ λίθου ὁ Ἑρμῆς, τὰ δὲ συνθέσει, οἷον οἰκία, τὰ δ' ἀλλοιώσει, οἷον τὰ τρεπόμενα κατὰ τὴν ὕλην. πάντα δὲ τὰ οὕτω γιγνόμενα
10 φανερὸν ὅτι ἐξ ὑποκειμένων γίγνεται. ὥστε δῆλον ἐκ τῶν εἰρημένων ὅτι τὸ γιγνόμενον ἅπαν ἀεὶ συνθετόν ἐστι, καὶ ἔστι μέν τι γιγνόμενον, ἔστι δέ τι ὃ τοῦτο γίγνεται, καὶ τοῦτο διττόν· ἢ γὰρ τὸ ὑποκείμενον ἢ τὸ ἀντικείμενον. λέγω δὲ ἀντικεῖσθαι μὲν τὸ ἄμουσον, ὑποκεῖσθαι δὲ τὸν ἄνθρωπον, καὶ τὴν
15 μὲν ἀσχημοσύνην καὶ τὴν ἀμορφίαν καὶ τὴν ἀταξίαν τὸ ἀντικείμενον, τὸν δὲ χαλκὸν ἢ τὸν λίθον ἢ τὸν χρυσὸν τὸ ὑπο-

[a] 28 ὁ om. J 30 ὅ om. FS λέγεται γίγνεσθαι I 31 δὲ EIJPS: δὴ F et ut vid. T 33 μόνον EFJP[2]: μόνων IP[1] et fort. S 34 τὸ τι S 35 πρός τι ἕτερον P καὶ ποτὲ seclusi: om. fort. PT [b] 1 αἱ οὐσίαι EFVT S in *de Caelo*: οὐσίαι J[1]: ἡ οὐσία J[2]PS: οὐσία I 2 ἄλλα seclusi: om. fort. T: habent ΠPS S in *de Caelo* ἐξ . . . τινὸς FIJ[2]P S in *de Caelo*: erasit E in litura fere 38 litt.: om. J[1] 3 γίνοιτο J 4 οὗ γίγνεται τὸ Λ S in *de Caelo* 5 τὰ pr. sup. lin. E[1] 6 ἀνδριὰς EFJ[1]PST: ἀνδριὰς ἐκ χαλκοῦ IJ[2]V 7 ὁ om. E 9 κατὰ (καὶ κατὰ E) τὴν ὕλην ΠVS: secludenda ci. Hamelin 11 ἅπαν EIJ[2]PT: om. FJ[1] 12 τι] τὸ E[1]: τι τὸ JP: τοι I τι om. JP 13 γὰρ om. P 15 καὶ τὴν alt. EVT: ἢ Λ

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

böyle söylenir: nitekim "bronzdan bir heykel oldu" deriz ama "bronz, heykel oldu" demeyiz. Bir karşıtlıktan ve bir kalmayandan bir oluş sözkonusu olduğunda heriki kullanım da olanaklı: hem "şundan şu oldu" hem de "şu, şu oldu". Nitekim hem eğitimsizden eğitimli olur hem de eğitimsiz, eğitimli olur. Bunun için bileşikte de bu böyle: hem "eğitimsiz insandan eğitimli oldu" hem de "eğitimsiz insan eğitimli oldu" denir. 'Oluşmak' çok anlamda kullanıldığına göre ve gelişigüzel nesnelerin değil, belli bir nesnenin oluştuğu söylendiğine göre mutlak anlamda oluşmak yalnızca tözlere özgüdür. Öteki şeylerde bir şeyin oluşan olarak taşıyıcı olması zorunlu, bu açık (nitekim bir nicelik, bir nitelik, bir başka şeyle ilgi, <bir zaman> ve bir yer [değişikliği] bir taşıyıcıda oluşur; çünkü yalnızca töz bir başka taşıyıcıya yüklenmez, bütün ötekiler töze yüklenir). İyi bir araştırmacı için şu da açık olsa gerek: tözler ve mutlak anlamda varolan bütün öteki nesneler bir taşıyıcıdan oluşur, çünkü her zaman oluşan nesnenin ondan oluştuğu bir şey var. Sözgelişi bitkiler, hayvanlar tohumdan oluşur. Genel olarak oluşanlardan kimi şekil değişikliği ile oluşur, sözgelişi heykel; kimi eklentiyle, sözgelişi büyüyen nesneler; kimi eksilmeyle, sözgelişi taştan Hermes heykeli; kimi birleştirmeyle, sözgelişi bir ev; kimi de nitelik değişikliğiyle, sözgelişi maddedeki değişmeler. Bu şekilde oluşanların hepsinin taşıyıcılardan oluştuğu açık. Dolayısıyla söylediklerimizden çıkan şu: oluşan her şey her zaman bir bileşiktir: bir oluşan bir şey, bir de bu oluşan nesne haline gelen bir şey var: bu oluşan da ikili: ya taşıyıcı ya da karşıt. Karşıt olmakla 'eğitimsiz'i; taşıyıcı olmakla 'insan'ı kastediyorum; şekil almamışlığı, biçimden bağımsızlığı, düzenden bağımsızlığı karşıtlık olarak; bronzu, taşı ya da altını taşıyıcı olarak anlıyorum.

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

7. 190ª 25 — 191ª 6

κείμενον. 17

φανερὸν οὖν ὡς, εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν 17
φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσὶ καὶ γεγόνασι μὴ κατὰ
συμβεβηκὸς ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν, ὅτι
γίγνεται πᾶν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς· σύγ- 20
κειται γὰρ ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀνθρώπου καὶ μουσικοῦ
τρόπον τινά· διαλύσεις γὰρ [τοὺς λόγους] εἰς τοὺς λόγους τοὺς
ἐκείνων. δῆλον οὖν ὡς γίγνοιτ' ἂν τὰ γιγνόμενα ἐκ τούτων. ἔστι
δὲ τὸ μὲν ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο (ὁ μὲν γὰρ
ἄνθρωπος καὶ ὁ χρυσὸς καὶ ὅλως ἡ ὕλη ἀριθμητή· τόδε 25
γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίγνεται
τὸ γιγνόμενον· ἡ δὲ στέρησις καὶ ἡ ἐναντίωσις συμβεβηκός)·
ἓν δὲ τὸ εἶδος, οἷον ἡ τάξις ἢ ἡ μουσικὴ ἢ τῶν ἄλλων τι
τῶν οὕτω κατηγορουμένων. διὸ ἔστι μὲν ὡς δύο λεκτέον εἶναι
τὰς ἀρχάς, ἔστι δ' ὡς τρεῖς· καὶ ἔστι μὲν ὡς τἀναντία, 30
οἷον εἴ τις λέγοι τὸ μουσικὸν καὶ τὸ ἄμουσον ἢ τὸ θερμὸν καὶ
τὸ ψυχρὸν ἢ τὸ ἡρμοσμένον καὶ τὸ ἀνάρμοστον, ἔστι δ' ὡς οὔ·
ὑπ' ἀλλήλων γὰρ πάσχειν τἀναντία ἀδύνατον. λύεται δὲ
καὶ τοῦτο διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκείμενον· τοῦτο γὰρ οὐκ
ἐναντίον. ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά, 35
ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ, οὔτ' αὖ παντελῶς δύο διὰ
τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐτοῖς, ἀλλὰ τρεῖς· ἕτερον γὰρ 191ª
τὸ ἀνθρώπῳ καὶ τὸ ἀμούσῳ εἶναι, καὶ τὸ ἀσχηματίστῳ
καὶ χαλκῷ. 3

πόσαι μὲν οὖν αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυ- 3
σικῶν, καὶ πῶς ποσαί, εἴρηται· καὶ δῆλόν ἐστιν ὅτι δεῖ ὑπο-
κεῖσθαί τι τοῖς ἐναντίοις καὶ τἀναντία δύο εἶναι. τρόπον δέ 5
τινα ἄλλον οὐκ ἀναγκαῖον· ἱκανὸν γὰρ ἔσται τὸ ἕτερον τῶν

[b] 18 πρώτων EFIS et sup. lin. J^2 : πρώτου ex πρῶτον fecit J^2 καὶ FIJ¹T ; ἢ EJ²VPS 20 ἅπαν I : πάντα P : om. J 22 τοὺς λόγους secl. Diels : om. fort. PS : τοὺς ὅρους E λόγους] ὅρους γρ. P τοὺς om. P 23 ἐκείνου I 24 μὲν pr. E¹JPS : om. E²FIT 25 ἡ ΔPST : om. E ἀριθμητή ΠPST : ἡ ἀρρυθμιστος Bonitz 26 γάρ τι EIJPS : τι γὰρ F : τι Bonitz 27 ἡ δὲ . . . συμβεβηκός om. I συμβέβηκεν P 30 τὰς ἀρχάς ΛVPS : om. E 32 τὸ tert. om. E 36 αὖ om. P 191ª 2 τὸ EP : τῷ Λ τὸ EJP : τῷ FI ante εἶναι add. τὸ FI et sup. lin. E¹ : om. JP τῷ ΛS 3 οὖν ΔPS S in *de Caelo* : οὖν εἰσὶν ET αἱ EFS S in *de Caelo* : om. IJT περὶ γένεσιν ΠPST : an omittenda ? 4 καὶ πῶς ποσαί om. P ποσαί scripsi : πόσαι edd. εἴρηται ΔPT : εἴρηνται E ἔσται F τι ὑποκεῖσθαι F 6 post τινα expunxit E ἐστιν ἐστι S[c]

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

İmdi doğa gereği varolanların nedenleri ve ilkeleri, bu nesnelerin ilkin ilineksel olmayan anlamda onlardan oldukları ve oluştukları şeylerse, diyesim töze göre söylenen herbir şey ise şu açık: her nesne hem taşıyıcıdan hem de biçimden (morphe) oluşur. Nitekim eğitimli insan, belli bir tarzdaki 'insan' ile 'eğitimli'den kurulmuştur. Nitekim [bileşik nesnenin] kavramı bunların kavramına dönüşür. Demek varolanların bunlardan oluştuğu açık. Taşıyıcı sayıca bir, ama türce iki (insan, altın ve genelde sayılabilir madde daha çok belli bir nesnedir; oluşan bundan ilineksel olarak oluşmaz; yoksunluk ve karşıtlık ise ilinek). Biçim ise tek anlamlı: sözgelişi 'düzen', 'eğitim' ya da bu tür yüklenenlerden herbiri. Bunun için kimi kez iki ilkenin, kimi kezse üç ilkenin olduğunu söylemek gerekiyor. Karşıtların da ilke olması, sözgelişi eğitimli-eğitimsiz, sıcak-soğuk ya da uyumlu-uyumsuz dense, hem sözkonusu hem de değil. Çünkü karşıtların birbirlerinden etkilenmesi olanaksız. Ama bu da taşıyıcının bir başka şey olması ile çözümlenir, çünkü bu karşıtlardan biri değil. Dolayısıyla sayıca söylendikte, ilkeler bir anlamda sayıca karşıtların sayısından çok değil, iki; ama yine de hepsi iki değil, üç; çünkü bunlarda varolmak 191 değişik olarak bulunuyor. Nitekim insan olmak ile eğitimsiz olmak ve biçimden bağımsız olmakla bronz olmak farklı şey.

Doğal nesnelerin oluşunda kaç ilke olduğunu ve bu sayıyı nasıl anlamak gerektiğini söylemiş olduk. Şu da açık: karşıtlarda bir şeyin taşıyıcı olması ve karşıtların iki tane olması gerekiyor. Ama bir başka tarzda bu zorunlu değil, çünkü karşıtlardan birinin yokluğuyla

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

ἐναντίων ποιεῖν τῇ ἀπουσίᾳ καὶ παρουσίᾳ τὴν μεταβολήν. ἡ δὲ ὑποκειμένη φύσις ἐπιστητὴ κατ' ἀναλογίαν. ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς κλίνην ξύλον ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν [ἡ ὕλη καὶ] τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν. μία μὲν οὖν ἀρχὴ αὕτη, οὐχ οὕτω μία οὖσα οὐδὲ οὕτως ὂν ὡς τὸ τόδε τι, μία δὲ ἧς ὁ λόγος, ἔτι δὲ τὸ ἐναντίον τούτῳ, ἡ στέρησις. ταῦτα δὲ πῶς δύο καὶ πῶς πλείω, εἴρηται ἐν τοῖς ἄνω. πρῶτον μὲν οὖν ἐλέχθη ὅτι ἀρχαὶ τἀναντία μόνον, ὕστερον δ' ὅτι ἀνάγκη καὶ ἄλλο τι ὑποκεῖσθαι καὶ εἶναι τρία· ἐκ δὲ τῶν νῦν φανερὸν τίς ἡ διαφορὰ τῶν ἐναντίων, καὶ πῶς ἔχουσιν αἱ ἀρχαὶ πρὸς ἀλλήλας, καὶ τί τὸ ὑποκείμενον. πότερον δὲ οὐσία τὸ εἶδος ἢ τὸ ὑποκείμενον, οὔπω δῆλον. ἀλλ' ὅτι αἱ ἀρχαὶ τρεῖς καὶ πῶς τρεῖς, καὶ τίς ὁ τρόπος αὐτῶν, δῆλον. πόσαι μὲν οὖν καὶ τίνες εἰσὶν αἱ ἀρχαί, ἐκ τούτων θεωρεῖσθωσαν.

Ὅτι δὲ μοναχῶς οὕτω λύεται καὶ ἡ τῶν ἀρχαίων 8
ἀπορία, λέγωμεν μετὰ ταῦτα. ζητοῦντες γὰρ οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν καὶ τὴν φύσιν τῶν ὄντων ἐξετράπησαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρίας, καί φασιν οὔτε γίγνεσθαι τῶν ὄντων οὐδὲν οὔτε φθείρεσθαι διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίγνεσθαι τὸ γιγνόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος, ἐκ δὲ τούτων ἀμφοτέρων ἀδύνατον εἶναι· οὔτε γὰρ τὸ ὂν γίγνεσθαι (εἶναι γὰρ ἤδη) ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι· ὑποκεῖσθαι γάρ τι δεῖν. καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες οὐδ' εἶναι πολλά φασιν ἀλλὰ μόνον αὐτὸ τὸ ὄν.

ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν
δόξαν διὰ τὰ εἰρημένα· ἡμεῖς δὲ λέγομεν ὅτι τὸ ἐξ ὄντος

[a] 7 *παρουσία καὶ τῇ ἀπουσία* VS 8 *φύσις* ΠΤ: *ὕλη* S *ὡς* ΛST: *ὥσπερ* E 9 *τῶν ἄλλων*] *ἄλλων* F: *ἄλλο* S 10 *ἡ ὕλη καὶ* secl. Diels: om. S 11 *τὸ* om. P 13 *οὖσα*] *οὖσα ὂν* E *ὂν*] *ἐν* FIVP *ἧς* scripsi: *ἡ* E¹: *ἡ* E²FIPS P in *de Anima*: *ἡ* Bekker: *ἡ* Torstrik: *τὸ εἶδος ἡ* Bonitz: om. J γρ. A S in *de Caelo* 14 *δὲ* alt. om. E¹ 15 *ἄνωθεν* E *ἀρχὴ* P: *αἱ ἀρχαὶ* E¹ 21 *τρεῖς* EIJ²P: om. FJ¹ *τίς* sup. lin. E¹ 22 *θεωρεῖσθω* FJ: *θεωρήσθωσαν* I 24 *λέγωμεν* EIJV: *λέγομεν* FST 25 *τῶν* EJ²T: *τὴν τῶν* FIJ¹ 26 *ἀπειρίας* FIVPT: *ἀπορίας* EJS 31 *γενέσθαι* E²ΛPS: *γίγνεσθαι* E¹ *δεῖν* S^c Bonitz: *δεῖ* ΠPS¹T

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

ve varlığıyla değişmeyi etkilemesi yeterli olacaktır. Taşıyıcı doğa bir benzetme ile bilinebilir: tuncun heykelle, tahtanın sedirle, madde ve biçimden bağımsız nesnenin şekli olan başka nesnelerle ilgisi nasılsa, taşıyıcı doğanın da töz ile, belirli nesneyle, varolanla ilgisi aynı biçimdedir. Demek ki bu taşıyıcı doğa tek ilke, ama onun tek olması ve varolması buradaki şu belli nesneninki gibi değil; tanımın ona dayandığı şey olarak ama ayrıca bu tanıma karşıt olan, yani yoksunluk olan şey olarak teklik. Bunların ne anlamda iki, ne anlamda daha çok olduğunu ise yukarda söyledik. İmdi ilk söylenen şu: yalnızca karşıtlar ilke. İkincileyin söylenen de şu: bir başka şeyin taşıyıcı olması, dolayısıyla üç ilke olması zorunlu. Şimdi dediklerimizden ise karşıtların ayırıcı özelliğinin ne olduğu, ilkelerin birbiriyle nasıl bir ilgisinin olduğu ve taşıyıcının ne olduğu çıkıyor. Ama acaba töz biçim mi (eidos) yoksa taşıyıcı mı (hypokeimenon) bu henüz açık değil. Açık olan şu: ilkelerin üç tane olduğu, ne anlamda üç tane olduğu, bunların tarzının ne olduğu. Demek ki ilkelerin kaç tane ve neler olduğu bu kadarıyla incelenmiş oldu.

8 *Bundan sonra yalnızca bu kadarıyla eski düşünürlerin* çıkmazının da çözüldüğünü söyleyelim: nitekim hakikati ve varolanların doğasını ilk olarak felsefece araştıranlar bilgisizlik yüzünden yolu şaşırıp başka bir yoldan gittiler ve şunu ileri sürdüler: "varolanların hiçbiri ne oluşur ne de yokolur, çünkü oluşan şeyin ya varolandan ya da varolmayandan oluşması zorunlu, ama bunların herikisi de olanaksız. Çünkü varolan oluşamaz (zaten var); varolmayanlardan da hiçbir şey oluşmaz, çünkü bir şeyin taşıyıcı olması gerekir." Böylece daha da ileri gidip şunu savundular: "çokluk yok, yalnızca varolanın kendisi var."

İşte onlar bu dediklerimizden ötürü bu sanıya kapılıyorlardı. Biz ise şunu ileri sürüyoruz: "varolandan ya da varolmayandan

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

7. 191[a] 7 — 8. 191[b] 25

ἢ μὴ ὄντος γίγνεσθαι, ἢ τὸ μὴ ὂν ἢ τὸ ὂν ποιεῖν τι ἢ πάσχειν ἢ ὁτιοῦν τόδε γίγνεσθαι, ἕνα μὲν τρόπον οὐθὲν διαφέρει ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν ἢ ἐξ ἰατροῦ εἶναί τι ἢ γίγνεσθαι, ὥστ' ἐπειδὴ τοῦτο διχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ ἐξ ὄντος καὶ τὸ ὂν ἢ ποιεῖν ἢ πάσχειν. οἰκοδομεῖ μὲν οὖν ὁ ἰατρὸς οὐχ ᾗ ἰατρὸς ἀλλ' ᾗ οἰκοδόμος, καὶ λευκὸς γίγνεται οὐχ ᾗ ἰατρὸς ἀλλ' ᾗ μέλας· ἰατρεύει δὲ καὶ ἀνίατρος γίγνεται ᾗ ἰατρός. ἐπεὶ δὲ μάλιστα λέγομεν κυρίως τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν ἢ γίγνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾗ ἰατρὸς ταῦτα πάσχῃ ἢ ποιῇ ἢ γίγνηται, δῆλον ὅτι καὶ τὸ ἐκ μὴ ὄντος γίγνεσθαι τοῦτο σημαίνει, τὸ ᾗ μὴ ὄν. ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες ἀπέστησαν, καὶ διὰ ταύτην τὴν ἄγνοιαν τοσοῦτον προσηγνόησαν, ὥστε μηθὲν οἴεσθαι γίγνεσθαι μηδ' εἶναι τῶν ἄλλων, ἀλλ' ἀνελεῖν πᾶσαν τὴν γένεσιν· ἡμεῖς δὲ καὶ αὐτοί φαμεν γίγνεσθαι μὲν μηθὲν ἁπλῶς ἐκ μὴ ὄντος, πῶς μέντοι γίγνεσθαι ἐκ μὴ ὄντος, οἷον κατὰ συμβεβηκός (ἐκ γὰρ τῆς στερήσεως, ὃ ἐστι καθ' αὐτὸ μὴ ὄν, οὐκ ἐνυπάρχοντος γίγνεταί τι· θαυμάζεται δὲ τοῦτο καὶ ἀδύνατον οὕτω δοκεῖ γίγνεσθαί τι, ἐκ μὴ ὄντος)· ὡσαύτως δὲ οὐδ' ἐξ ὄντος οὐδὲ τὸ ὂν γίγνεσθαι, πλὴν κατὰ συμβεβηκός· οὕτω δὲ καὶ τοῦτο γίγνεσθαι, τὸν αὐτὸν τρόπον οἷον εἰ ἐκ ζῴου ζῷον γίγνοιτο καὶ ἐκ τινὸς ζῴου τι ζῷον· οἷον εἰ κύων (ἐκ κυνὸς ἢ ἵππος) ἐξ ἵππου γίγνοιτο. γίγνοιτο μὲν γὰρ ἂν οὐ μόνον ἐκ τινὸς ζῴου ὁ κύων, ἀλλὰ καὶ ἐκ ζῴου, ἀλλ' οὐχ ᾗ ζῷον· ὑπάρχει γὰρ ἤδη τοῦτο· εἰ δέ τι μέλλει γίγνεσθαι ζῷον μὴ κατὰ συμβεβηκός, οὐκ ἐκ ζῴου ἔσται, καὶ εἴ τι ὄν, οὐκ ἐξ ὄντος· οὐδ' ἐκ μὴ ὄντος· τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται ἡμῖν

[a] 35 μὴ pr. ET : ἐκ μὴ ΛP μὴ ὂν ἢ τὸ E²IJPT : μὴ ὂν ἢ E¹ : ὂν ἢ τὸ μὴ FS τι E²ΛPS : om. E¹ 36 ἢ om. E [b] 1 ἐξ E¹JS : τὸ ἐξ E²FI 2 διχῶς E²ΛPST : διχῶς ἢ πλεοναχῶς E¹V 3 ἢ om. F ἢ] τι ἢ FJ² 4 οὖν om. F 7 λέγομεν . . . τὸν om. J¹ 8 ταῦτα FJV : ταὐτὰ I : ταῦτα ταὐτὰ E ἢ γίγνηται om. ΛV 9 ἐκ μὴ ET : μὴ ἐξ ΛP τοῦτο EIP : καὶ τοῦτο FJV 10 μὲν om. F 13 τὴν om. E μηθὲν ES : οὐδὲν ΛP 14 ἐκ τοῦ μὴ P πῶς Cornford : ὅπως E : ὅμως Λ οἷον om. P 16 τι EIP¹ : om. FJP^p 17 τι om. P 19 τὸν] κατὰ τὸν E post ζῷον add. ἂν FI et sup. lin. E¹ : om. JP 20 καί] καὶ εἰ I ἐκ om. EJ¹P ἐκ alt. . . . 21 ἵππου Laas : ἐξ ἵππου ΠPST : ἢ ἵππος γρ. S γίγνοιτο pr.] γενοιτο E μὲν om. FP 22 ὑπάρχον P 25 ἡμῖν fecit I

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

oluşmak", "varolmayanın ya da varolanın bir etkide bulunması ya da etkilenmesi", "herhangi bir şeyin belirli bir nesne olması" ifadeleri bir tarzda "hekim bir etkide bulunuyor ya da etkileniyor", "bir hekimden bir şey oluyor ya da oluşuyor" önermelerinden hiç de farklı değildir. Dolayısıyla madem bu son önermeler çift anlamda kullanılıyor; varolandan oluşmak ve varolanın etkide bulunması ya da etkilenmesi ifadeleri de çift anlamlı, bu açık. Sözgelişi hekim hekim olmakla değil, mimar olduğu için ev yapar; hekim olduğu için değil, [önce] kara olduğu için, ak olur. Ama hekim, hekim olarak tedavi eder ya da tedavide başarısız olur. Bir hekim hekim olarak bir şeye uğrarsa, bir şey yaparsa, ondan bir şey olursa [ancak o zaman] asıl anlamda, hekimin bir şey yaptığını, birşeye uğradığını ya da hekimden bir şey olduğunu söylediğimize göre, açık ki, 'varolmayandan oluşmak' da şunu, 'varolmayan olarak olanı' imler. Onlar bunu ayıramadıklarından yanlış yoldan gittiler, bu bilgisizlik yüzünden yanlışlarına öyle yanlışlar eklediler ki, sonunda hiçbir şeyin oluşmadığına, 'varolan' dışında öteki nesnelerden hiçbirinin varolmadığına inandılar, tüm oluşu yadsıdılar. Biz kendimiz de mutlak anlamda varolmayandan hiçbir şeyin oluşmadığını söylüyoruz ama bir biçimde de varolmayandan oluşmayı kabul ediyoruz: sözgelişi ilineksel, (kendi başına 'varolmayan' bir şey olan yoksunluktan yani içeriği olmayan bir şeyden bir şey oluşur. Bu şaşırtıcı ve bu yüzden varolmayandan bir şeyin oluşması olanaksız gibi geliyor). Aynı şekilde ilineksel anlamda olması dışında varolandan varolanın oluşmadığını da ileri sürüyoruz. Bu biçimde, [ilineksel anlamda] bir hayvandan bir hayvanın ve belli bir hayvandan belli bir hayvanın oluşması gibi, bir tarzda bu da oluşabilir: sözgelişi bir attan bir at, bir köpekten köpek oluşsa. Çünkü bu durumda köpek yalnızca belli bir hayvandan oluşmuyor; aynı zamanda hayvandan da oluşma sözkonusu, ama hayvan olarak hayvan değil. Çünkü bu, sürecin başlangıcında zaten var. Ama herhangi bir şey ilineksel olmayan anlamda 'hayvan' olacak olursa, o, 'hayvan'dan olmayacaktır ve o bir varolan ise, bir varolandan olmayacaktır, varolmayandan da olmayacaktır; çünkü 'varolmayandan'

35 191b 5 10 15 20 25

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

τί σημαίνει, ὅτι ἓ μὴ ὄν. ἔτι δὲ καὶ τὸ εἶναι ἅπαν ἢ
27 μὴ εἶναι οὐκ ἀναιροῦμεν.

27 εἷς μὲν δὴ τρόπος οὗτος, ἄλλος δ' ὅτι ἐνδέχεται ταὐτὰ λέγειν κατὰ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν· τοῦτο δ' ἐν ἄλλοις διώρισται δι' ἀκριβείας μᾶλλον.
30 ὥσθ' (ὅπερ ἐλέγομεν) αἱ ἀπορίαι λύονται δι' ἃς ἀναγκαζόμενοι ἀναιροῦσι τῶν εἰρημένων ἔνια· διὰ γὰρ τοῦτο τοσοῦτον καὶ οἱ πρότερον ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἐπὶ τὴν γένεσιν καὶ φθορὰν καὶ ὅλως μεταβολήν· αὕτη γὰρ ἂν ὀφθεῖσα ἡ φύσις ἅπασαν ἔλυσεν αὐτῶν τὴν ἄγνοιαν.

35 Ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, ἀλλ' οὐχ 9
ἱκανῶς. πρῶτον μὲν γὰρ ὁμολογοῦσιν ἁπλῶς γίγνεσθαί τι ἐκ μὴ
192ª ὄντος, ᾗ Παρμενίδην ὀρθῶς λέγειν· εἶτα φαίνεται αὐτοῖς, εἴπερ ἐστὶν ἀριθμῷ μία, καὶ δυνάμει μία μόνον εἶναι. τοῦτο δὲ διαφέρει πλεῖστον. ἡμεῖς μὲν γὰρ ὕλην καὶ στέρησιν ἕτερόν φαμεν εἶναι, καὶ τούτων τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμ-
5 βεβηκός, τὴν ὕλην, τὴν δὲ στέρησιν καθ' αὑτήν, καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν πως, τὴν ὕλην, τὴν δὲ οὐδαμῶς· οἱ δὲ τὸ μὴ ὂν τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως, ἢ τὸ συναμφότερον ἢ τὸ χωρὶς ἑκάτερον. ὥστε παντελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος κἀκεῖνος. μέχρι μὲν γὰρ δεῦρο προ-
10 ἦλθον, ὅτι δεῖ τινὰ ὑποκεῖσθαι φύσιν, ταύτην μέντοι μίαν ποιοῦσιν· καὶ γὰρ εἴ τις δυάδα ποιεῖ, λέγων μέγα καὶ μικρὸν αὐτήν, οὐθὲν ἧττον ταὐτὸ ποιεῖ· τὴν γὰρ ἑτέραν παρείδεν. ἡ μὲν γὰρ ὑπομένουσα συναιτία τῇ μορφῇ τῶν γιγνομένων ἐστίν, ὥσπερ μήτηρ· ἡ δ' ἑτέρα μοῖρα τῆς ἐναντιώσεως πολ-
15 λάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν οὐδ' εἶναι τὸ παράπαν. ὄντος γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν ἐναντίον αὐτῷ φαμεν

ᵇ 26 ἢ EJ²PS : ἡ τὸ FIJ¹ 28 ταὐτὰ IJP : ταῦτα E²F : ταὐτὰ ταῦτα E¹ κατα] καὶ κατὰ I 30 ἐλέγομεν EFJ²VP : λέγομεν IJ¹ 31 γάρ] γάρ τοι I 32 τὴν om. E 34 ἅπασαν (πᾶσαν P) ἔλυσεν αὐτῶν ΛPS : ἔλυσεν αὐτῶν πᾶσαν E : πᾶσαν ἔλυσεν A in *Metaphysica* τὴν EPS : ταύτην τὴν Λ : om. A in *Metaphysica* 36 τι IVP : om. EFJS 192ª 2 μόνον μίαν εἶναι FP : μίαν εἶναι μόνον S μόνον fecit E¹ 4 φαμεν εἶναι ESP : εἶναί φαμεν ΛS°T οὐκ ὂν FIJ¹S : ὂν et in litura iv litt. οὐκ E : ὂν οὐκ J¹ 6 καὶ om. IPS δὲ] δὲ στέρησιν E²ΛPS 11 σμικρὸν I 12 αὐτήν] αὐτὸ F παρεῖδε τὴν στέρησιν ἡ I 13 τῆς μορφῆς PS

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

deyişi bize 'varolmayan olarak varolmayan'ı imliyor. Öte yandan biz 'her şeyin olması ya da olmaması' deyişini ortadan kaldırmış değiliz.

Demek ki bir çözüm yolu bu. Bir başka yol ise aynı şeylerin olanağa göre ve etkinliğe göre söylenmesinin olası olması. Ama bunu tam olarak bir başka yerde belirledik. Dolayısıyla, (dediğimiz gibi) eskileri bazı deyişleri ortadan kaldırmaya zorlayan çıkmazlar çözülüyor. Çünkü eskiler [zorlandıkları için], bu nedenle oluş, yokoluş ve genelde değişme konusunda yanlış yoldan gittiler. Bu doğa görülmüş olsaydı, onların tüm bilgisizliği ortadan kalkardı.

9 Başka bazı düşünürler de doğaya yaklaştılar ama yeterince değil. Nitekim ilkin genel olarak oluşmanın 'varolmayandan' kaynaklandığı, yani Parmenides'in haklı olduğu görüşünde birleştiler; sonra [bu 192 doğa] sayıca bir ise olanak halinde de yalnızca bir olur diye düşündüler. Oysa burada son derece büyük bir ayırım var: nitekim bizim dediğimiz şu: madde ile yoksunluk değişik şeylerdir, bunlardan biri, madde ilineksel anlamda 'varolmayan'dır, yoksunluk ise kendinde 'varolmayan'dır; madde töz'e yakındır, hattâ bir biçimde tözdür, yoksunluk ise hiçbir biçimde böyle değil. Onlarsa varolmayan ile büyük-küçüğü benzer tutuyorlar, ya herikisini birarada ya da herbirini ayrı ele alıyorlar. Dolayısıyla bu üçlülük tarzı [bizimkinden] bütünüyle değişik oluyor.[7] "Bir doğa taşıyıcı olmalı" görüşüne dek varıyorlar ama bu doğayı tek diye alıyorlar. Çünkü ona 'büyük ile küçük' diyerek bir ikilik kurulsa bile bu, aslında onu, [doğayı] aynı şey yapmak, çünkü öteki doğa yanı, [yani biçim almamış yoksunluk durumu] gözden kaçmakta. Oluşan nesnelerin kalıcı nedeni biçimle birliktedir, tıpkı bir anne gibi. Oysa karşıtlığın öteki yanı, anlığını ona yanlış yönelten birine hepten yokmuş gibi görünebilir. Tanrısal, iyi, istenir bir şey varsa

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

8. 191b 26 — 1. 192b 9

εἶναι, τὸ δὲ ὃ πέφυκεν ἐφίεσθαι καὶ ὀρέγεσθαι αὐτοῦ κατὰ τὴν αὐτοῦ φύσιν. τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς αὐτοῦ φθορᾶς. καίτοι οὔτε αὐτὸ αὑτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος διὰ τὸ μὴ εἶναι ἐνδεές, οὔτε τὸ ἐναντίον (φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία), ἀλλὰ τοῦτ' ἔστιν ἡ ὕλη, ὥσπερ ἂν εἰ θῆλυ ἄρρενος καὶ αἰσχρὸν καλοῦ· πλὴν οὐ καθ' αὐτὸ αἰσχρόν, ἀλλὰ κατὰ συμβεβηκός, οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός.

φθείρεται δὲ καὶ γίγνεται ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ. ὡς μὲν γὰρ τὸ ἐν ᾧ, καθ' αὑτὸ φθείρεται (τὸ γὰρ φθειρόμενον ἐν τούτῳ ἐστίν, ἡ στέρησις)· ὡς δὲ κατὰ δύναμιν, οὐ καθ' αὑτό, ἀλλ' ἄφθαρτον καὶ ἀγένητον ἀνάγκη αὐτὴν εἶναι. εἴτε γὰρ ἐγίγνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον ἐξ οὗ ἐνυπάρχοντος· τοῦτο δ' ἐστὶν αὐτὴ ἡ φύσις, ὥστ' ἔσται πρὶν γενέσθαι (λέγω γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον ἑκάστῳ, ἐξ οὗ γίγνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός)· εἴτε φθείρεται, εἰς τοῦτο ἀφίξεται ἔσχατον, ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι. περὶ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, πότερον μία ἢ πολλαὶ καὶ τίς ἢ τίνες εἰσίν, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶν διορίσαι, ὥστ' εἰς ἐκεῖνον τὸν καιρὸν ἀποκείσθω. περὶ δὲ τῶν φυσικῶν καὶ φθαρτῶν εἰδῶν ἐν τοῖς ὕστερον δεικνυμένοις ἐροῦμεν. ὅτι μὲν οὖν εἰσὶν ἀρχαί, καὶ τίνες, καὶ πόσαι τὸν ἀριθμόν, διωρίσθω ἡμῖν οὕτως· πάλιν δ' ἄλλην ἀρχὴν ἀρξάμενοι λέγωμεν.

B.

1 Τῶν ὄντων τὰ μὲν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας, φύσει μὲν τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν καὶ τὰ

---

a 18 ὃ om. EFJP αὐτοῦ κατὰ τὴν om. E¹ 22 τὰ E²ΛP : om. E¹ 23 θῆλυ] θῆλυ καὶ F 24–5 οὐδὲ . . . συμβεβηκός EIPS : om. FJT 26 τῷ ἐν J φθειρόμενον γὰρ I 27 κατὰ EFJP : κατὰ τὴν IS 28 ἀγένητον EFPS : ἀγέννητον IJ 29 γίγνεται ST ἐξ EJ¹PT : τὸ ἐξ FIJ² 30 αὐτὴ EFVST : αὐτῆς IP : αὐτη J 33 εἰς EIPST : τι εἰς FJ 36 ἐστὶν ἔργον F διορίσαι ΠSᵖ : διορίσασθαι PSᵉ b 1 ἀποσοβείσθω I καὶ EPST : καὶ τῶν Λ 3 ἡμῶν F 4 ἄλλην om. E¹ λέγωμεν FIV : λέγομεν EJ, deinde in E τῶν γὰρ ὄντων τὰ μὲν ἐστιν φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας

Tit. B. περὶ αἰτίων E 9 μὲν] δὲ φαμεν ειναι EP τά . . . 10 καὶ alt. om. J¹

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

onun karşıtının aynı doğaya göre ona yönelmesinin, onu istemesinin doğal olduğunu söylüyoruz. Ama bunlarda karşıtın kendini yoketmek istediği sonucu da çıkabilir: aslında ne biçimin -eksiği olan birşey olmadığı için- kendine yönelmesi olanaklı ne de karşıtın karşıtına yönelmesi (çünkü karşıtlar birbirinin yokedicisi). Ama yönelen, madde: tıpkı dişinin erkeğe, çirkinin güzele yönelmesi gibi. Ancak bu kendinde çirkin değil de ilineksel anlamda çirkinse ve kendinde 'dişi' değil de ilineksel anlamda ise.

Maddenin oluşması ve yokolması bir anlamda sözkonusu bir anlamda değil. Nitekim içinde olduğu şeyle ilgili olarak kendinde yokoluyor (çünkü onun içinde yokolan şey yoksunluk); ama olanak halinde olma ile ilgili olarak o kendinde ne oluşur ne yokolur, zorunlu olarak oluşmayan ve yokolmayan bir şey. Nitekim oluşsa, onda içkin olduğu bir ilk nesnenin taşıyıcı olması gerekir, oysa maddenin doğası bu, dolayısıyla oluşmadan önce varolmuş olacaktır (nitekim herbir nesne için ilk taşıyıcıya madde adını veriyorum, bundan onda içkin olan bir nesne oluşur, ilineksel anlamda da değil). Öte yandan o yokolsa sürecin en sonunda kalan şey yine kendisi olur, dolayısıyla yokolmadan önce yokolmuş olur. Biçime göre ilke üzerine ise, o acaba bir mi çok mu? Ne ya da neler?, bunları kesince belirlemek *İlk Felsefe*'nin işi. Dolayısıyla bunu oraya bırakmak uygun. Doğal biçimlerle yokolan biçimlerden ilerde sözedeceğiz. 19.
İmdi ilkelerin var olduğunu, onların neler olduğunu, sayıca kaç tane olduğunu böylece belirlemiş olduk. Bir başka ilke ile yeniden söze başlayalım.

İkinci Kitap

1 Kimi varolanlar doğal, kimi varolanlar ise başka nedenlere bağlı. Doğal olanlar: hayvanlar, bunların kısımları, bitkiler ve yalın

Ücretsiz PDF Kitap Arsivi - https://rantey.org

φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, οἷον γῆ καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ (ταῦτα γὰρ εἶναι καὶ τὰ τοιαῦτα φύσει φαμέν), πάντα δὲ ταῦτα φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. τούτων μὲν γὰρ ἕκαστον ἐν ἑαυτῷ ἀρχὴν ἔχει κινήσεως καὶ στάσεως, τὰ μὲν κατὰ τόπον, τὰ δὲ κατ' αὔξησιν καὶ φθίσιν, τὰ δὲ κατ' ἀλλοίωσιν· κλίνη δὲ καὶ ἱμάτιον, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας ἑκάστης καὶ καθ' ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον, ᾗ δὲ συμβέβηκεν αὐτοῖς εἶναι λιθίνοις ἢ γηΐνοις ἢ μικτοῖς ἐκ τούτων, ἔχει, καὶ κατὰ τοσοῦτον, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός (λέγω δὲ τὸ μὴ κατὰ συμβεβηκός, ὅτι γένοιτ' ἂν αὐτὸς αὑτῷ τις αἴτιος ὑγιείας ὢν ἰατρός· ἀλλ' ὅμως οὐ καθὸ ὑγιάζεται τὴν ἰατρικὴν ἔχει, ἀλλὰ συμβέβηκεν τὸν αὐτὸν ἰατρὸν εἶναι καὶ ὑγιαζόμενον· διὸ καὶ χωρίζεταί ποτ' ἀπ' ἀλλήλων). ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων· οὐδὲν γὰρ αὐτῶν ἔχει τὴν ἀρχὴν ἐν ἑαυτῷ τῆς ποιήσεως, ἀλλὰ τὰ μὲν ἐν ἄλλοις καὶ ἔξωθεν, οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον, τὰ δ' ἐν αὐτοῖς μὲν ἀλλ' οὐ καθ' αὑτά, ὅσα κατὰ συμβεβηκὸς αἴτια γένοιτ' ἂν αὐτοῖς. φύσις μὲν οὖν ἐστὶ τὸ ῥηθέν· φύσιν δὲ ἔχει ὅσα τοιαύτην ἔχει ἀρχήν. καὶ ἔστιν πάντα ταῦτα οὐσία· ὑποκείμενον γάρ τι, καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. κατὰ φύσιν δὲ ταῦτά τε καὶ ὅσα τούτοις ὑπάρχει καθ' αὑτά, οἷον τῷ πυρὶ φέρεσθαι ἄνω· τοῦτο γὰρ φύσις μὲν οὐκ
193ª ἔστιν οὐδ' ἔχει φύσιν, φύσει δὲ καὶ κατὰ φύσιν ἐστίν. τί μὲν

ᵇ 10 γῆ ΛΤ: γῆν Ε 11 ὕδωρ καὶ ἀέρα EV: ὕδωρ ἀὴρ Τ ταῦτα . . . 12 φαμέν ΠS: secl. Prantl 12 ταῦτα VS et ut vid. E¹: τὰ ῥηθέντα E²Λ 13–14 τούτων . . . ἔχει EVAPT: τὰ μὲν γὰρ φύσει ὄντα πάντα φαίνεται ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν Λ 16 καὶ εἴ ΛPST: ἢ E¹: καὶ E² 18 ὁρμὴν ΠPS: ἀρχὴν Τ γρ. S 19 λιθίνοις ἢ γηΐνοις εἶναι ΛΤ 20 καὶ om. FIPT τοσοῦτον ἀρχὴν κινήσεως καὶ στάσεως ὡς I 21 τοῦ om. E 22 πρώτως EFIJ²P: πρώτῳ J¹T κατὰ ΛPST: om. E 24 τις om. ET 25 καθότι E 27 ἀπ' EFST: om. IJP 28 τῆς ποιησέως ἐν αὐτῷ F 32 τὸ ῥηθέν] τοῦτο S 33 ὅσα EFJPS: ὅσα τὴν IT πάντα ταῦτα ES: ταῦτα πάντα ΛP 36 πυρί] πυρὶ τὸ Λ 193ª 1 καὶ ΛP: om. E

cisimler, yani toprak, ateş hava, su (bunların ve bu gibi nesnelerin doğa gereği varolduğunu söylüyoruz); bütün bunlar varlıkları doğaya bağlı olmayan nesnelerden farklı görünüyor. Nitekim herbiri kendi içinde bir devinim ve durağanlık ilkesi taşıyor: kimi yer açısından, kimi büyüme, eksilme açısından kimi de nitelik değiştirme açısından. Oysa bir sedir, bir giysi ya da bu gibi bir başka cins nesne rastgele böyle bir kategoriye konduğu için ve bir sanata bağlı olduğu için kendi içinde hiçbir doğal değişme gücü taşımaz, ama bunlar ilineksel anlamda, varlıklarını taştan, topraktan ya da bunların karışımından aldıklarından, ancak bu ölçüde böyle bir güç taşırlar. Doğa öyle bir devinim-durağanlık ilkesi ve nedenidir ki, kapsadığı nesnede ilk olarak kendi başına, ilineksel olmayan bir anlamda bulunur ("ilineksel olmayan anlamda" dediğim şu: biri kendini tedavi eden biri, hekim olabilir, ama yine de o bu tedavi gücünü tedavi olan kişi olarak taşıyor değildir, aynı kişi bir rastlantı sonucu hem hekim hem hasta olmuştur. Bunun için bu iki şey birbirinden de ayrılabilir). Öteki yapılan-yaratılan nesnelerin herbirinde de bu böyle, çünkü bunların hiçbiri kendi içinde yapma-yaratma ilkesi taşımaz: kimi, sözgelişi bir ev ya da el emeği üretilen bir başka şey başka nesnelerden, dışardan alır bu ilkeyi; kimi ise kendi içinde taşır ama 'kendi başına' değil, yani kimi nesneler ilineksel anlamda kendileri için neden olabilir. Demek ki doğa işte bu söylediğimiz. Bu tür bir ilke taşıyan her nesnenin bir doğası var. Bunların hepsi de birer töz. Çünkü hepsi bir taşıyıcıdır, doğa da her zaman bir taşıyıcı içinde bulunur. Hem bunlar 'doğaya göre' olan nesnelerdir hem de bunlarda 'kendi başına' bulunan özellikler: sözgelişi alev için yükselmek; nitekim alevin yükselmesi bir doğa değil, bir doğası da yok ama 'doğa gereği', 'doğaya göre'. Demek ki doğa ne, 'doğa gereği', 'doğaya 19

1. 192b 10 — 193a 28

οὖν ἐστιν ἡ φύσις, εἴρηται, καὶ τί τὸ φύσει καὶ κατὰ φύσιν. ὡς δ' ἔστιν ἡ φύσις, πειρᾶσθαι δεικνύναι γελοῖον· φανερὸν γὰρ ὅτι τοιαῦτα τῶν ὄντων ἐστὶν πολλά. τὸ δὲ δεικνύναι τὰ φανερὰ διὰ τῶν ἀφανῶν οὐ δυναμένου κρίνειν ἐστὶ τὸ δι' αὐτὸ καὶ μὴ δι' αὐτὸ γνώριμον (ὅτι δ' ἐνδέχεται τοῦτο πάσχειν, οὐκ ἄδηλον· συλλογίσαιτο γὰρ ἄν τις ἐκ γενετῆς ὢν τυφλὸς περὶ χρωμάτων), ὥστε ἀνάγκη τοῖς τοιούτοις περὶ τῶν ὀνομάτων εἶναι τὸν λόγον, νοεῖν δὲ μηδέν. 9

δοκεῖ δ' ἡ φύσις καὶ ἡ 9
οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκά- 10
στῳ, ἀρρύθμιστον ⟨ὂν⟩ καθ' ἑαυτό, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. σημεῖον δέ φησιν Ἀντιφῶν ὅτι, εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν 15
καὶ τὴν τέχνην, τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἡ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι ταὐτὸ τοῦτο πέπονθεν (οἷον ὃ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν), ἐκεῖνο τὴν φύσιν εἶναι καὶ τὴν οὐσίαν αὐ- 20
τῶν. διόπερ οἱ μὲν πῦρ, οἱ δὲ γῆν, οἱ δ' ἀέρα φασίν, οἱ δὲ ὕδωρ, οἱ δ' ἔνια τούτων, οἱ δὲ πάντα ταῦτα τὴν φύσιν εἶναι τὴν τῶν ὄντων. ὃ γάρ τις αὐτῶν ὑπέλαβε τοιοῦτον, εἴτε ἓν εἴτε πλείω, τοῦτο καὶ τοσαυτά φησιν εἶναι τὴν ἅπασαν οὐσίαν, τὰ δὲ ἄλλα πάντα πάθη τούτων καὶ ἕξεις καὶ δια- 25
θέσεις, καὶ τούτων μὲν ὁτιοῦν ἀίδιον (οὐ γὰρ εἶναι μεταβολὴν αὐτοῖς ἐξ αὐτῶν), τὰ δ' ἄλλα γίγνεσθαι καὶ φθείρεσθαι ἀπειράκις. 28

ἕνα μὲν οὖν τρόπον οὕτως ἡ φύσις λέγεται, 28

[a] 2 ἐστιν ἡ φύσις ES : ἡ φύσις ἐστὶν IJ : φύσις ἐστιν F καὶ alt. om. E^1 φύσιν] φύσιν ἐστίν S^1 7 τυφλὸς ὢν F 9 νοεῖν δὲ μηδέν ES : μηδὲν δὲ νοεῖν Λ ἡ alt. om. F 10 οὐσία E^2FIPS : οὐσία ἡ J : E^1 dubium τῶν φύσει ὄντων ἐστὶ τὸ πρῶτον ἐνυπάρχον in litura E^2 ἐνίοις εἶναι om. F 11 ὃν addidi (cf. M. 1014b 28) 14 ἀφεῖναι T 15 κατὰ alt. E^2ΛS : κατὰ τὸν E^1 νόμον] ρυθμὸν T γρ. P γρ. S 20 ἐκεῖνο E^1S : ἐκεῖνα E^2ΛT 21 πῦρ . . . γην EV : γῆν, οἱ δὲ πῦρ Λ 23 τὴν om. J^1 24 φασιν Λ 25 καὶ pr. EIV : om. FJ 26 ὁτιοῦν E^1P : ὁτιοῦν εἶναι E^2Λ 27 καὶ φθείρεσθαι ΛS : om. E 28 οὕτως ἡ φύσις ES : ἡ φύσις οὕτω ΛP

göre' olan ne, bunu söyledik. Doğanın varolduğunu kanıtlamaya çalışmak gülünç bir şey, çünkü bu tür varolan pek çok nesne var, bu açık. Açık olmayan şeyler aracılığıyla açık şeyleri kanıtlamak ise kendisi aracılığıyla bilinir olanla kendisi aracılığıyla bilinir olmayanı birbirinden ayıramayan birinin işi (bunun olası olması görülmeyecek bir şey değil: nitekim doğuştan kör biri renkler üzerine uslamlama yapabilir). Dolayısıyla şu zorunlu: böyle kişiler sözcükler, adlar üzerine konuşurlar ama hiçbir şey kavramazlar.

Bazı düşünürlere göre doğa ve doğa gereği varolan nesnelerin tözü herbir nesne için o nesnenin ilk olarak içkin olduğu, biçimden bağımsız olarak kendi başına varolan şey: yani bir sedirin doğası tahta, bir heykelinki ise bronz. Bunu göstermek için Antiphon şunu ileri sürüyor: bir sedir toprağa gömülse ve çürümenin bir şey üretecek gücü olsa, oluşacak şey bir sedir değil, bir tahtadır; çünkü [sedir] ilineksel olarak yani [insan] yeteneğine ve sanata bağlı, tahtada içkindir, ama töz bunlar sözkonusu olurken sürekli kalan şeydir [diyor]. Bu tür nesnelerin herbirinin bir başka şeyle ilgisi aynı böyle olsa (yani bronz ile altının su ile ilgisi, kemik ile tahtanın toprakla ilgisi, öteki nesnelerden biri de öyle), [ilgili oldukları] o nesne bu nesnelerin doğası ve tözü olur. Bunun için kimi, varolanların doğası, özü ateş diyor, kimi toprak, kimi hava, kimi su, kimi bunlardan bazıları, kimi de bütün bunlar diyor. Nitekim bunların içinde -ister tek ister daha çok olsun- böyle bir şeyi kabul eden biri "bunun ve bu kadarının tözün tümü olduğunu, öteki herşeyin ise bunların durumları, özellikleri, ilişkileri olduğunu" öne sürüyor; "bunlardan biri başsız-sonsuz (çünkü bunların kendilerinden değişik olması olanaksız), ötekilerse sonsuz bir oluş-yokoluş içinde" diyor demektir.

İmdi bir tarzda doğadan kastedilen şu: kendilerinde devinim

ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν αὑτοῖς ἀρ-
30 χὴν κινήσεως καὶ μεταβολῆς, ἄλλον δὲ τρόπον ἡ μορφὴ
καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. ὥσπερ γὰρ τέχνη λέγεται
τὸ κατὰ τέχνην καὶ τὸ τεχνικόν, οὕτω καὶ φύσις τὸ κατὰ
φύσιν [λέγεται] καὶ τὸ φυσικόν, οὔτε δὲ ἐκεῖ πω φαῖμεν ἂν
ἔχειν κατὰ τὴν τέχνην οὐδέν, εἰ δυνάμει μόνον ἐστὶ κλίνη, μή
35 πω δ' ἔχει τὸ εἶδος τῆς κλίνης, οὐδ' εἶναι τέχνην, οὔτ' ἐν
193[b] τοῖς φύσει συνισταμένοις· τὸ γὰρ δυνάμει σὰρξ ἢ ὀστοῦν οὔτ'
ἔχει πω τὴν ἑαυτοῦ φύσιν, πρὶν ἂν λάβῃ τὸ εἶδος τὸ κατὰ
τὸν λόγον, ᾧ ὁριζόμενοι λέγομεν τί ἐστι σὰρξ ἢ ὀστοῦν, οὔτε
φύσει ἐστίν. ὥστε ἄλλον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων
ἐν αὑτοῖς κινήσεως ἀρχὴν ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωρι-
5 στὸν ὂν ἀλλ' ἡ κατὰ τὸν λόγον. (τὸ δ' ἐκ τούτων φύσις μὲν
οὐκ ἔστιν, φύσει δέ, οἷον ἄνθρωπος.) καὶ μᾶλλον αὐτη φύσις
τῆς ὕλης· ἕκαστον γὰρ τότε λέγεται ὅταν ἐντελεχείᾳ ᾖ,
μᾶλλον ἢ ὅταν δυνάμει. ἔτι γίγνεται ἄνθρωπος ἐξ ἀνθρώπου,
ἀλλ' οὐ κλίνη ἐκ κλίνης· διὸ καί φασιν οὐ τὸ σχῆμα εἶναι
10 τὴν φύσιν ἀλλὰ τὸ ξύλον, ὅτι γένοιτ' ἄν, εἰ βλαστάνοι, οὐ
κλίνη ἀλλὰ ξύλον. εἰ δ' ἄρα τοῦτο φύσις, καὶ ἡ μορφὴ
φύσις· γίγνεται γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος. ἔτι δ' ἡ φύσις
ἡ λεγομένη ὡς γένεσις ὁδός ἐστιν εἰς φύσιν. οὐ γὰρ ὥσπερ
ἡ ἰάτρευσις λέγεται οὐκ εἰς ἰατρικὴν ὁδὸς ἀλλ' εἰς ὑγίειαν·
15 ἀνάγκη μὲν γὰρ ἀπὸ ἰατρικῆς οὐκ εἰς ἰατρικὴν εἶναι τὴν ἰά-
τρευσιν, οὐχ οὕτω δ' ἡ φύσις ἔχει πρὸς τὴν φύσιν, ἀλλὰ τὸ
φυόμενον ἐκ τινὸς εἰς τί ἔρχεται ἢ φύεται. τί οὖν φύε-
ται; οὐχὶ ἐξ οὗ, ἀλλ' εἰς ὅ. ἡ ἄρα μορφὴ φύσις. ἡ δὲ
μορφὴ καὶ ἡ φύσις διχῶς λέγεται· καὶ γὰρ ἡ στέρησις εἶ-
20 δός πώς ἐστιν. εἰ δ' ἔστιν στέρησις καὶ ἐναντίον τι περὶ τὴν
ἁπλῆν γένεσιν ἢ μὴ ἔστιν, ὕστερον ἐπισκεπτέον.

[a] 29 *ἀρχὴν κινήσεως* EJPS : *κινήσεως ἀρχὴν* FI 32 *κατὰ* pr. ΛPS : *κατὰ τὴν* E 33 *λέγεται* secl. Diels : om. S *ἐκεῖ* E[1]V : *ἐκεῖνό* E[2]Λ *πως* FI *φαμεν* E 34 *κατὰ* ΠS : om. PT 36 *οὐκ* E [b] 1 *που* F *ἂν λαβῃ* P : *ἀναλάβῃ* E : *ἂν λάβοι* FI : *ἡ λάβῃ* J 2 *ᾧ* E[1]JV et ut vid. PT : *ὃ* E[2]FIS 6 *αὕτη φύσις* EPS : *φύσις αὕτη* Λ 9 *διὸ φασι τὸ σχῆμα οὐκ* E 10–11 *ὅτι . . . ξύλον* ΛS : om. E 11 *φύσις* scripsi, fort. cum PST : *τέχνη* Π : om. V, secl. Hamelin *καὶ* om. E[2] 12 *γὰρ* ΛS : *γ'* E *ἡ* ΛPS : om. E 17 *ᾖ* fecit E, leg. ut vid. T : *ἢ* ΛS *τί οὖν φύεται* J[1]S : *εἰς τί οὖν φύεται* E[2]FIJ[2]P : om. E[1] 18 *οὐχὶ εἰς τὸ ἐξ οὗ ἀλλ' εἰς τὸ εἰς ὅ* IP *ἄρα* ΛS : om. E *δὲ* E[1]PS : *δέ γε* E[2]Λ 20 *ἔστιν* E[2]IJ[1]S : *ἐστιν ἡ* E[1]FJ[2]P *τι* FJVP : *ὅτι* E : om. I

ve değişme ilkesi olan nesnelerin herbirinin ilk taşıyıcı maddesi. Bir başka tarzda da şu: şekil ve kavrama karşılık gelen biçim. Nasıl sanattan kastedilen 'sanata göre olan' ile 'sanat ürünü olan' ise, aynı biçimde doğadan kastedilen de 'doğaya göre olan' ile 'doğa ürünü olan'dır. Ama ilk durumda bir şey yalnızca olanak halinde bir sedirse, sedir biçimini henüz taşımıyorsa onun sanata göre olduğunu ve sanat ürünü olduğunu söyleyemeyiz; doğaya göre olan nesnelerde de bu böyle: olanak halindeki et ya da kemik, et ya da kemiğin ne olduğunu ona göre belirlediğimiz kavrama karşılık gelen biçimi almadan önce [kavrama göre biçimi], henüz kendi doğasına sahip değildir, 'doğaya göre' de değildir. Dolayısıyla bir anlamda doğa, kendilerinde devinim ilkesi taşıyan nesnelerin şekli (morphe) ve biçimi (eidos): bu da ayrı-başına bir şey değil, ancak kavramca ayrılan bir şey. (Bunlardan [madde ile şekilden] oluşan ise, sözgelişi bir insan, bir doğa değildir, 'doğaya göre'dir.) Maddeden çok da [şekil] bir doğadır, çünkü herbir nesneye olanak halinde olduğu zamandan çok gerçeklik halinde olduğu zaman [o nesne] denir. Öte yandan bir insandan bir insan olur ama bir sedirden bir sedir olmaz. Bunun için de [Antiphon] diyor ki, dış görünüm (skhema) değil, tahtadır doğa olan, çünkü bir sedir ekilse de ürün verse bir sedir değil, tahta olur. Demek ki madde bir doğa ise şekil (morphe) de bir doğa , çünkü bir insandan bir insan olur. Öte yandan doğa oluş anlamında alındıkta doğaya yönelik yoldur; nitekim buradaki durum tedavideki gibi değil, biz tedavi sanatına (hekimliğe) giden yola değil, sağlığa giden yola "tedavi" deriz. Çünkü tedavinin tedavi sanatına doğru gitmesi değil, tedavi sanatından gelmesi zorunlu. Oysa iki anlamdaki doğanın birbiriyle ilgisi bu biçimde değil: doğal olan şey doğal olduğu için bir şeyden bir şeye doğru. Öyleyse nedir doğal olan şey?- Doğan şeyin ondan kaynaklandığı değil, ona yönelik olduğu şey. Demek ki şekil bir doğa. Ama şekil ile doğanın iki anlamı var: çünkü yoksunluk da bir anlamda bir biçimdir. Ama yoksunluk acaba mutlak anlamdaki oluş ile ilgili bir karşıt mı, yoksa bu böyle değil mi, bunu daha sonra araştırmamız gerekiyor.

1. 193ª 29 — 2. 194ª 12

2 Ἐπεὶ δὲ διώρισται ποσαχῶς ἡ φύσις, μετὰ τοῦτο θεωρητέον τίνι διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ (καὶ γὰρ ἐπίπεδα καὶ στερεὰ ἔχει τὰ φυσικὰ σώματα καὶ μήκη καὶ στιγμάς, περὶ ὧν σκοπεῖ ὁ μαθηματικός)· ἔτι εἰ ἡ ἀστρολογία ἑτέρα ἢ μέρος τῆς φυσικῆς· εἰ γὰρ τοῦ φυσικοῦ τὸ τί ἐστιν ἡλιος ἢ σελήνη εἰδέναι, τῶν δὲ συμβεβηκότων καθ' αὑτὰ μηδέν, ἄτοπον, ἄλλως τε καὶ ὅτι φαίνονται λέγοντες οἱ περὶ φύσεως καὶ περὶ σχήματος σελήνης καὶ ἡλίου, καὶ δὴ καὶ πότερον σφαιροειδὴς ἡ γῆ καὶ ὁ κόσμος ἢ οὔ. περὶ τούτων μὲν οὖν πραγματεύεται καὶ ὁ μαθηματικός, ἀλλ' οὐχ ᾗ φυσικοῦ σώματος πέρας ἕκαστον· οὐδὲ τὰ συμβεβηκότα θεωρεῖ ᾗ τοιούτοις οὖσι συμβέβηκεν· διὸ καὶ χωρίζει· χωριστὰ γὰρ τῇ νοήσει κινήσεώς ἐστι, καὶ οὐδὲν διαφέρει, οὐδὲ γίγνεται ψεῦδος χωριζόντων. λανθάνουσι δὲ τοῦτο ποιοῦντες καὶ οἱ τὰς ἰδέας λέγοντες· τὰ γὰρ φυσικὰ χωρίζουσιν ἧττον ὄντα χωριστὰ τῶν μαθηματικῶν. γίγνοιτο δ' ἂν τοῦτο δῆλον, εἴ τις ἑκατέρων πειρῷτο λέγειν τοὺς ὅρους, καὶ αὐτῶν καὶ τῶν συμβεβηκότων. τὸ μὲν γὰρ περιττὸν ἔσται καὶ τὸ ἄρτιον καὶ τὸ εὐθὺ καὶ τὸ καμπύλον, ἔτι δὲ ἀριθμὸς καὶ γραμμὴ καὶ σχῆμα, ἄνευ κινήσεως, σὰρξ δὲ καὶ ὀστοῦν καὶ ἄνθρωπος οὐκέτι, ἀλλὰ ταῦτα ὥσπερ ῥὶς σιμὴ ἀλλ' οὐχ ὡς τὸ καμπύλον λέγεται. δηλοῖ δὲ καὶ τὰ φυσικώτερα τῶν μαθημάτων, οἷον ὀπτικὴ καὶ ἁρμονικὴ καὶ ἀστρολογία· ἀνάπαλιν γὰρ τρόπον τιν' ἔχουσιν τῇ γεωμετρίᾳ. ἡ μὲν γὰρ γεωμετρία περὶ γραμμῆς φυσικῆς σκοπεῖ, ἀλλ' οὐχ ᾗ φυσική, ἡ δ' ὀπτικὴ μαθηματικὴν μὲν γραμμήν, ἀλλ' οὐχ ᾗ μαθηματικὴ ἀλλ' ᾗ φυσική.

ἐπεὶ δ' ἡ φύσις διχῶς, τό τε

[b] 22 ἡ φύσις] ἡ φύσις λέγεται $E^2\Lambda S$: λέγεται ἡ φύσις P 23 μαθητικός E 24 φυσικὰ] φυσικὰ καὶ E^1 25 μαθητικός E εἰ Susemihl : δ' J^2P : δ' εἰ Basiliensis : om. EFIJ^1 27 ἢ ΛP : καὶ EV δὲ $E^1\Lambda P$: τε E^2 29 σελήνης καὶ ἡλίου EIJV : ἡλίου καὶ σελήνης FST 30 δὴ καὶ om. E^1T : δὴ E^2I ἡ γῆ καὶ ὁ κόσμος ΛST : ὁ κόσμος καὶ ἡ γῆ EV 31 μὲν οὖν τούτων I μαθητικός E 36 οἱ περὶ τὰς F 194ª 1 μαθητικῶν E 3 ἐστι FT 4 ἔτι δὲ] αἰτια E^2 6 οὐκέτι ΛP : οὐκ αἰτια in litura E ταῦτα ΛP : αὐτὰ E 8 μαθημάτων IJ^2P : μαθητῶν E^1 : μιθηματικῶν E^2FJ^1 9 ἔχουσι τρόπον τινὰ F ἡ . . . 10 γεωμετρία E^2FJPS Olympiodorus : om. E^1 : ἀλλ' ἡ μὲν γεωμετρία IV 11 μαθητικὴν E 12 ἐπεὶ EJS : ἐπειδὴ FIT δὲ καὶ ἡ F

2 Madem doğanın kaç anlamda kullanıldığını belirledik, bundan sonra matematikçinin fizikçiden ne bakımdan farklı olduğuna bakmak gerekiyor (nitekim fiziksel nesnelerde de matematikçinin üzerinde çalıştığı yüzey, hacim, uzunluk ve noktalar sözkonusu). Yine gökbilimi doğabiliminden farklı mı yoksa onun bir bölümü mü, bunu da incelemeli. Nitekim güneşin ya da ayın ne olduğunu bilmek doğabilimcinin görevi ise bunların özelliklerini bilmemesi tutarsız olur. Üstelik doğa ile ayın ve güneşin biçimi üzerine konuşanlar, acaba yeryüzü ve evren küre biçiminde mi, değil mi, bunu da açıkça söylüyorlar. Matematikçi de bunlar üzerine çalışır ama onun çalışması herbir nesne doğal bir cismin sınırı olduğu için değil. Yine ilinekleri de böyle nesnelerin ilinekleri olarak incelemez o. Bunun için o soyutlayarak çalışır, nitekim düşünme ile devinimden ayrılabilen, soyutlanabilen nesneler var. Bunda da bir tehlike yok, nesneleri soyutlayanlar yanlışa düşer demek de değil bu. İdealarn olduğunu savunanlar da bunu yapıyorlar ama bilinçsizce, çünkü onlar matematiksel nesnelerden daha az soyutlanabilir olan fiziksel nesneleri soyutlamaya kalkıyorlar. Ne ki bunların herbirinin, yani nesnelerin kendilerinin ve ilineklerinin tanımı verilmeye çalışılsa, bu, [fiziksel nesnelerin matematiksel nesneler gibi soyutlanamayacağı] açıklığa kavuşabilir. Nitekim tek ile çift, doğru ile eğri; yine sayı, çizgi, dış görünüm deviniminden bağımsız olacaktır, oysa et, kemik, insan böyle değil. Ama bunlardan da 'burun'dan "eğri" diye değil, "basık" diye sözedilmesi gibi sözedilebilir. Optik, müzik, gökbilimi gibi fiziksel nesnelere daha yakın olan matematik bilimlerde de bu açık: çünkü bunlarda geometrinin tersi bir tarz var: geometri fiziksel bir çizgi üzerinde fiziksel anlamda çalışmaz; oysa optik, matematik çizgi üzerine matematiksel anlamda değil, fiziksel anlamda çalışır.

Madem doğa iki anlamda, hem biçim hem de madde, buna

εἶδος καὶ ἡ ὕλη, ὡς ἂν εἰ περὶ σιμότητος σκοποῖμεν τί ἐστιν, οὕτω θεωρητέον· ὥστ' οὔτ' ἀνευ ὕλης τὰ τοιαῦτα οὔτε κατὰ τὴν ὕλην. καὶ γὰρ δὴ καὶ περὶ τούτου ἀπορήσειεν ἄν τις, ἐπεὶ δύο αἱ φύσεις, περὶ ποτέρας τοῦ φυσικοῦ. ἢ περὶ τοῦ ἐξ ἀμφοῖν; ἀλλ' εἰ περὶ τοῦ ἐξ ἀμφοῖν, καὶ περὶ ἑκατέρας. πότερον οὖν τῆς αὐτῆς ἢ ἄλλης ἑκατέραν γνωρίζειν; εἰς μὲν γὰρ τοὺς ἀρχαίους ἀποβλέψαντι δόξειεν ἂν εἶναι τῆς ὕλης (ἐπὶ μικρὸν γάρ τι μέρος Ἐμπεδοκλῆς καὶ Δημόκριτος τοῦ εἴδους καὶ τοῦ τί ἦν εἶναι ἥψαντο)· εἰ δὲ ἡ τέχνη μιμεῖται τὴν φύσιν, τῆς δὲ αὐτῆς ἐπιστήμης εἰδέναι τὸ εἶδος καὶ τὴν ὕλην μέχρι του (οἷον ἰατροῦ ὑγίειαν καὶ χολὴν καὶ φλέγμα, ἐν οἷς ἡ ὑγίεια, ὁμοίως δὲ καὶ οἰκοδόμου τό τε εἶδος τῆς οἰκίας καὶ τὴν ὕλην, ὅτι πλίνθοι καὶ ξύλα· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων), καὶ τῆς φυσικῆς ἂν εἴη τὸ γνωρίζειν ἀμφοτέρας τὰς φύσεις. ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος τῆς αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα. ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα (ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τι τέλος, τοῦτο ⟨τὸ⟩ ἔσχατον καὶ τὸ οὗ ἕνεκα· διὸ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν "ἔχει τελευτήν, ἥσπερ οὕνεκ' ἐγένετο"· βούλεται γὰρ οὐ παν εἶναι τὸ ἔσχατον τέλος, ἀλλὰ τὸ βέλτιστον)· ἐπεὶ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν ἁπλῶς αἱ δὲ εὐεργόν, καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχούντων (ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος· διχῶς γὰρ τὸ οὗ ἕνεκα· εἴρηται δ' ἐν τοῖς περὶ φιλοσοφίας). δύο δὲ αἱ ἄρχουσαι τῆς ὕλης καὶ γνωρίζουσαι τέχναι, ἥ τε χρωμένη καὶ τῆς ποιητικῆς ἡ ἀρχιτεκτονική. διὸ καὶ ἡ χρωμένη ἀρχιτεκτονική πως, διαφέρει δὲ ἡ ἡ μὲν τοῦ εἴδους γνωριστική, [ἡ ἀρχιτεκτονική,] ἡ δὲ ὡς ποιητική, τῆς ὕλης· ὁ μὲν γὰρ κυβερνήτης ποιόν τι τὸ εἶδος τοῦ πηδαλίου

[a] 13 *σιμότητος* ΛΡΤ : *σιμοῦ* Ε *τί ἐστιν σκοποῖμεν* ΛΡ 15 *τούτου* E^1VPST : *τοῦτου διχῶς* E^2Λ : *τουτου ἴσως* Bonitz 16 *ἐπειδὴ* FT 17 *εἰ*] *ἀεὶ* Ε 19 *ἀποβλέψαντι* ΛΡ : *βλέψαντι* Ε *ἂν* om. F 24 *ὑγίεια* ΛVT : *ὑγίειαι ἅπερ ὡς ὕλη* Ε 27 *ἀμφοτέρας* om. F 28 *φύσις τὸ τέλος οὗ* F 29 *τι ἔστι* I *τέλος, . . .* 30 *ἔσχατον* scripsi, fort. habuit S : *τέλος, τοῦτο ἔσχατον* E^1VP : *τέλος τῆς κινησεως, τουτο ἔσχατον* E^2Λ : *ἔσχατον, τοῦτο τέλος* ci. AP, legit fort. T 30 *καὶ εὐριπίδης ὁ* F 32 *τὸ* secl. Guthrie [b] 1 *δὲ* EJ^2T : *δὴ* IJ^1 : *δὲ καὶ* P : *δὴ καὶ* F *καὶ* FP : *καὶ αἱ* $E1J$ 3 *ἡ* om. F 4 [*ἡ ἀρχιτεκτονική*] *ἡ δέ*, Prantl[1] : *ἡ δέ, ἡ ἀρχιτεκτονική* vel *ἡ δὲ ἀρχιτεκτονικὴ* ci. Prantl : *ἡ* pr. sup. lin. habet, *ἡ* alt. erasit E

çokluğun ne olduğunu incelermiş gibi bakalım; yani bu tür nesneler ne maddeden bağımsız ne de salt maddeye göre. Nitekim doğa iki yanlı olduğuna göre, hangisi üzerine çalışmak doğabilimcinin işi, bu konuda bir sorun olsa gerek. Yoksa [doğabilimci] herikisinden oluşan şey üzerine mi çalışmalı? Ama herikisinden oluşan şey üzerine çalışacaksa bunların herbirini de incelemeli. Acaba bunların herbirini bilmek aynı bilimin mi yoksa farklı bilimlerin mi işi? Eski düşünürlere bakıldığında [doğabilimci] madde üzerine çalışırmış gibi görünüyor (Empedokles ile Demokritos birazcık 'biçim' ile 'nelik' (to ti en einai)e yaklaştılar). Sanat doğayı taklit ediyorsa, biçim ile maddeyi bir yere değin bilmek de aynı bilimin işiyse (sözgelişi sağlık ile onlarda sağlığın sözkonusu olduğu safra ile balgamı bilmek bir hekimin işidir, aynı şekilde bir evin biçimini ve maddesini- tuğla ya da tahtayı- bilmek bir mimarın işidir, öteki mesleklerde de bu böyle) doğabilimine düşen de heriki doğayı bilmek olsa gerek. Yine ereksel nedeni (to hou heneka), amacı (telos) ve bunlar için olan nice şey varsa bunları bilmek de aynı bilimin işi. Doğa bir amaç, bir ereksel nedendir (çünkü kendilerinde sürekli devinim olan nesnelerin bir amacı var, işte bu son nokta aynı zamanda ereksel neden. Bunun için Ozan'ın[8] "sonuna kavuştu, zaten bu son için doğmuştu" demesi gülünç. Çünkü en son nokta değil, en iyi nokta amaç olsa gerek. Sanatlar da kimi mutlak anlamda, kimi de kullanılmak üzere maddeyi işlediğine göre ve biz de bunları sanki bizim için yapılmış gibi kullandığımıza göre (nitekim biz de bir anlamda amaçız: ereksel neden iki anlamlı; *Felsefe Üzerine*'de bundan sözettik), maddeyi yöneten ve maddeyi bilen iki sanat var: biri onu kullanan, öteki ise yapıcı-yaratıcı olana özgü temelkurucu (arkhitektonike) olan. Bunun için kullanan da bir anlamda temelkurucu olan, ama ayrım şurada: biri, temelkurucu olan biçim üzerinde yetkin; öteki, yapıcı-yaratıcı olarak madde üzerinde. Nitekim dümenci dümenin biçiminin nasıl olması gerektiğini bilir ve onu denetler; dümeni yapan ise onun hangi

2. 194ª 13 — 3. 194ᵇ 30

γνωρίζει καὶ ἐπιτάττει, ὁ δ' ἐκ ποίου ξύλου καὶ ποίων κινήσεων ἔσται. ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα, ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα. ἔτι τῶν πρός τι ἡ ὕλη· ἄλλῳ γὰρ εἶδει ἄλλη ὕλη.

μέχρι δὴ πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν; ἢ ὥσπερ ἰατρὸν νεῦρον ἢ χαλκέα χαλκόν, μέχρι τοῦ τίνος [γὰρ] ἕνεκα ἕκαστον, καὶ περὶ ταῦτα ἃ ἐστι χωριστὰ μὲν εἴδει, ἐν ὕλῃ δέ; ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος. πῶς δ' ἔχει τὸ χωριστὸν καὶ τί ἐστι, φιλοσοφίας ἔργον διορίσαι τῆς πρώτης.

3 Διωρισμένων δὲ τούτων ἐπισκεπτέον περὶ τῶν αἰτίων, ποιά τε καὶ πόσα τὸν ἀριθμόν ἐστιν. ἐπεὶ γὰρ τοῦ εἰδέναι χάριν ἡ πραγματεία, εἰδέναι δὲ οὐ πρότερον οἰόμεθα ἕκαστον πρὶν ἂν λάβωμεν τὸ διὰ τί περὶ ἕκαστον (τοῦτο δ' ἐστὶ τὸ λαβεῖν τὴν πρώτην αἰτίαν), δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιητέον καὶ περὶ γενέσεως καὶ φθορᾶς καὶ πάσης τῆς φυσικῆς μεταβολῆς, ὅπως εἰδότες αὐτῶν τὰς ἀρχὰς ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον. ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεται τὸ ἐξ οὗ γίγνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης καὶ τὰ τούτων γένη· ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα, τοῦτο δ' ἐστὶν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη (οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἕν, καὶ ὅλως ὁ ἀριθμός) καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πα-

194ᵇ 23—195ᵇ 21 = *Met.* Δ. 2

ᵇ 6 καὶ alt. EJP : καὶ ἐκ FI 7 κατὰ ΛP : κατὰ τὴν E 9 τι ἡ E^2FIJ^2PS : τῇ E^1 : τι J^1 ἄλλῳ . . . ὕλη post 10 ἐστιν F 10 τὰν om. F 11 ἰατρὸν EFJS : τὸν ἰατρὸν IT ἡ ES : καὶ ΛV τοῦ τίνος scripsi : του τινος E^1J : τοῦ εἰδέναι τινος F : τινος, τίνος S : τίνος ἕνεκα, τινος γρ. A : του. τινος Aldina : του. τίνος Jaeger 12 γὰρ seclusi : habent ΠS γρ. A ἃ ΛS et sup. lin. E^1 εἴδη JS 13 καὶ ὁ ἥλιος F 14-15 φιλοσοφίας . . . πρώτης IS : φιλοσοφίας τῆς πρώτης διορίσαι ἔργον E^2FJ : τῆς πρώτης ἔργον φιλοσοφίας διορίσαι T : φιλοαοφίας τῆς πρώτης ἐστίν E^1V 17 ἐπειδὴ τοῦ S 18 ἡ] τὰ φυσικὰ ἡ I 21 καὶ tert. ES : καὶ περὶ ΛP 22 αὐτῶν τὰς ἀρχὰς ΛPS : τὰς ἀρχὰς αὐτῶν E 26 ἄλλο l 27 ὁ alt. EIJP : om. FTM οἷον τὸν διὰ E 30 ἡ fecit E^2

ağaçtan ve ne tür devinim-değişmeyle (kinesis) olacağını bilir. Demek ki sanatla ilgili konularda maddeyi eser için yapan biziz, oysa doğal nesnelerde madde zaten içkin olarak var. Öte yandan madde göreli olanlardan, çünkü her biçim için bir başka madde gerekiyor.

Öyleyse doğabilimci bir nesnenin biçimini ve 'nedir'ini ne denli bilmeli? Acaba hekimin siniri, heykeltraşın bronzu bilmesi gibi, herbir nesneyi ereksel nedenine kadar mı bilmeli ve biçimce soyutlanabilen /ayrılabilen, ama ancak bir madde içinde varolan nesnelerle mi uğraşmalı? Nitekim bir insan insan doğurur ama güneş de. 'Ayrıbaşına'/ soyutlanabilen şeyin nasıl olduğunu ve ne olduğunu belirlemek ise *İlk Felsefe*'nin işi.[9]

3 Bunlar belirlendikten sonra 'nedenler' (aitia) üzerine araştırma yapmamız gerekiyor: neler bunlar ve sayıca ne kadar? Çalışmamız bilmek amacını taşıdığına göre ve herbir nesne konusunda 'ne için'i (dia ti) kavramadıkça o nesneyi bildiğimizi düşünmediğimize göre (bu ilk, önde gelen nedeni anlamak demek) şu açık: biz de oluş, yokoluş ve her tür doğal değişme üzerine bunu yapmalıyız ki, onların ilkelerini bilip araştırdığımız her nesneyi bu ilkelere götürmeyi deneyebilelim. İmdi bir anlamda şuna neden adı veriliyor: bir nesnenin onda içkin olup da, ondan oluştuğu şey, sözgelişi bronz, heykelin; gümüş, [gümüş] kadehin nedeni, [bronz ile gümüş] türleri de öyle. Bir başka anlamda 'biçim' (eidos) ile 'ilk örnek' (paradeigma) neden: bu da bir nesnenin ne olduğunun tanımı (ho logos ho tou ti en einai) ve bunun cinsleri (sözgelişi diapasonun nedeni iki ile birin bağıntısı, genel olarak sayı) ve kavramdaki parçalar. Yine bir başka anlamda neden, değişmenin (metabole) ya da durağanlığın ilk başlangıcının kaynağı: sözgelişi

τὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου καὶ τὸ μεταβάλλον τοῦ μεταβαλλομένου. ἔτι ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶν τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια· διὰ τί γὰρ περιπατεῖ; φαμέν "ἵνα ὑγιαίνῃ", καὶ εἰπόντες οὕτως οἰόμεθα ἀπο-
35 δεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ ἰσχνασία ἢ ἡ κάθαρ-
195[a] σις ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστιν, διαφέρει δὲ ἀλλήλων ὡς ὄντα τὰ μὲν
3 ἔργα τὰ δ' ὄργανα.

3 τὰ μὲν οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται, συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ
5 πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι, οὐ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος καὶ ἡ ἀνδριαντοποικὴ καὶ ὁ χαλκός, οὐ καθ' ἕτερόν τι ἀλλ' ᾗ ἀνδριάς, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη τὸ δ' ὡς ὅθεν ἡ κίνησις. ἔστιν δέ τινα καὶ ἀλλήλων αἴτια, οἷον τὸ πονεῖν τῆς εὐεξίας καὶ αὕτη τοῦ
10 πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος τὸ δ' ὡς ἀρχὴ κινήσεως. ἔτι δὲ τὸ αὐτὸ τῶν ἐναντίων ἐστίν· ὃ γὰρ παρὸν αἴτιον τοῦδε, τοῦτο καὶ ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου, οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου τῆς τοῦ πλοίου ἀνατροπῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας.
15 ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς τέτταρας πίπτει τρόπους τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ τὰ τοιαῦτα τῶν σωμάτων καὶ τὰ μέρη τοῦ ὅλου καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος ὡς τὸ ἐξ οὗ αἰτιά ἐστιν, τούτων δὲ τὰ μὲν ὡς τὸ
20 ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλου καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος· τὸ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἢ στάσεως [ἢ κίνησεως]· τὰ δ' ὡς τὸ

[b] 31 τοῦ pr. om. I 34 ὑγιαίνῃ EJS : ὑγιάνῃ FI 36 γένηται E ἰσχνανσία I 195[a] 1 ἢ τὰ φάρμακα E^2ΛMVST : om. E^1 γὰρ ΠT : om. Susemihl et fort. P 4 λέγεται om. F 6 καὶ om. Λ ἀνδριαντοποικη E et fecit J^1 : ἀνδριαντοποιητικὴ FI οὐ ΛM : ταῦτα δὲ οὐ E 8 κίνησις E^2ΛM : κίνησίς ἐστιν E^1 9 τῆς] αἴτιον τῆς Λ 12 ἐστίν EFJM : ἔστιν αἴτιον I 13 τῆς τοῦ sup. lin. E^1 15 τρόπους πίπτει ΛMPT : πίπτει τρόπους Bekker 17 ἡ om. E σκευαστῶν ΛMPS : κιτασκευαστῶν E 23 ἢ κίνησεως E^2ΛP : om. E^1MVS τὰ ΠMS^1 : τὸ PS^p δ' ΛPS : δ' ἄλλα E

öğüt veren birşeyin nedeni, baba da çocuğun. Genel anlamda yapılan şeyi yapan ve değiştiren şeyi değiştiren. Yine amaç (telos) da bir neden, bu ereksel nedendir (to hou heneka): sözgelişi gezintiye çıkmanın nedeni sağlık, "ne için gezintiye çıkıyor? -Sağlıklı kalmak amacıyla" diyoruz. Böyle deyince de nedeni gösterdiğimizi düşünüyoruz. Ayrıca devindiren bir başka nesneyle amaç arasındaki şeyler de ereksel neden kapsamına giriyor: sözgelişi zayıflama, banyo, ilaçlar ya da hekim araçları sağlığın nedeni. Nitekim bütün bunlar 'amaç' için, ama birbirlerinden şurada ayrılıyorlar: kimi eser, kimi araç.

Demek ki 'neden', yaklaşık bunca anlamda kullanılıyor. 'Neden', çok anlamda kullanıldığına göre aynı nesnenin ilineksel olmayan birçok nedeni olması da sözkonusu: sözgelişi bir başka şeyden ötürü değil, heykel heykel olarak alındıkta, hem heykeltraşlık sanatı hem de bronz, bir heykelin nedeni: ama neden olma tarzı aynı değil, biri madde olarak neden, öteki devinimin-değişmenin kaynaklandığı şey olarak. Birbirlerinin nedeni olan bazı nesneler de var: sözgelişi çalışma zindeliğin nedeni, zindelik de çalışmanın, ama tarz aynı değil: biri amaç olarak, öteki devinim-değişme ilkesi olarak. Ayrıca karşıtların nedeni aynı oluyor: varolduğunda belli bir nesnenin nedeni olan bir şey, varolmadığında kimi zaman tam karşıtının nedeni görünüyor: sözgelişi dümencinin yokluğu geminin batmasının nedeni, varlığı ise geminin selametinin nedeni. Ne ki şimdi sözünü ettiğimiz nedenlerin tümü dört ana tarzda toplanıyor: nitekim harfler hecelerin, madde araç-gereçlerin, ateş ve bu gibi öğeler cisimlerin; parçalar bütünün, varsayımlar sonuçların nedeni: bütün bunlar 'birşeyden' anlamında neden. Ama bunların bir kısmı taşıyıcı olarak neden, sözgelişi parçalar; kimi 'nelik' olarak, yani hem bütün, hem bileşim hem de biçim olarak neden. Oysa tohum, hekim, öğüt veren kişi, ve genel anlamda etkide bulunan nesne, bunların hepsi değişmenin, durağanlığın ya da devinimin

3. 194b 31 — 195b 13

τέλος καὶ τἀγαθὸν τῶν ἄλλων· τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι· διαφερέτω δὲ μηδὲν εἰπεῖν αὐτὸ ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν.

τὰ μὲν οὖν αἴτια ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει· τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μὲν εἰσί πολλοί, κεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. λέγεται γὰρ αἴτια πολλαχῶς, καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου, οἷον ὑγιείας ἰατρὸς καὶ τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ἀριθμός, καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὰ καθ' ἕκαστον. ἔτι δ' ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον ἀνδριάντος ἄλλως Πολύκλειτος καὶ ἄλλως ἀνδριαντοποιός, ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ τὸ Πολυκλείτῳ εἶναι. καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός, οἷον εἰ ὁ ἄνθρωπος αἴτιος εἴη ἀνδριάντος ἢ ὅλως ζῷον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πορρώτερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος. πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ τὰ κατὰ συμβεβηκὸς τὰ μὲν ὡς δυνάμενα λέγεται τὰ δ' ὡς ἐνεργοῦντα, οἷον τοῦ οἰκοδομεῖσθαι οἰκίαν οἰκοδόμος ἢ οἰκοδομῶν οἰκοδόμος. ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια τοῖς εἰρημένοις, οἷον τουδὶ τοῦ ἀνδριάντος ἢ ἀνδριάντος ἢ ὅλως εἰκόνος, καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ ἢ ὅλως ὕλης· καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα λεχθήσεται, οἷον οὐ Πολύκλειτος οὐδὲ ἀνδριαντοποιός, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. ἀλλ' ὅμως ἅπαντα ταῦτά ἐστι τὸ μὲν πλῆθος ἓξ, λεγόμενα δὲ διχῶς· ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον,

[a] 24–5 τὸ . . . ἄλλων $E^2\Lambda MPST$: om. E^1 25–6 μηδὲν . . . ἀγαθὸν] αὐτὸ μηδὲν εἰπεῖν ἀγαθὸν FI : μηδὲν αὐτὸ εἰπεῖν ἀγαθὸν JM : μηδὲν ἀγαθὸν αὐτὸ εἰπεῖν T 27 ταῦτα] τοιαῦτα I 29 γὰρ EIJMP : γὰρ τὰ FT 30 ἄλλο ἄλλου EIS : ἄλλου ἄλλο FJ ὑγιείας ὁ ἰατρὸς FIMPT 31 καὶ pr.] καὶ ὁ IJP καὶ tert. E^1M : καὶ ὁ $E^2\Lambda P$ 32 περιέχοντα ΛV : om. E τὸ IJP : τῷ F ἕκαστα I 33 et 34 ἄλλος I 36 ἀνδριάντος εἴη E

[b] 1 ὅλως τὸ ζῷον I 2 καὶ ὁ μουσικὸς $E^2\Lambda MVPST$: om. E^1 3 πάντα EFV : παρὰ πάντα IJMPS 5 οἰκίαν $E^2\Lambda V$: om. E^1M ὁ οἰκοδόμος Λ 6 ἢ EJMS : ἢ ὁ FI ante οἰκοδόμος erasit J ὁ δειχθήσεται F 7 τοῦδε ΛMP τοῦ ΛMP : om. E 8 ἢ ἀνδριάντος sup. lin. E^1 ἢ alt. EMVP : ἢ καὶ Λ 9 ἢ] ἢ καὶ F 11 οἷον . . . ἀνδριαντοποιός in mg. J^1 οὐδὲ . . . Πολύκλειτος om. I

ilkesinin kaynağı olarak neden. Kimi de 'amaç' ve başka nesnelerin 'iyi'si olarak neden: nitekim ereksel neden 'en iyi' ve ötekilerin amacı olmak demek. 'İyi'nin kendisi ya da 'iyi görünen' diyerek bir ayırım yapılmamalı.

Nedenler bunlar ve türce bu sayıda. Nedenlerin tarzları sayıca çok ama başlıcaları ele alındıkta bunların sayısı da azalıyor. Nitekim 'neden' sözcüğü çok anlamda kullanılıyor ve eşbiçimdekiler kendi içlerinde biri ötekinden önce ya da sonra olabiliyor: sözgelişi sağlığın nedeni hem hekim hem de belli meslekten olan kişi; ölçününki de hem iki ile birin oranı hem de 'sayı' denebilir. Böylece tek tek nesnelerle ilgili olarak da genel sınıflar. Ayrıca ilineksel olarak bunların cinsleri de; sözgelişi bir heykelin nedeni bir anlamda Polykleitos'tur, bir anlamda da heykeltraş; çünkü heykeltraşın Polykleitos olması ilineksel. Ama genel sınıflar da ilineksel: sözgelişi bir insanın ya da genelde bir canlının bir heykelin nedeni olması. Öte yandan ilineksel belirlenimlerden kimi ötekilerden daha uzak ya da daha yakın oluyor: sözgelişi heykelin nedeni 'ak kişi' ya da 'eğitimli kişi' denecek olsa. Bütün bu, hem asıl anlamda hem de ilineksel anlamda söylenenler içinde kimi olanak olarak kimi de etkinlik olarak söyleniyor. Sözgelişi bir mimar ya da inşa etmekte olan bir mimar, ev inşa etmenin nedeni olur. Nesnelerin asıl nedenleri olarak söylediklerimiz için de aynı biçimde söylenecek: sözgelişi şu belli heykelin, bir heykelin, ya da genelde bir imgenin; şu bronzun, bronzun ya da genelde maddenin. İlineklerle ilgili olarak da bu böyle. Ayrıca hem tek hem de bileşik nesne birlikte neden olarak söylenecektir: sözgelişi ne Polykleitos ne de heykeltraş, ama 'heykeltraş Polykleitos'tur neden. Gerçi bütün bunlar sayıca altı, ama iki biçimde söyleniyorlar: nitekim tek nesne, cins,

ἢ ὡς τὸ γένος, ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμπλεκόμενα ταῦτα ἢ ὡς ἁπλῶς λεγόμενα· πάντα δὲ ἢ ἐνεργοῦντα ἢ κατὰ δύναμιν. διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστι καὶ ὧν αἴτια, οἷον ὅδ' ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ καὶ ὅδε ὁ οἰκοδομῶν τῷδε τῷ οἰκοδομουμένῳ, τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί. φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

δεῖ δ' ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ ἀκρότατον ζητεῖν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων (οἷον ἄνθρωπος οἰκοδομεῖ ὅτι οἰκοδόμος, ὁ δ' οἰκοδόμος κατὰ τὴν οἰκοδομικήν· τοῦτο τοίνυν πρότερον τὸ αἴτιον, καὶ οὕτως ἐπὶ πάντων)· ἔτι τὰ μὲν γένη τῶν γενῶν, τὰ δὲ καθ' ἕκαστον τῶν καθ' ἕκαστον (οἷον ἀνδριαντοποιὸς μὲν ἀνδριάντος, ὁδὶ δὲ τουδί)· καὶ τὰς μὲν δυνάμεις τῶν δυνατῶν, τὰ δ' ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. ὅσα μὲν οὖν τὰ αἴτια καὶ ὃν τρόπον αἴτια, ἔστω ἡμῖν διωρισμένα ἱκανῶς.

Λέγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον τῶν αἰτίων, 4
καὶ πολλὰ καὶ εἶναι καὶ γίγνεσθαι διὰ τύχην καὶ διὰ τὸ αὐτόματον· τίνα οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ πότερον τὸ αὐτὸ ἡ τύχη καὶ τὸ αὐτόματον ἢ ἕτερον, καὶ ὅλως τί ἐστιν ἡ τύχη καὶ τὸ αὐτόματον, ἐπισκεπτέον. ἔνιοι γὰρ καὶ εἰ ἔστιν ἢ μὴ ἀποροῦσιν·
196ª οὐδὲν γὰρ δὴ γίγνεσθαι ἀπὸ τύχης φασίν, ἀλλὰ πάντων εἶναί τι αἴτιον ὡρισμένον ὅσα λέγομεν ἀπὸ ταὐτομάτου γίγνεσθαι ἢ τύχης, οἷον τοῦ ἐλθεῖν ἀπὸ τύχης εἰς τὴν ἀγοράν, καὶ καταλαβεῖν ὃν ἐβούλετο μὲν οὐκ ᾤετο δέ, αἴτιον τὸ βουλεσθαι ἀγοράσαι ἐλθόντα· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀπὸ τύχης λεγομένων ἀεί τι εἶναι λαβεῖν τὸ αἴτιον, ἀλλ' οὐ τύχην, ἐπεὶ εἴ γέ τι ἦν ἡ τύχη, ἄτοπον ἂν φανείη ὡς ἀλη-

[b] 15 ὡς alt. ΠΜ : om. S 16 ἡ pr. om. J¹ 18 αἴτια fecit E 18 et 19 ὁ ΛΤ : om. E 20 τὰ E²ΛPST : τὸ E¹ 23 ἄνθρωπος scripsi, leg. fort. P : ἄνθρωπος ΠS 24 κατὰ] ὅτι κατὰ ES 26 ἕκαστον EPT : ἑκαστα Λ ἑκαστον EP : ἑκαστα Λ 27 ὅδε δὲ τουδε E¹ 32 διὰ ΛST : διὰ τὴν E : καὶ διὰ F διὰ om. I 34 ἡ om. IJT 35 ἡ . . . αὐτόματον] αὐτόματον καὶ ἡ τύχη EV 36 εἰ καὶ I 196ª 1 δὴ om. Λ 2 τι om. FT λεγόμενα I ταὐτομάτου FIS : αὐτομάτου EJ 3 ἡ] καὶ F καὶ καταλαβεῖν εἰς τὴν ἀγορὰν I 5 ἐλθόντα ἀγοράσαι Λ 6 λεγομενων ΛVPST : λεγομεν E² : om. E¹

ilinek, ayırım, bileşik ya da yalın olarak söyleniyorlar ama hepsi de ya etkinlik olarak ya da olanak olarak. Fark şurada: etkin olan nedenler ve tek tek nesneler nedenleri oldukları nesnelerle eş zamanlı varoluyor; onlar olmazsa nedenler de olmuyor: sözgelişi şu tedavi eden kişi şu tedavi olanla, şu inşaatçı şu inşa edilenle [eş zamanlı], ama olanak halindeki nedenler her zaman eş zamanlı olmuyor: nitekim ev ile mimar aynı anda yokolmuyor.

Ne ki her zaman her nesnenin en uç nedenini araştırmak gerekiyor: tıpkı öteki nesnelerdeki gibi (sözgelişi bir insan, bir mimar olduğu için inşa eder, ama mimar mimarlık sanatına göre. Dolayısıyla bu sonuncu daha önce gelen nedendir; bütün nesnelerle ilgili olarak da bu böyle). Yine cinsler cinslerin, tek tek nesneler tek tek nesnelerin nedeni (sözgelişi heykeltraş heykelin, şu heykeltraş şu heykelin nedeni). Olanak halindeki nesneler olanak halindeki nesnelerin, etkinlik halindeki nesneler etkinlik halindeki nesnelerin nedeni. Demek kaç neden var, bunların neden olma tarzları ne, bunu yeterince belirlemiş olduk.

4 Talih ile rastlantı da nedenler olarak söyleniyor ve pek çok nesnenin talih veya rastlantıyla olduğu ya da oluştuğu belirtiliyor. Demek talih ile rastlantı bu nedenler arasında ne tarzda sayılabilir; acaba talih ile rastlantı aynı şey mi, yoksa farklı şeyler mi; genel anlamda talih ve rastlantı ne, işte bunları araştırmak gerekiyor. Nitekim talih ile rastlantı acaba var mı, yok mu diye soranlar var. Bunlar şöyle diyor: hiçbir şey talihle olmaz, şans eseri ya da rastlantı ile oluştuğu söylenen bütün nesnelerin belli bir nedeni vardır: sözgelişi biri şans eseri çarşıya çıkar ve orada karşılaşmak istediği ama beklemediği birine rastlarsa, bunun nedeni çarşıya çıkan kişinin alışveriş yapmak istemesidir. Benzeri biçimde rastlantı ile olduğu söylenen öteki durumlarda da bir rastlantının değil, belli bir nedenin olduğu ileri sürülüyor: çünkü talih diye birşey var idiyse, bunu gerçeklik olarak almak tutarsız olurdu ve şu sorulurdu:

3. 195b 14 — 4. 196a 34

θῶς, καὶ ἀπορήσειεν ἄν τις διὰ τί ποτ' οὐδεὶς τῶν ἀρχαίων σοφῶν τὰ αἴτια περὶ γενέσεως καὶ φθορᾶς λέγων περὶ τύχης οὐδὲν διώρισεν, ἀλλ' ὡς ἔοικεν, οὐδὲν ᾠοντο οὐδ' ἐκεῖνοι εἶναι ἀπὸ τύχης. ἀλλὰ καὶ τοῦτο θαυμαστόν· πολλὰ γὰρ καὶ γίγνεται καὶ ἔστιν ἀπὸ τύχης καὶ ἀπὸ ταὐτομάτου, ἃ οὐκ ἀγνοοῦντες ὅτι ἔστιν ἐπανενεγκεῖν ἕκαστον ἐπί τι αἴτιον τῶν γιγνομένων, καθάπερ ὁ παλαιὸς λόγος εἶπεν ὁ ἀναιρῶν τὴν τύχην, ὅμως τούτων τὰ μὲν εἶναί φασι πάντες ἀπὸ τύχης τὰ δ' οὐκ ἀπὸ τύχης· διὸ καὶ ἀμῶς γέ πως ἦν ποιητέον αὐτοῖς μνείαν. ἀλλὰ μὴν οὐδ' ἐκείνων γέ τι ᾠοντο εἶναι τὴν τύχην, οἷον φιλίαν ἢ νεῖκος ἢ νοῦν ἢ πῦρ ἢ ἄλλο γέ τι τῶν τοιούτων. ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι εἴτε οἰόμενοι παρέλειπον, καὶ ταῦτ' ἐνίοτε χρώμενοι, ὥσπερ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχῃ. λέγει γοῦν ἐν τῇ κοσμοποιίᾳ ὡς "οὕτω συνέκυρσε θέων τοτέ, πολλάκι δ' ἄλλως"· καὶ τὰ μόρια τῶν ζῴων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν.

εἰσὶ δέ τινες οἳ καὶ τοὐρανοῦ τοῦδε καὶ τῶν κόσμων πάντων αἰτιῶνται τὸ αὐτόματον· ἀπὸ ταὐτομάτου γὰρ γενέσθαι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν. καὶ μάλα τοῦτό γε αὐτὸ θαυμάσαι ἄξιον· λέγοντες γὰρ τὰ μὲν ζῷα καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι μήτε γίγνεσθαι, ἀλλ' ἤτοι φύσιν ἢ νοῦν ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον (οὐ γὰρ ὅ τι ἔτυχεν ἐκ τοῦ σπέρματος ἑκάστου γίγνεται, ἀλλ' ἐκ μὲν τοῦ τοιουδὶ ἐλαία ἐκ δὲ τοῦ τοιουδὶ ἄνθρωπος), τὸν δ' οὐρανὸν καὶ τὰ θειότατα τῶν φανερῶν ἀπὸ τοῦ αὐτομάτου γενέσθαι, τοιαύτην δ' αἰτίαν μη-

a 8 καὶ] κἂν E διὰ τί ποτ'] τί δήποτε A 12 ἀπὸ . . . ταὐτομάτου ΠΤ : secl. Torstrik ἃ οὐκ fecit E 13 ἔστιν] ἔστι, δεῖν εἰ δ fecit E ἐπενεγκεῖν F τῶν γιγνομένων] ὡρισμένον Torstrik 14 εἶπεν om. fort. S, secl. Diels 15 ὁμοίως E 18 νοῦν ἢ πῦρ EVT : πῦρ ἢ νοῦν Λ 20 παρέλειπον EFJP : παρέλιπον IST 21 ἀνωτάτω ἀποκρίνεσθαι ES : ἀποκρίνεσθαι ἀνωτάτω Λ 22 οὖν ἐν F 23 τοτέ Torstrik : τότε Π 24 φησιν ΛS : φησὶν οὗτος E 25 κόσμων E¹PST : κοσμικῶν E²ΛV ἁπάντων S 26 γενέσθαι Torstrik : γίγνεσθαι ΠP φασι τὴν I 28 γε αὐτὸ om. E¹ : γε om. T λέγοντας FJ 29 γὰρ om. F : τὸ J² : τὸ γὰρ E²J¹ 30 ἢ νοῦν] ἥντιν' οὖν E² τι EIJPS : om. FT 32 ἐλαίαν I 33 ἄνθρωπον I θειότατα PS : θειότερα Π 34 γενέσθαι E²ΛS : γίγνεσθαι E¹ δ' om. E¹

acaba niçin eski bilgelerden hiçbiri oluş ve yokoluş nedenlerinden sözederken talih diye birşeyi belirlemedi? Demek onlar da hiçbir şeyin talih eseri olduğuna inanmıyorlardı, bu çıkıyor. Ne ki şu da şaşırtıcı: talihi yadsıyan eski görüşe uygun olarak, oluşan nesnelerin herbirinin bir nedene bağlanmasının olanaklı olduğunu bilmez değilsek bile, talih eseri ve rastlantıyla oluşan ve varolan birçok nesne var. *Yine de bazı şeylerin* talih eseri olduğunu, bazılarının ise talih eseri olmadığını söylüyorlar. Bunun için bir biçimde bunu kendilerine sorun etmiş olsalar gerek. Ama onlar talihi DOSTLUK ya da KİN, US, 'ateş' ya da bu tür bir şey gibi görmüyorlardı. Acaba onlar talih diye bir şey yok diye mi düşünüyorlardı, yoksa onun varlığına inandıkları halde bir yana mı bırakıyorlardı, bu anlaşılmıyor. Üstelik [talih] diye bir şeyden sözediyorlardı: sözgelişi Empedokles havanın yukarılarda bulunmasının her zaman sözkonusu olmadığını, bir biçimde bunun talihe bağlı olduğunu söylüyor. Evrenin Oluşumu'nda şöyle diyor: "O zaman hava bu biçimde yükseldi ama çok kez de başka biçimde"[10] Hayvanların organlarının rastlantı sonucu oluştuğunu da ileri sürüyor.

Kimileri de var ki, bunlar şu gökyüzü ile bütün evrenin nedeni rastlantı, herşeyi karıştırıp şimdiki düzene sokan sarmal rastlantı ile oluştu diyor. Şu da şaşırtıcı bir şey: hem hayvanlarla bitkilerin talih eseri olmadığını ve oluşmadığını; ya bir doğanın ya US'un ya da böyle başka bir şeyin neden olduğunu söylüyorlar (çünkü, herbir tohumdan rastgele birşey oluşmuyor, belli bir tohumdan zeytin ağacı, belli birinden insan oluşuyor) hem de gökyüzü ve görünenler içinde en tanrısal olan nesnelerin rastlantı ile oluştuğunu, bunların nedeninin hayvanlarınki, bitkilerinki gibi bir neden

δεμίαν εἶναι οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν. καίτοι εἰ οὕτως ἔχει, τοῦτ' αὐτὸ ἄξιον ἐπιστάσεως, καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ αὐτοῦ. πρὸς γὰρ τῷ καὶ ἄλλως ἄτοπον εἶναι τὸ λεγόμενον, ἔτι ἀτοπώτερον τὸ λέγειν ταῦτα ὁρῶντας ἐν μὲν τῷ οὐρανῷ οὐδὲν ἀπὸ ταὐτομάτου γιγνόμενον, ἐν δὲ τοῖς οὐκ ἀπὸ τύχης πολλὰ συμβαίνοντα ἀπὸ τύχης· καίτοι εἰκός γε ἦν τοὐναντίον γίγνεσθαι.

εἰσὶ δέ τινες οἷς δοκεῖ εἶναι μὲν αἰτία ἡ τύχη, ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ ὡς θεῖόν τι οὖσα καὶ δαιμονιώτερον. ὥστε σκεπτέον καὶ τί ἑκάτερον, καὶ εἰ ταὐτὸν ἢ ἕτερον τό τε αὐτόματον καὶ ἡ τύχη, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἐμπίπτουσιν.

Πρῶτον μὲν οὖν, ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γιγνόμενα τὰ δὲ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι οὐδετέρου τούτων αἰτία ἡ τύχη λέγεται οὐδὲ τὸ ἀπὸ τύχης, οὔτε τοῦ ἐξ ἀνάγκης καὶ ἀεὶ οὔτε τοῦ ὡς ἐπὶ τὸ πολύ. ἀλλ' ἐπειδὴ ἔστιν ἃ γίγνεται καὶ παρὰ ταῦτα, καὶ ταῦτα πάντες φασὶν εἶναι ἀπὸ τύχης, φανερὸν ὅτι ἔστι τι ἡ τύχη καὶ τὸ αὐτόματον· τά τε γὰρ τοιαῦτα ἀπὸ τύχης καὶ τὰ ἀπὸ τύχης τοιαῦτα ὄντα ἴσμεν. τῶν δὲ γιγνομένων τὰ μὲν ἕνεκά του γίγνεται τὰ δ' οὔ (τούτων δὲ τὰ μὲν κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ προαίρεσιν, ἄμφω δ' ἐν τοῖς ἕνεκά του), ὥστε δῆλον ὅτι καὶ ἐν τοῖς παρὰ τὸ ἀναγκαῖον καὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἔστιν ἕνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του. ἔστι δ' ἕνεκά του ὅσα τε ἀπὸ διανοίας ἂν πραχθείη καὶ ὅσα ἀπὸ φύσεως. τὰ δὴ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης φαμὲν εἶναι (ὥσπερ γὰρ καὶ ὄν ἐστι τὸ μὲν καθ' αὐτὸ

196b 21–5 = *Met.* K. 1065a 26–30

---

a 35 εἰ] γε εἰ I 36 τοῦτ' E¹S : τοῦτό γε E²ΛP αὐτὸ E¹ΛP : ταὐτὸ E² : αὐτῶν S b 1 τούτου S : αὐτοῦ τούτου J ἄτοπον ΛS : ἄλογον EVP 2 ὁρῶντα E 4 τύχης pr. FIS : τύχης εἶναι EJ 5 γε om. E¹S γενέσθαι E²IJS εἶναι αἰτία μὲν E : μὲν εἶναι αἰτία S¹ : αἰτία μὲν εἶναι S^cT : εἶναι μέντοι P 8 τὸ αὐτὸ αὐτὸ E τε om. F 11 τὸ ΛP : om. E ὅτι] ὡς F 13 καὶ om. F τὸ ὡς F τὸ om. EF ἔστι τινὰ ἃ IP : τινα FJ 14 πε, F ταῦτα πάντες ES : πάντες ταῦτα Λ 15 τι om. S 16 καὶ... τύχης om. F 17 του om. E¹ 20 παρὰ] περὶ FJ² τὸ tert. ΛS : om. EP 22 τε om. FPST πραχθείη ΠPS : πραχθῇ Torstrik, fort. T 23 γένηται ΠMP : γένηται αἰτια Torstrik, fort. T 24 ὄν] ο E¹

olmadığını ileri sürüyorlar. Bu böyle olsa bile bu konu araştırmaya değer ve üzerinde konuşmak yerinde olur. Bütün bu söylenenlerin bunların ötesinde akıl almaz yanları var ama en tutarsızı, gökyüzünde hiçbir şeyin rastgele oluşmadığını görenlerin, talih eseri olmayanlar içinde pekçok şeyin talih eseri olmasının sözkonusu olduğunu söylemeleri. Açıkça tam karşıtının olması gerekirdi.

Yine bazıları var, bunlara göre talih bir neden, ama tanrısal ve çok gizemli bir şey olduğundan insan düşüncesince bilinemez. Dolayısıyla talih ile rastlantı ne, aynı şey mi yoksa farklı şeyler mi ve ne anlamda neden olarak belirlenen şeyler arasına sokuluyor, bunları incelemek gerekiyor.

5 İmdi herşeyden önce kimi nesnelerin her zaman 'öyle' oluştuğunu kimi nesnelerinse çoğu kez 'öyle' oluştuğunu gördüğümüze göre şu açık: bunların hiçbirinin, yani ne zorunlu ve her zaman öyle olan bir nesnenin ne de çoğu kez öyle olan bir nesnenin nedeni talihtir, talihe bağlıdır, denir. Ama değil mi ki, bunların dışında da oluşan nesneler var ve herkes bunların talihe bağlı olduğunu söylüyor, talih ve rastlantı diye bir şey var, bu açık. Nitekim böyle nesnelerin talihe bağlı olduğunu ve talihe bağlı olan nesnelerin böyle olduğunu biliyoruz. Ama oluşan nesnelerin kiminin bir 'ne için'i (bir ereği) var, kimininse yok (bunlardan ilki tercihe bağlı değil ama herikisi de 'birşey için' (bir ereksel nedeni) olan nesneler içinde), dolayısıyla şu açık: zorunlu olan ve çoğu kez öyle olan dışındaki nesneler içinde bazıları var ki, bunların da 'birşey için' olması [bir ereksel nedeninin olması] olası. Hem düşünce tarafından hem de doğa tarafından yapılmış olan herşey 'bir şey için' (bir amaç için)dir. Demek ki böyle nesneler ilineksel olarak oluştuğunda, onların talihe bağlı olarak oluştuğunu söylüyoruz (nasıl kimi

4. 196ª 35 — 5. 197ª 14

τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον ἐνδέχεται εἶναι, οἷον οἰκίας καθ' αὑτὸ μὲν αἴτιον τὸ οἰκοδομικόν, κατὰ συμβεβηκὸς δὲ τὸ λευκὸν ἢ τὸ μουσικόν· τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον· ἄπειρα γὰρ ἂν τῷ ἑνὶ συμβαίη). καθάπερ οὖν ἐλέχθη, ὅταν ἐν τοῖς ἕνεκά του γιγνομένοις τοῦτο γένηται, τότε λέγεται ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης (αὐτῶν δὲ πρὸς ἄλληλα τὴν διαφορὰν τούτων ὕστερον διοριστέον· νῦν δὲ τοῦτο ἔστω φανερόν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά τού ἐστιν)· οἷον ἕνεκα τοῦ ἀπολαβεῖν τὸ ἀργύριον ἦλθεν ἂν κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει· ἦλθε δ' οὐ τούτου ἕνεκα, ἀλλὰ συνέβη αὐτῷ ἐλθεῖν, καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα· τοῦτο δὲ οὐθ' ὡς ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον οὔτ' ἐξ ἀνάγκης· ἔστι δὲ τὸ τέλος, ἡ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων, ἀλλὰ τῶν προαιρετῶν καὶ ἀπὸ διανοίας· καὶ λέγεταί γε τότε ἀπὸ τύχης ἐλθεῖν, εἰ δὲ προελόμενος καὶ τούτου ἕνεκα ἢ ἀεὶ φοιτῶν ἢ ὡς ἐπὶ τὸ πολύ [κομιζόμενος], οὐκ ἀπὸ τύχης. δῆλον ἄρα ὅτι ἡ τύχη αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του. διὸ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη· ἡ γὰρ προαίρεσις οὐκ ἄνευ διανοίας.

ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι ἀφ' ὧν ἂν γένοιτο τὸ ἀπὸ τύχης. ὅθεν καὶ ἡ τύχη τοῦ ἀορίστου εἶναι δοκεῖ καὶ ἄδηλος ἀνθρώπῳ, καὶ ἔστιν ὡς οὐδὲν ἀπὸ τύχης δόξειεν ἂν γίγνεσθαι. πάντα γὰρ ταῦτα ὀρθῶς λέγεται, εὐλόγως. ἔστιν μὲν γὰρ ὡς γίγνεται ἀπὸ τύχης· κατὰ συμβεβηκὸς γὰρ γίγνεται, καὶ ἔστιν αἴτιον ὡς συμβεβηκὸς ἡ τύχη· ὡς δ' ἁπλῶς οὐδενός· οἷον οἰκίας οἰκοδόμος μὲν αἴ-

197ª 5–14 = 1065ª 30–35

ᵇ 29 τῷ] ἐν τω F 30 του γιγνομένοις om. E¹ τότε] το E¹ τοῦ ταυτομάτου J 31 αὐτὴν F 34 κομιζομενου JPST : κομιζόμενος E¹ : κομισαμένου E² : κομιστόμενος FI γρ. P 35 αὐτῷ om. ΛPS τοῦ κομίσασθαι ἕνεκα ΠPS : secl. Bonitz 197ª 1 ἔστι] ἔτι fecit E 2 προαιρετῶν καὶ ΠPS : ἀπροαιρετῶν καὶ οὐκ γρ. I V γρ. A 3 γε τότε] τὸ E καὶ om. E¹S 4 κομιζόμενος secl. Torstrik, om. fort. PT 6 τοῖς E¹ΛMS : τοῖς ἐπ ἐλαττον E²P τῶν ΠM : om. S 9 ἀπὸ ΛMPST : ἀπὸ τῆς E καὶ] δοκεῖ ΛT τοῦ ἀορίστου (ἀρίστου I) IIS : ἀόριστος P 10 δοκεῖ om. ΛT ἀπὸ τύχης οὐδέν I 12 ὅτι εὐλόγως ΛPS ὡς] ὡς οὐδέν Torstrik

nesne 'kendinde', 'kendi başına', kimi nesne ise 'ilineksel olarak' varsa, 25
nedeninin de böyle olması olası. Sözgelişi ev için 'kendi başına' neden
'mimar', ilineksel neden ise [bu mimarın] ak ya da eğitimli olması. De-
mek ki, kendinde neden belirli, ilineksel neden ise belirsiz, çünkü tek
nesne için sayısız şey ilinek olabilir). Öyleyse dediğimiz gibi 'birşey için' 30
olan nesnelerde bu sözkonusu olduğunda, o zaman "rastlantıyla", "talihe
bağlı olarak" deniyor (bunların birbirinden farkını ilerde belirlememiz
gerekiyor, şimdilik şu açık: herikisi de 'birşey için' olan nesnelerde). Söz-
gelişi biri bilseydi kendine borcu olan birinden parasını almak için belli
bir yere gidebilirdi. Oysa o bunun için gitmemiştir, rastgele gitmiştir ve 35
'parasını almak için' gitmiş olmuştur. Bu, oraya ne çoğu kez gittiği için
olmuştur ne zorunlu olarak ne de [her zaman] gittiği için. Amaç, yani pa- 197a
ranın alınması ise, gerçi 'kendinde neden' sayılmaz ama yine de tercih
edilen ve düşünceye bağlı olan nedenler içinde. İşte o zaman "şans eser-
i" gittiği söylenir; ama tercih ederek ve onun için sık sık oraya giderse
şans eseri denmez. Demek şu açık: talih, 'birşey için', tercihe göre olan 5
nesnelerde ilineksel bir neden. Bunun için düşünce ve talih aynı şeyle il-
gili, nitekim tercih düşünceden bağımsız değil.

O halde talihe bağlı olarak oluşan nesnelerin nedenlerinin belirsiz ol-
ması zorunlu. Bunun için talihin belirsiz ve insan için bilinmez olduğu da
düşünülüyor, hiçbir şeyin talih eseri oluşmadığı da düşünülüyor. Bütün 10
bunlar yerinde, akla uygun görüşler. Talihe bağlı oluşma olanaklı, çünkü
ilineksel anlamda oluşma var, talih de ilineksel anlamda bir neden, mutlak
anlamda hiçbir şeyin nedeni değil: sözgelişi bir evin nedeni mimardır ama

15 τιος, κατὰ συμβεβηκὸς δὲ αὐλητής, καὶ τοῦ ἐλθόντα κομίσασθαι τὸ ἀργύριον, μὴ τούτου ἕνεκα ἐλθόντα, ἄπειρα τὸ πλῆθος· καὶ γὰρ ἰδεῖν τινὰ βουλόμενος καὶ διώκων καὶ φεύγων καὶ θεασόμενος. καὶ τὸ φάναι εἶναί τι παράλογον τὴν τύχην ὀρθῶς· ὁ γὰρ λόγος ἢ τῶν ἀεὶ ὄντων ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ
20 τύχη ἐν τοῖς γιγνομένοις παρὰ ταῦτα. ὥστ' ἐπεὶ ἀόριστα τὰ οὕτως αἴτια, καὶ ἡ τύχη ἀόριστον. ὅμως δ' ἐπ' ἐνίων ἀπορήσειεν ἄν τις, ἆρ' οὖν τὰ τυχόντα αἴτι' ἂν γένοιτο τῆς τύχης· οἷον ὑγιείας ἡ πνεῦμα ἢ εἴλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι· ἔστιν γὰρ ἄλλα ἄλλων ἐγγύτερα τῶν κατὰ συμ-
25 βεβηκὸς αἰτίων. τύχη δὲ ἀγαθὴ μὲν λέγεται ὅταν ἀγαθόν τι ἀποβῇ, φαύλη δὲ ὅταν φαῦλόν τι, εὐτυχία δὲ καὶ δυστυχία ὅταν μέγεθος ἔχοντα ταῦτα· διὸ καὶ τὸ παρὰ μικρὸν κακὸν ἢ ἀγαθὸν λαβεῖν μέγα ἢ εὐτυχεῖν ἢ ἀτυχεῖν ἐστίν, ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ
30 μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. ἔτι ἀβέβαιον ἡ εὐτυχία εὐλόγως· ἡ γὰρ τύχη ἀβέβαιος· οὔτε γὰρ ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ οἷόν τ' εἶναι τῶν ἀπὸ τύχης οὐθέν. ἔστι μὲν οὖν ἄμφω αἴτια, καθάπερ εἴρηται, κατὰ συμβεβηκός—καὶ ἡ τύχη καὶ τὸ αὐτόματον—ἐν τοῖς ἐνδεχομένοις γίγνεσθαι μὴ ἁπλῶς
35 μηδ' ὡς ἐπὶ τὸ πολύ, καὶ τούτων ὅσ' ἂν γένοιτο ἕνεκά του.

Διαφέρει δ' ὅτι τὸ αὐτόματον ἐπὶ πλεῖόν ἐστι· τὸ μὲν 6
γὰρ ἀπὸ τύχης πᾶν . ἀπὸ ταὐτομάτου, τοῦτο δ' οὐ πᾶν
197b ἀπὸ τύχης. ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἐστὶν ὅσοις καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειεν καὶ ὅλως πρᾶξις. διὸ καὶ

197a 25–7 = 1065a 35–b 1

---

a 17 φεύγων καὶ θεασόμενος Sp : φεύγων καὶ θεασάμενος T : θεασόμενος καὶ φεύγων FI : θεασόμενος φεύγων J : φεύγων EV 18 εἶναί τι φάναι F : εἶναι φάναι τι IJ : εἶναι φάναι S 20 ταῦτα ΛP : ταῦταυτα E ἐπειδὴ E²IJ 21 ὅμως E²ΛPS : ὁμοίως E¹ 22 γένοιτο ἄν S 23 εἴλησις S : εἴλησις EIJ : εἴλισις F : εἰληθέρησις PT ἀποκεκαθάρθαι I 25 τύχη ΛPS : εὐτυχία δὲ ἐστιν ὅταν ὡς προείλετο ἀποβῇ, ἀτυχία δ' ὅταν παρὰ τὴν προαίρεσιν. τύχη ET 27 περὶ F 28 κακὸν ἢ ἀγαθὸν IIPpS : ἀγαθὸν ἢ κακὸν P¹ et ut vid. T λαβεῖν μέγα ΛPS : μέγα λαβεῖν E εὐτυχεῖν ἢ ἀτυχεῖν EVS : ἀτυχεῖν ἢ εὐτυχεῖν P¹ et ut vid. T : εὐτυχεῖν ἢ δυστυχεῖν Pp : δυστυχεῖν ἢ εὐτυχεῖν Λ 29 ἐστίν ΛP : ἐστίν τι E περὶ F 32 ἄμφω ΛVPS : om. E 35 ὅσ' ἂν γενοιτο EFJPS : ὅσ' ἂν γένοιτο ἐν τοῖς I : ἐν τοῖς Torstrik, fort. T 37 πᾶν pr. EJ²VST : om. FIJ¹ b 1 ἐστὶν EFJT : ἐστὶν ἐν IP

ilineksel anlamda [bu mimar] flütçü de olabilir: yine bir yere giden biri parasını alabilir, oysa oraya bunun için gitmemiştir, [oraya gitmesinin] sayısız nedeni olabilir: birini görmek istemiştir, davacıdır, davalıdır ya da sırf gezmeye gitmiştir. Talihin akla aykırı bir şey olduğu görüşü de yerinde, çünkü akıl ya her zaman olanlarla ya da çoğu kez olanlarla ilgili, oysa talih bunların dışında oluşan nesnelerle. Dolayısıyla böyle nedenler belirsiz olduğu için talih de belirsiz bir şey. Yine de bazı durumlarda acaba talihin de rastgele nedenleri olabilir mi diye sorulabilir: sözgelişi sağlığın nedeni nefes açma ya da güneş banyosu; saç kestirmek değil. Çünkü ilineksel anlamdaki nedenlerden bazıları ötekilerden daha yakın nedenler. Yine iyi bir şey sözkonusuysa talihe "iyi" kötü bir şey sözkonusuysa "kötü" denir. Bunlar önemli derecede olduğu zaman da "şanslılık", "şanssızlık". Bunun için kıl payı önemli bir iyi ya da kötü sonuç çıkması şanssızlık ya da şanslılıktır, çünkü düşüncede bu sanki gerçekleşmiş gibidir, nitekim 'kıl payı' olacak şey gerçekten olmuş gibi düşünülür. Ayrıca şanslılığın sağlam olmaması da akla uygun, çünkü talih 'sağlam' değil: talihe bağlı şeylerden hiçbiri ne her zaman olur ne de sık sık, bu olanaksız. Demek ki, dediğimiz gibi herikisi de, hem talih hem rastlantı mutlak anlamda ya da sık sık olması olası olmayan nesnelerde ilineksel anlamda neden. Ama bunların da hepsi 'bir şey için' olabiliyor.

6 [Talih ile rastlantı] arasındaki ayırım şu: rastlantının kapsamı daha geniş. Talih eseri olan her şey rastlantısal da, ama rastlantısal olan her şey talih eseri değil. Çünkü talih ile talih eseri olan şey şanslı olmanın ve genelde bir eylemin sözkonusu olduğu olaylarla 197b

5. 197ᵃ 15 — 6. 197ᵇ 30

ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι τὴν τύχην (σημεῖον δ' ὅτι δοκεῖ ἢτοι ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἡ εὐτυχία ἢ ἐγγύς, ἡ δ' εὐδαιμονία πρᾶξίς τις· εὐπραξία γάρ), ὥσθ' ὁπόσοις μὴ ἐνδέχεται πρᾶξαι, οὐδὲ τὸ ἀπὸ τύχης τι ποιῆσαι. καὶ διὰ τοῦτο οὔτε ἄψυχον οὐδὲν οὔτε θηρίον οὔτε παιδίον οὐδὲν ποιεῖ ἀπὸ τύχης, ὅτι οὐκ ἔχει προαίρεσιν· οὐδ' εὐτυχία οὐδ' ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητα, ὥσπερ ἔφη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοί, ὅτι τιμῶνται, οἱ δὲ ὁμόζυγες αὐτῶν καταπατοῦνται. τὸ δὲ πάσχειν ἀπὸ τύχης ὑπάρξει πως καὶ τούτοις, ὅταν ὁ πραττων τι περὶ αὐτὰ πράξῃ ἀπὸ τύχης, ἄλλως δὲ οὐκ ἔστιν· τὸ δ' αὐτόματον καὶ τοῖς ἄλλοις ζῴοις καὶ πολλοῖς τῶν ἀψύχων, οἷον ὁ ἵππος αὐτόματος, φαμέν, ἦλθεν, ὅτι ἐσώθη μὲν ἐλθών, οὐ τοῦ σωθῆναι δὲ ἕνεκα ἦλθε· καὶ ὁ τρίπους αὐτόματος κατέπεσεν· ἔστη μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκα, ἀλλ' οὐ τοῦ καθῆσθαι ἕνεκα κατέπεσεν. ὥστε φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς ἑνεκά του γιγνομένοις, ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται ὧν ἔξω τὸ αἴτιον, τότε ἀπὸ τοῦ αὐτομάτου λέγομεν· ἀπὸ τύχης δέ, τούτων ὅσα ἀπὸ τοῦ αὐτομάτου γίγνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν. σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ ἕνεκα ἄλλου ἐκείνου ἕνεκα, οἷον εἰ τὸ βαδίσαι λαπάξεως ἕνεκά ἐστιν, εἰ δὲ μὴ ἐγένετο βαδίσαντι, μάτην φαμὲν βαδίσαι καὶ ἡ βάδισις ματαία, ὡς τοῦτο ὂν τὸ μάτην, τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο οὗ ἕνεκα ἦν καὶ ἐπεφύκει, ἐπεὶ εἴ τις λούσασθαι φαίη μάτην ὅτι οὐκ ἐξέλιπεν ὁ ἥλιος, γελοῖος ἂν εἴη· οὐ γὰρ ἦν τοῦτο ἐκείνου ἕνεκα. οὕτω δὴ τὸ αὐτόματον καὶ κατὰ τὸ ὄνομα ὅταν αὐτὸ μάτην γένηται· κατέπεσεν γὰρ οὐ τοῦ πατάξαι ἕνεκεν

ᵇ 3 *τὴν* ΛΡΤ : om. E 4 *ἡ εὐτυχία* om. FJ¹P 5 *ὅσοις* ΛΤ 6 *τὸ* om. T, secl. Torstrik 12 *ἀπὸ τύχης ὑπάρχει* F : *ὑπάρξει ἀπὸ τύχης* J : *ὑπάρχει ἀπὸ τύχης* P 13 *ἀπό*] *τι ἀπὸ* EJ²P 14 *ἄλλοις* ΠP¹S : *ἀλόγοις* ΑP² *καὶ* om. I *πολλοῖς* EIJPS : om. FAT *τῶν ἀψύχων* EIVPS : *τοῖς ἀψύχοις* FJAT 17 *ἔστη* ΛV : *ἔστι* E *γὰρ* ⟨*ἂν*⟩ Torstrik 19 *του* om. F 20 *ὧν* ΠP : *οὗ* S 22 *τοῖς* ΠPS¹ : *ἐν τοῖς* S²T 23 *τὸ . . . ἐκείνου* ΠP (*ἄλλο* ex *ἄλλου* fecit E) : *τῷ ἕνεκα ἄλλου ἐκείνο οὗ* Prantl, fort. ST : *τὸ οὗ ἕνεκα ἄλλο ἐκείνου γρ.* S : *τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἐκείνου* Torstrik *εἰ τὸ βαδίσαι* ES : *τὸ βαδίσαι εἰ* Λ : *τὸ βαδίσαι* Bekker 24 *δὲ* om. S 25 *φαμὲν* EV : *ἔφαμεν* Λ 27 *ἦν καὶ* om. EV : *ἦν ἡ* ST 28 *ἐξέλιπεν* ΛPS : *ἐξέλειπεν* E 29 *καὶ* om. Λ 30 *οὐ*] *ὁ* F

ilgili. Bunun için talihin de eylemlerle ilgili olması zorunlu (kanıtı da şu: şanslı olmak mutlulukla ya aynı şey ya da ona yakın düşünülüyor, mutluluk ise bir eylem, iyi bir eylem). Dolayısıyla eylemenin olası olmadığı şeylerde talih eseri bir şey yapmak da beklenmez. Bunun için de cansız hiçbir şey, hayvan, hiçbir çocuk talihli eylemde bulunamaz, çünkü tercih yok bunlarda. Bunlarda talihli olma da talihsiz olma da sözkonusu değil; meğer ki, tıpkı Protarkhos'un "kendilerinden sunak yapılan taşlar talihli, çünkü saygı görüyorlar, oysa onların 'akrabaları' ayaklar altında" demesi gibi bir benzetme yapıla. Ama talih eseri bir şeye uğramak, eylemde bulunan, onlarla ilgili bir şeyi şans eseri yaptığında bunlar için de sözkonusu, başkaca bu olanaksız. Oysa rastlantı hem öteki canlılar için hem de pek çok cansız cisim için söz konusu. Sözgelimi at, bir yere gidip kendini kurtardığı için "rastlantı sonucu gitti" deriz, o kendini kurtarmak için gitmemiştir. Sandalye de rastgele oturulacak durumda kalmıştır, oturulmak için duruyordur ama, 'oturulmak için' oturulacak durumda kalmış değildir. Dolayısıyla şu çıkıyor: mutlak anlamda 'bir şey için' olup da nedeni dışarda olan nesnelerde, o oluşan şey amaç tutulmaksızın oluşma sözkonusu olunca, "rastlantı sonucu" diyoruz. 'Talih eseri'nden ise, rastlantı sonucu olmalarına karşın, tercih sahibi olanlarca tercih edilebilecek şeylerle ilgili olarak sözediyoruz. 'Boşuna'[11] sözcüğü de bunun göstergesi: bu sözcük, bir başka şey yüzünden o amaç gerçekleşmediği zaman kullanılır. Hazmetmek için gezmeğe çıkılmıştır, ama bu olmazsa, "boşuna gezmeğe çıktı", "gezinti boşuna" deriz; çünkü 'boşuna' sözcüğü, doğal olarak bir başka şey için varolan, sonra kendi varlığının ve doğasının amacı gerçekleşmediğinde kullanılan bir sözcük. Bunun için, biri boşuna yıkandığını, çünkü güneş çıkmadığını söylerse bu gülünç; çünkü yıkanma 'güneş çıkması için' değil. Demek 'rastlantı', adına uygun olarak, olay 'kendi başına' boşuna olduğunda kullanılır. Öyleyse taş rastlantı eseri düşmüştür,

ὁ λίθος· ἀπὸ τοῦ αὐτομάτου ἄρα κατέπεσεν ὁ λίθος, ὅτι πέσοι ἂν ὑπὸ τινὸς καὶ τοῦ πατάξαι ἕνεκα.

μάλιστα δ' ἐστὶ χωριζόμενον τοῦ ἀπὸ τύχης ἐν τοῖς φύσει γιγνομένοις· ὅταν γὰρ γένηταί τι παρὰ φύσιν, τότε οὐκ ἀπὸ τύχης ἀλλὰ μᾶλλον ἀπὸ ταὐτομάτου γεγονέναι φαμέν. ἔστι δὲ καὶ τοῦτο ἕτερον· τοῦ μὲν γὰρ ἔξω τὸ αἴτιον, τοῦ δ' ἐντός.

198ᵃ τί μὲν οὖν ἐστιν τὸ αὐτόματον καὶ τί ἡ τύχη, εἴρηται, καὶ τί διαφέρουσιν ἀλλήλων. τῶν δὲ τρόπων τῆς αἰτίας ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἑκάτερον αὐτῶν· ἢ γὰρ τῶν φύσει τι ἢ τῶν ἀπὸ διανοίας αἰτίων ἀεί ἐστιν· ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον. ἐπεὶ δ' ἐστὶ τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν ἡ νοῦς γένοιτο αἴτιος ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἰτιόν τι γένηται τούτων αὐτῶν, οὐδὲν δὲ κατὰ συμβεβηκός ἐστι πρότερον τῶν καθ' αὑτό, δῆλον ὅτι οὐδὲ τὸ κατὰ συμβεβηκὸς αἴτιον πρότερον τοῦ καθ' αὑτό. ὕστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως· ὥστ' εἰ ὅτι μάλιστα τοῦ οὐρανοῦ αἴτιον τὸ αὐτόματον, ἀνάγκη πρότερον νοῦν αἴτιον καὶ φύσιν εἶναι καὶ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντός.

7 Ὅτι δὲ ἔστιν αἴτια, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα φαμέν, δῆλον· τοσαῦτα γὰρ τὸν ἀριθμὸν τὸ διὰ τί περιείληφεν· ἡ γὰρ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί ἔσχατον, ἐν τοῖς ἀκινήτοις (οἷον ἐν τοῖς μαθήμασιν· εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος ἡ συμμέτρου ἢ ἄλλου τινὸς ἀνάγεται ἔσχατον), ἢ εἰς τὸ κινῆσαν πρῶτον (οἷον διὰ τί ἐπολέμησαν; ὅτι ἐσύ-

198ᵃ 5–13 = 1065ᵇ 2–4

ᵇ 31 ὁ pr. om. F 32 ἕνεκα τοῦ πατάξαι S 33 τοῦ EJ²VPSᵖ : τὸ FIJ¹S¹ 34 τι om. EVP 36 δὲ ΠP : γὰρ S τοῦ . . . τοῦ] τὸ . . . τὸ J ἔξω ΠP¹ : ἔξωθεν PᵖS 198ᵃ 1 τί alt. om. I 2 διαφέρει F τῶν . . . αἰτίας J¹PS : τῆς δ' αἰτίας τῶν τρόπων (τὸν τρόπον I) EIJ² : τὸν δὲ τρόπον τῆς αἰτίας F 3 ἑκάτερον IP 4 τι ante αἰτίων S αἰτίων E¹PST : αἴτιον E²A 5 ἡ τύχη καὶ τὸ αὐτόματον ST 6 ἡ pr. sup. lin. E¹ γένηται Torstrik 7 δὲ ΠM : δὲ τῶν ci. Torstrik, fort. S 8 αὐτό, ὥστ' οὐδ' αἴτιον, δῆλον EV (cf. M) 9 πότερον F 12 αἴτιον καὶ φύσιν ΛS (cf. M) : καὶ φυσιν αἰτίαν E¹ : καὶ φύσιν αἴτιον E² 13 τοῦ ΛAPST : om. E 14 ὅτι alt. EPS : ὅτι ἔστι Λ 17 γὰρ om. I

çünkü biri tarafından, birini vurmak için atılmış olabilirdi.

Rastlantı ile talihe bağlı olan şeyin en büyük ayrılığı doğa gereği oluşan nesnelerde: bir şey doğaya aykırı oluştuğu zaman "talihe bağlı olarak" değil, daha çok "rastlantısal olarak oluştu" deriz. Ama yine şu da var: birinin [rastlantı ile olanın] nedeni dışarda, ötekinin [doğal oluşmanın] nedeni kendi içinde.

İmdi rastlantı ne, talih ne, birbirlerinden farkları ne, bunları söylemiş olduk. Neden olma tarzlarına gelince: herikisi de devinim ilkesinin kaynağı olan nedenler içinde, çünkü her zaman ya doğa gereği olan ya da düşünmeye bağlı nedenlerden birini oluşturuyorlar. Ne ki bunların sayısı belirsiz. Rastlantı ile talih, nedeni us ya da doğa olabilecek -bunların kendilerinden ilineksel anlamda bir neden oluştuğu zaman- şeylerin nedenleri olduğuna göre ve ilineksel olan hiçbirşey 'kendinde', 'kendi başına' olandan önce gelmediğine göre şu açık: ilineksel neden de 'kendi başına', 'kendinde' nedenden önce gelmez. Demek rastlantı ile talih, us ile doğadan sonra gelir. Dolayısıyla gökyüzü düzeninin en büyük nedeni rastlantı bile olsa, usun ve doğanın, hem pek çok başka nesne için hem de bütün bu evren için rastlantıdan önce gelen bir neden olması zorunlu.

7 Nedenler var, sayıca da dediğimiz kadar, bu açık. Çünkü bunca sayıda 'ne için?' sorusunu içermiş bulunuyor. Nitekim 'ne için?' sorusu, sonunda ya 'nedir?' sorusuna indirgeniyor - bu devinimden bağımsız nesnelerde böyle (sözgelişi matematik bilimlerde: nitekim [niçin?], doğrunun, simetrinin ya bir başka şeyin tanımına indirgenir sonunda); ya ilk devindiriciye indirgenir (sözgelişi

6. 197b 31 — 7. 198b 9

λησαν), ἢ τίνος ἕνεκα (ἵνα ἄρξωσιν), ἢ ἐν τοῖς γιγνομένοις ἡ ὕλη. 20 21

ὅτι μὲν οὖν τὰ αἴτια ταῦτα καὶ τοσαῦτα, φανερόν· ἐπεὶ δ' αἱ αἰτίαι τέτταρες, περὶ πασῶν τοῦ φυσικοῦ εἰδέναι, καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα. ἔρχεται δὲ τὰ τρία εἰς [τὸ] ἓν πολλάκις· τὸ μὲν γὰρ τί ἐστι καὶ τὸ οὗ ἕνεκα ἕν ἐστι, τὸ δ' ὅθεν ἡ κίνησις πρῶτον τῷ εἴδει ταὐτὸ τούτοις· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ—καὶ ὅλως ὅσα κινούμενα κινεῖ (ὅσα δὲ μή, οὐκέτι φυσικῆς· οὐ γὰρ ἐν αὐτοῖς ἔχοντα κίνησιν οὐδ' ἀρχὴν κινήσεως κινεῖ, ἀλλ' ἀκίνητα ὄντα· διὸ τρεῖς αἱ πραγματεῖαι, ἡ μὲν περὶ ἀκινήτων, ἡ δὲ περὶ κινουμένων μὲν ἀφθάρτων δέ, ἡ δὲ περὶ τὰ φθαρτά). ὥστε τὸ διὰ τί καὶ εἰς τὴν ὕλην ἀνάγοντι ἀποδίδοται, καὶ εἰς τὸ τί ἐστιν, καὶ εἰς τὸ πρῶτον κινῆσαν· περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας σκοποῦσι, τί μετὰ τί γίγνεται, καὶ τί πρῶτον ἐποίησεν ἢ τί ἔπαθεν, καὶ οὕτως αἰεὶ τὸ ἑφεξῆς. δίτται δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσική· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν αὑτῇ. τοιοῦτον δ' ἐστὶν εἴ τι κινεῖ μὴ κινούμενον, ὥσπερ τό τε παντελῶς ἀκίνητον καὶ [τὸ] πάντων πρῶτον καὶ τὸ τί ἐστιν καὶ ἡ μορφή· τέλος γὰρ· καὶ οὗ ἕνεκα· ὥστε ἐπεὶ ἡ φύσις ἕνεκά του, καὶ ταύτην εἰδέναι δεῖ, καὶ πάντως ἀποδοτέον τὸ διὰ τί, οἷον ὅτι ἐκ τοῦδε ἀνάγκη τόδε (τὸ δὲ ἐκ τοῦδε ἢ ἁπλῶς ἢ ὡς ἐπὶ τὸ πολύ), καὶ εἰ μέλλει τοδὶ ἔσεσθαι (ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα), καὶ ὅτι τοῦτ' ἦν τὸ τί ἦν εἶναι, καὶ διότι βέλτιον οὕτως, οὐχ ἁπλῶς, ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου οὐσίαν. 21 22 23 25 30 35 198b 5

[a] 20 γιγνομένοις ΠΑ : γεννωμένοις PS 21 ταῦτα] τοιαῦτα I 22 αἱ om. ΛAS τὸν φυσικὸν fecit E 23 ἀποδώσει ὁ φυσικός E² 25 εἰ E¹ τὸ secl. Bonitz : om. PST ἕνεκα ἕν] ἕνεκα E¹V : ἕνεκεν P 26 κίνησις πρῶτον τῷ fecit E² 27 γὰρ ES : μὲν γὰρ Λ 30 ἀκινήτων EP : ἀκίνητον ΛS κινουμένων μέν ἀφθάρτων E¹P : κινούμενον μὲν ἄφθαρτον E²ΛS 31 τὰ om. J¹ 32–3 τὸ . . . εἰς om. F 34 σκοποῦσι ΠP : ζητοῦσι A τί alt. ΛVPST : om. E 35 ἐποίησαν F¹ τὸ ἑφεξῆς ἀεὶ S τῷ E 36 ἡ om. J¹ [b] 1 τοῦτο I 2 τό E²ΛVT : γὰρ τὸ E¹ τὸ seclusi : habent ΛST : τοι E 3 καὶ ἡ] ἡ F 4 ἡ EFJS : καὶ ἡ IP 5 καὶ FIVS : om. EP γρ. S, erasit J ὅτι om. F 6 τὸ ΛS : τόδε EP ἢ ὡς] ὡς F 8 βέλτιστον I

niçin savaştılar?' – 'çünkü saldırıya uğradılar'); yine [niçin], 'ne amaçla?' sonucu (egemenlik kurmak amacıyla) ya da oluşan nesnelerde madde.[12]

İmdi nedenlerin bunlar olduğu, bu kadar neden olduğu açık. Nedenler dört tane olduğuna göre doğabilimcisine düşen bunların hepsi üzerine bilgi edinmek: 'ne için?'i bütün bunlara indirgerse; yani maddeye, biçime, devindiriciye ve ereksel nedene indirgerse doğaya uygun olarak açıklama yapmış olacaktır. Ama çoğu kez üçü tek bir nedene indirgeniyor: 'nedir?' ile 'ereksel neden' tek şey, ilk devinim kaynağı da bunlarla biçimce aynı şey, nitekim bir insandan bir insan doğar. Genelde, devinip de devindiren bütün nesnelerde bu böyle (böyle olmayan bütün nesnelerle de doğabilimcinin işi yok, çünkü bu nesneler kendilerinde devinme taşıdıkları halde ya da devinim ilkesine sahip oldukları halde devinmiyor değiller, devinmez olduklarından. Bundan ötürü yapılacak üç araştırma var: devinmeyenler üzerine, devinen-değişen ama yokolmayanlar üzerine, yokolanlar üzerine). Dolayısıyla 'ne için?' hem maddeye, hem nedir'e (kavrama) hem de ilk devindiriciye bakarak açıklanabilir. Nitekim oluş üzerine araştırma özellikle şu tarzda yapılır: '*ne, neden sonra oluşuyor?*', 'ilk etkileyen ya da etkilenen ne?'; bu böyle devam eder. Demek doğal devinim ilkeleri iki tane, bunlardan biri de doğabilimiyle ilgili değil, çünkü devinim ilkesini kendi içinde taşımıyor. Devindirilmediği halde devinen nesne bu tür bir şey: tıpkı tümüyle 'devinimsiz olan', herşeyin 'ilk devindirici'si, 'nedir? (ti estin)' ve 'şekil (morphe)' gibi: nitekim bu zaten amaç ve ereksel neden. Dolayısıyla doğa 'birşey için' olduğuna göre, bunu, [doğayı] bilmek gerekiyor ve 'ne için?'ini bütünüyle açıklamak gerekiyor. Sözgelişi "şu nesneden zorunlu olarak şu nesne gelir (yani bundan ya mutlak anlamda [her zaman] ya da çoğu kez gelir); "buradaki şu nesne olacaksa..." (tıpkı kabullerden sonuç çıkarırmış gibi); "çünkü bu nelik idi", "niçin böyle mutlak anlamda değil de her nesnenin tözüyle ilgili olarak?"... gibi.

Λεκτέον δὴ πρῶτον μὲν διότι ἡ φύσις τῶν ἕνεκά του 8
αἰτίων, ἔπειτα περὶ τοῦ ἀναγκαίου, πῶς ἔχει ἐν τοῖς φυσικοῖς· εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέφυκεν καὶ τὸ ψυχρὸν καὶ ἕκαστον δὴ τῶν τοιούτων, ταδὶ ἐξ ἀνάγκης ἐστὶ καὶ γίγνεται· καὶ γὰρ ἐὰν ἄλλην αἰτίαν εἴπωσιν, ὅσον ἀψάμενοι χαίρειν ἐῶσιν, ὁ μὲν τὴν φιλίαν καὶ τὸ νεῖκος, ὁ δὲ τὸν νοῦν· ἔχει δ' ἀπορίαν τί κωλύει τὴν φύσιν μὴ ἕνεκά του ποιεῖν μηδ' ὅτι βέλτιον, ἀλλ' ὥσπερ ὗει ὁ Ζεὺς οὐχ ὅπως τὸν σῖτον αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης (τὸ γὰρ ἀναχθὲν ψυχθῆναι δεῖ, καὶ τὸ ψυχθὲν ὕδωρ γενόμενον κατελθεῖν· τὸ δ' αὐξάνεσθαι τούτου γενομένου τὸν σῖτον συμβαίνει), ὁμοίως δὲ καὶ εἴ τῳ ἀπόλλυται ὁ σῖτος ἐν τῇ ἅλῳ, οὐ τούτου ἕνεκα ὗει ὅπως ἀπόληται, ἀλλὰ τοῦτο συμβέβηκεν—ὥστε τί κωλύει οὕτω καὶ τὰ μέρη ἔχειν ἐν τῇ φύσει, οἷον τοὺς ὀδόντας ἐξ ἀνάγκης ἀνατεῖλαι τοὺς μὲν ἐμπροσθίους ὀξεῖς, ἐπιτηδείους πρὸς τὸ διαιρεῖν, τοὺς δὲ γομφίους πλατεῖς καὶ χρησίμους πρὸς τὸ λεαίνειν τὴν τροφήν, ἐπεὶ οὐ τούτου ἕνεκα γενέσθαι, ἀλλὰ συμπεσεῖν; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων μερῶν, ἐν ὅσοις δοκεῖ ὑπάρχειν τὸ ἕνεκά του. ὅπου μὲν οὖν ἅπαντα συνέβη ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίγνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως· ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ Ἐμπεδοκλῆς λέγει τὰ βουγενῆ ἀνδρόπρωρα.

ὁ μὲν οὖν λόγος, ᾧ ἄν τις ἀπορήσειεν, οὗτος, καὶ εἴ τις ἄλλος τοιοῦτός ἐστιν· ἀδύνατον δὲ τοῦτον ἔχειν τὸν τρόπον. ταῦτα μὲν γὰρ καὶ πάντα τὰ φύσει ἢ αἰεὶ οὕτω γίγνεται ἢ ὡς ἐπὶ τὸ πολύ, τῶν δ' ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου οὐδέν. οὐ γὰρ ἀπὸ τύχης οὐδ' ἀπὸ συμπτώματος δοκεῖ ὗειν πολλάκις τοῦ χειμῶνος, ἀλλ' ἐὰν ὑπὸ κύνα· οὐδὲ καύματα ὑπὸ κύνα, ἀλλ' ἂν χειμῶνος. εἰ οὖν ἢ ἀπὸ συμπτώματος δοκεῖ ἢ

[b] 10 δη EJVPS: δε FIT 13 καὶ alt. EIJ²T: καὶ τὸ F: om. J¹ 14 γίγνεται ET: γίγνεται καὶ πέφυκε Λ ἐὰν] κἂν F 18 αὐξήσαι I 19 τὸ alt. sup. lin. E², om. J¹P 21 συμβαίνει τὸν σῖτον Λ 22 ὗειν I 28 ὅσοις ΛP: οἷς E 29 κἂν ΛP: καὶ ES 32 βουγενῆ] βουγενῆ καὶ F 33 ᾧ] ὃν I ἄλλος ΛP: om. E 34 δὲ EJS: δὲ ταῦτα FI 35 οὕτως αἰεὶ F 36 οὐ] οὔτε Λ 199ᵃ 1 οὔτε Λ 3 εἰ] ἢ I ἢ pr. P: τὰ ὄντα E² in rasura, ἢ ὡς τὰ sup. lin. additis: ἢ ὡς J²: om. FIJ¹

8 Demek ki ilkin "niçin doğa ereksel nedenler arasında", bunu söylemek, sonra 'zorunluluk' doğal nesnelerde ne anlamda sözkonusu, bunu açıklamak gerekiyor: nitekim bütün nesneler bu nedene götürülüyor, çünkü sıcak-soğuk, bu gibi şeylerden herbiri doğal olarak böyle olduğu için bütün bu nesneler zorunlu olarak varolur ve oluşur. Bir başka neden ileri sürseler bile, kimi "DOSTLUK-KİN", kimi "US" dese bile, ona şöyle bir dokunup ucunu bırakıveriyorlar. Ama "doğanın 'bir şey için' etkinlikte bulunmamasına, öylesi iyi olduğu için de etkinlikte bulunmamasına ne engel var", diye sorulabilir: nasıl "Zeus'un yağması" ürün yetişsin diye değilse, bu zorunluysa (çünkü yükselen havanın soğuması, soğuyunca da su olup aşağı inmesi gerekir, bu da ekinin yetişmesini sağlar [rastgele]); aynı şekilde birinin ürünü doluda yokolup gitse, ürün yokolsun diye, bunun için dolu yağmamışsa, ama ilineksel olarak bu olmuşsa-. Dolayısıyla doğal nesnelerin parçalarının da böyle olmasına ne engel var? Sözgelişi öndişler zorunlu olarak keskin ve ısırmaya elverişli büyüyor, azı dişleriyse düz, besini çiğnemeye yarayacak biçimde. Oysa bu 'bunun için' olmamıştır, ilineksel olarak öyle olmuştur. Bir ereksel neden varmış gibi görünen öteki organlarla ilgili olarak da bu böyle. O halde ilineksel olarak oluşan herşey, ilineksel olarak uygun durumda bulunduğundan, sanki 'birşey için' oluşmuş gibi kendini korumuştur. Bu şekilde olmayanlar da Empedokles'in sözünü ettiği "insan yüzlü öküzler" gibi yokolmuşlar ve yokolmaktalar.

Demek ki bizi çıkmaza sokabilecek temellendirme bu, buna benzer başka biri. Oysa durumun bu tarzda olması olanaksız. Çünkü bütün bunlar; doğa gereği olan herşey; ya her zaman öyle oluşur ya da çoğu zaman; talih ya da rastlantıya bağlı şeylerden hiçbiri ise öyle değil. Nitekim kışın çok yağmur yağması hiç de talihe bağlı ya da rastgele (symptoma) değil, ama bu yazın sıcağında olsa elbette. Yazın sıcak basması da öyle değil, ama kışın ortasında sıcak bassa elbette. İmdi böyle şeylerin ya rastlantısal olarak

8. 198b 10 — 199a 30

ἕνεκά του εἶναι, εἰ μὴ οἷόν τε ταῦτ' εἶναι μήτε ἀπὸ συμπτώματος μήτ' ἀπὸ ταὐτομάτου, ἕνεκά του ἂν εἴη. ἀλλὰ μὴν φύσει γ' ἐστὶ τὰ τοιαῦτα πάντα, ὡς κἂν αὐτοὶ φαῖεν οἱ ταῦτα λέγοντες. ἔστιν ἄρα τὸ ἕνεκά του ἐν τοῖς φύσει γιγνομένοις καὶ οὖσιν.

ἔτι ἐν ὅσοις τέλος ἔστι τι, τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς. οὐκοῦν ὡς πράττεται, οὕτω πέφυκε, καὶ ὡς πέφυκεν, οὕτω πράττεται ἕκαστον, ἂν μή τι ἐμποδίζῃ. πράττεται δ' ἕνεκά του· καὶ πέφυκεν ἄρα ἕνεκά του. οἷον εἰ οἰκία τῶν φύσει γιγνομένων ἦν, οὕτως ἂν ἐγίγνετο ὡς νῦν ὑπὸ τῆς τέχνης· εἰ δὲ τὰ φύσει μὴ μόνον φύσει ἀλλὰ καὶ τέχνῃ γίγνοιτο, ὡσαύτως ἂν γίγνοιτο ᾗ πέφυκεν. ἕνεκα ἄρα θατέρου θάτερον. ὅλως δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται. εἰ οὖν τὰ κατὰ τέχνην ἕνεκά του, δῆλον ὅτι καὶ τὰ κατὰ φύσιν· ὁμοίως γὰρ ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν τὰ ὕστερα πρὸς τὰ πρότερα.

μάλιστα δὲ φανερὸν ἐπὶ τῶν ζῴων τῶν ἄλλων, ἃ οὔτε τέχνῃ οὔτε ζητήσαντα οὔτε βουλευσάμενα ποιεῖ· ὅθεν διαποροῦσί τινες πότερον νῷ ἢ τινι ἄλλῳ ἐργάζονται οἵ τ' ἀράχναι καὶ οἱ μύρμηκες καὶ τὰ τοιαῦτα. κατὰ μικρὸν δ' οὕτω προϊόντι καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γιγνόμενα πρὸς τὸ τέλος, οἷον τὰ φύλλα τῆς τοῦ καρποῦ ἕνεκα σκέπης. ὥστ' εἰ φύσει τε ποιεῖ καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιὰν καὶ ὁ ἀράχνης τὸ ἀράχνιον, καὶ τὰ φυτὰ τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω ἀλλὰ κάτω τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γιγνομένοις καὶ οὖσιν. καὶ ἐπεὶ ἡ φύσις

a 6 τ' E τὰ τοιαῦτα ΛS : ταῦτα E πάντα EJPS : γε πάντα FI 8 ὅσοις ΠP¹T : οἷς APPS τι ἐστι ΛPSᵖᶜ : ἐστι AS¹T τούτου] τὸ ἕνεκά του, τούτου A 10 οὕτω alt. . . . ἕκαστον hic EPS : post 11 ἐμποδίζῃ Λ 12 ἕνεκα του VPS : τούτου ἕνεκα Λ : τούτου ἕνεκά του E 13 τὰ φύσει FJ²V : om. EIJ¹ 15 δὲ EJ²PT : τε FIJ¹S 16 ἐπιτελεῖ ἃ fecit E² ἀπεργάζεσθαι FIJ¹T 17 κατὰ ΛS : κατὰ τὴν E 18 τὰ om. EJ¹ κατὰ ΛS : κατὰ τὴν E ἔχει ΛV : ἔχει ἐν τοῖς E 19 πρὸς τὰ πρότερα E²ΛS ; om. E¹ 21 ποιεῖ· διὸ ἀποροῦσι Λ 24 προϊόντα Λ et fecit E 25 ἕνεκα ante τῆς Λ 26 ὥστ' εἰ] ὡς τὴ E ποιεῖν J¹ τὴν] τὴν ητε περιφερῆ F 27 τὸ φύλλον E 29 κατω ἕνεκα της Λ ἡ pr. om. F

ya da 'birşey için' olduğu düşünülüyorsa, öte yandan bunların rastlantısal olarak da kural dışı olarak da olmaları olanaklı değilse, 'birşey için' olsalar gerek. İmdi bütün bu tür nesneler bunları ileri sürenlerin de dediği gibi doğa gereğidir. Öyleyse doğa gereği oluşan ve varolan nesnelerde bir 'ereksel neden', ("ne için") var.

Ayrıca bir amacı olan bütün nesnelerde bu amaçtan ötürü kimi şeyler önce yapılır kimi de sonra. İmdi bir engel olmadıkça her nesne nasıl yapılırsa doğası öyledir; doğası nasılsa öyle yapılır. Ne ki "birşeyden ötürü-birşey için" yapılır; öyleyse doğal olarak 'bir şey için'dir. Sözgelişi bir ev doğa gereği olan nesnelerden olsaydı şimdiki durumda sanat ile nasıl yapılıyorsa öyle oluşurdu; doğa gereği olan nesneler yalnızca doğa ile değil sanat ile de oluşsa doğal olarak nasıl olmuşsa aynı şekilde oluşur. Öyleyse birinden ötürü öteki var. Genelde söylendikte sanat doğanın tamamlayamadığı şeyleri tamamlar, kimini de taklit eder. O halde sanata bağlı olan nesneler birşeyden ötürü-birşey içinse, doğaya bağlı nesneler de öyle, bu açık. Nitekim önce ve sonra olanların birbiriyle ilgisi hem sanata bağlı nesnelerde hem de doğaya bağlı nesnelerde aynı şekilde.

Ama öteki hayvanlarda şu açık: yaptıklarını bir sanata bağlı olmadan, araştırmadan, kararlaştırmadan yapıyorlar. Kimileri "acaba örümcekler, karıncalar ve benzeri hayvanlar akılla mı yoksa bir başka şeyle mi işgörüyorlar?" diye soruyor. Bu yolda biraz ileri gidenler ise bitkilerde de amaç için yararlı şeyler oluşuyor diye düşünüyor; sözgelişi "yapraklar meyvayı korumak içindir". Dolayısıyla doğa gereği ve birşeyden ötürü güvercin yuvasını yapıyorsa, örümcek ağını örüyorsa, bitkiler yapraklarını 'meyvalar için' veriyor, köklerini 'beslenmek için' yukarı değil aşağıya salıyorsa, şu açık: doğa gereği oluşan ve varolan nesnelerde bu aynı neden

διττή, ἡ μὲν ὡς ὕλη ἡ δ' ὡς μορφή, τέλος δ' αὕτη, τοῦ τέλους δὲ ἕνεκα τἆλλα, αὕτη ἂν εἴη ἡ αἰτία, ἡ οὗ ἕνεκα.

ἁμαρτία δὲ γίγνεται καὶ ἐν τοῖς κατὰ τέχνην (ἔγραψε γὰρ οὐκ ὀρθῶς ὁ γραμματικός, καὶ ἐπότισεν [οὐκ ὀρθῶς] ὁ ἰατρὸς τὸ φάρμακον), ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ 199b φύσιν. εἰ δὴ ἔστιν ἕνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του, ἐν δὲ τοῖς ἁμαρτανομένοις ἕνεκα μέν τινος ἐπιχειρεῖται ἀλλ' ἀποτυγχάνεται, ὁμοίως ἂν ἔχοι καὶ ἐν τοῖς φυσικοῖς, καὶ τὰ τέρατα ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά του. καὶ ἐν ταῖς ἐξ ἀρχῆς ἄρα συστάσεσι τὰ βουγενῆ, εἰ μὴ πρός τινα ὅρον καὶ τέλος δυνατὰ ἦν ἐλθεῖν, διαφθειρομένης ἂν ἀρχῆς τινὸς ἐγίγνετο, ὥσπερ νῦν τοῦ σπέρματος.

ἔτι ἀνάγκη σπέρμα γενέσθαι πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῷα· καὶ τὸ "οὐλοφυὲς μὲν πρῶτα" σπέρμα ἦν.

ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του, ἧττον δὲ διῄρθρωται· πότερον οὖν καὶ ἐν τοῖς φυτοῖς ἐγίγνετο, ὥσπερ τὰ βουγενῆ ἀνδρόπρωρα, οὕτω καὶ ἀμπελογενῆ ἐλαιόπρωρα, ἢ οὔ; ἄτοπον γὰρ· ἀλλὰ μὴν ἔδει γε, εἴπερ καὶ ἐν τοῖς ζώοις.

ἔτι ἔδει καὶ ἐν τοῖς σπέρμασι γίγνεσθαι ὅπως ἔτυχεν· ὅλως δ' ἀναιρεῖ ὁ οὕτως λέγων τὰ φύσει τε καὶ φύσιν· φύσει γάρ, ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται εἴς τι τέλος· ἀφ' ἑκάστης δὲ οὐ τὸ αὐτὸ ἑκάστοις οὐδὲ τὸ τυχόν, ἀεὶ μέντοι ἐπὶ τὸ αὐτό, ἂν μή τι ἐμποδίσῃ. τὸ δὲ οὗ ἕνεκα, καὶ ὃ τούτου ἕνεκα, γένοιτο ἂν καὶ ἀπὸ τύχης, οἷον λέγομεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυσάμενος ἀπῆλθεν, ὅταν ὥσπερ ἕνεκα τούτου ἐλθὼν πράξῃ, μὴ ἕνεκα δὲ τούτου ἐλθῃ. καὶ τοῦτο κατὰ συμβεβηκός

[a] 31 ὡς alt.] ὡς ἡ J 32 ἡ pr. ΛS : om. E 34 οὐκ ὀρθῶς alt. om. E¹ : post ἰατρὸς P [b] 3 ἔχοι om. F 4 ἁμαρτήματα E²ΛS : om. E¹ του om. E¹ 7 ὥσπερ ... ἔτι fecit E² ἔτι ΛPS : εἴ γ' Hamelin 8 πρῶτον μὲν ἀλλὰ I 9 πρότερον I 10 ἔνεστι ΛAP : ἔστι ES ἤρθρωται E πρότερον F 11 καὶ om. F τὰ om. Λ 12 καὶ ἀμπελογενῆ EJVAPS : ἀμπελογενῆ καὶ FI 13 γε om. E¹ 14 καὶ FJAS : om. EI ὥσπερ F δ' ΠT : τε S 15 ὁ om. I 17 εἴς ΠS^c : ἐπί SPT 19 ὃ sup. lin. E¹ καὶ EJP : om. FI 20 λυσάμενος γρ. I γρ. P : λουσάμενος ΠP γρ. S : λυτρωσάμενος S 21 ἀφῆκε γρ. S του J 22 τούτου δ' FI : του δ' J καὶ τοῦτο fecit E²

var. Doğa da iki anlamda, hem madde hem de biçim (morphe) olarak kullanılıyor; amaç ise biçim (morphe); öteki şeyler amaç için, amaçtan ötürü: öyleyse biçim, şekil (morphe) nedendir, hem de 'ereksel neden' (he hou heneka).

Sanata bağlı şeylerde ise hata oluyor (sözgelişi yazman doğru yazmamıştır, hekim doğru ilaç vermemiştir), dolayısıyla bu doğal nesnelerde olası. Demek sanata bağlı kimi nesnelerde 'ereksel nedene' tam ulaşılıyorsa; hatalı şeylerde ise bir ereksel nedene uygun olarak iş görülüyor ama buna ulaşılamıyorsa doğal nesnelerde de bu böyle olsa gerek: sakatlıklar 'o ereksel neden'in hataları. Öyleyse öküz cinsleri başlangıçtaki yapısında belli bir sona ve amaca gidemeseydi, şimdiki örneğimizde tohumun hatalı olması gibi, bir ilke, bir başlangıç hatası olmuş olurdu.

Öte yandan ilkin hemen doğrudan hayvanın değil, bir tohumun oluşması zorunlu: ve tohum da "baştan hepten bozuktu".[13]

Yine bitkilerde de bir ereksel neden var ama daha az belirgin. Acaba öküzyüzlü insanlar gibi bitkilerde de aynı şekilde zeytinli asma dalları olur mu, olmaz mı? Akıl almaz bir şey, ama hayvanlarda bu oluyorsa onlarda da olsa gerek.

Yine tohumlarda da oluşmanın gelişigüzel olması gerekirdi. Ama bunu ileri süren kimse doğaya bağlı olan nesneleri ve doğayı ortadan kaldırıyor demektir, çünkü kendi içlerindeki bir ilke ile sürekli devinip bir amaca ulaşan nesneler, doğaya bağlı olan nesneler. Her ilkeden her nesne için tek ve aynı sonuç çıkmıyor, gelişigüzel bir sonuç da çıkmıyor: bir engel olmadıkça her zaman geçerli sonuç çıkıyor. Ereksel neden ile, ereksel nedenden ötürü olan nesne talihe bağlı da olabilir; sözgelişi sanki sırf bunun için gelmiş gibi "yabancı şans eseri geldi, onu kurtarıp gitti" diyoruz, oysa bunun için gelmemiştir. Bu ilineksel bir durum (nitekim talih daha

8. 199ᵃ 31 — 9. 200ᵃ 14

(ἡ γὰρ τύχη τῶν κατὰ συμβεβηκὸς αἰτίων, καθάπερ καὶ πρότερον εἴπομεν), ἀλλ' ὅταν τοῦτο αἰεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ γένηται, οὐ συμβεβηκὸς οὐδ' ἀπὸ τύχης· ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, ἂν μή τι ἐμποδίσῃ. 25 26

ἄτοπον δὲ τὸ μὴ οἴεσθαι ἕνεκά του γίγνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ κινοῦν βουλευσάμενον. καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται· καὶ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν τῇ φύσει ἐποίει· ὥστ' εἰ ἐν τῇ τέχνῃ ἔνεστι τὸ ἕνεκά του, καὶ ἐν τῇ φύσει. μάλιστα δὲ δῆλον, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν· τοῦτο γὰρ ἔοικεν ἡ φύσις. ὅτι μὲν οὖν αἰτία ἡ φύσις, καὶ οὕτως ὡς ἕνεκά του, φανερόν. 26 30

9 Τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει ἢ καὶ ἁπλῶς; νῦν μὲν γὰρ οἴονται τὸ ἐξ ἀνάγκης εἶναι ἐν τῇ γενέσει ὥσπερ ἂν εἴ τις τὸν τοῖχον ἐξ ἀνάγκης γεγενῆσθαι νομίζοι, ὅτι τὰ μὲν βαρέα κάτω πέφυκε φέρεσθαι τὰ δὲ κοῦφα ἐπιπολῆς, διὸ οἱ λίθοι μὲν κάτω καὶ τὰ θεμέλια, ἡ δὲ γῆ ἄνω διὰ κουφότητα, ἐπιπολῆς δὲ μάλιστα τὰ ξύλα· κουφότατα γάρ. ἀλλ' ὅμως οὐκ ἄνευ μὲν τούτων γέγονεν, οὐ μέντοι διὰ ταῦτα πλὴν ὡς δι' ὕλην, ἀλλ' ἕνεκα τοῦ κρύπτειν ἄττα καὶ σώζειν. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσιν, ἐν ὅσοις τὸ ἕνεκά του ἔστιν, οὐκ ἄνευ μὲν τῶν ἀναγκαίαν ἐχόντων τὴν φύσιν, οὐ μέντοι γε διὰ ταῦτα ἀλλ' ἢ ὡς ὕλην, ἀλλ' ἕνεκά του, οἷον διὰ τί ὁ πρίων τοιοσδί; ὅπως τοδὶ καὶ ἕνεκα τουδί. τοῦτο μέντοι τὸ οὗ ἕνεκα ἀδύνατον γενέσθαι, ἂν μὴ σιδηροῦς ᾖ· ἀνάγκη ἄρα σιδηροῦν εἶναι, εἰ πρίων ἔσται καὶ τὸ ἔργον αὐτοῦ. ἐξ ὑποθέσεως δὴ τὸ ἀναγκαῖον, ἀλλ' οὐχ ὡς τέλος· ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον, τὸ δ' οὗ ἕνεκα ἐν

ᵇ 23 ἡ . . . συμβεβηκὸς om. E¹ 24 ἀλλ' ὅταν om. E¹ ἢ fecit E γίγνηται Λ 25 οὐ] οὐ κατὰ J²S 26 οἴεσθαι καὶ ἕνεκά S¹ 27 ἐὰν μὴ εἴδωσι ἢ fecit E² κοινοῦν I 28 βουλεύεται J¹ εἰ E¹VPS : γὰρ εἰ E²Λ 29 τῇ E²ΛP : om. E¹ 30 τῇ alt. om. E¹ φύσει] φύσει ἔνεστι Λ : φύσει ἔτι ἔστι E² 200ᴿ 1 ἂν om. E¹T γεγενῆσθαι ἐξ ἀνάγκης Λ : ἐξ ἀνάγκης T 2 ὀνομάζοι E 3 κοῦφα ΛT : κοῦφα ἐξ E 4 διὰ EIJP : διὰ τὴν FT 7 ἄττα FPT : αὐτὰ E²J : om. E¹I 8 ἐν ὅσοις om. S ὅσοις fecit E² τὸ ΛPS : om. E 9 φύσιν . . . γε fecit E² γε om. FS ὡς δι' ὕλην S 10 τοιοσδί ΛP : τοιουτοσί E 11 τὸ οὗ et 12 ᾖ fecit E

önce de dediğimiz gibi ilineksel nedenlerden), ama bu her zaman ya da çoğu kez olursa ilineksel değil, talihe de bağlı değil. Doğal nesnelerde ise bir engel olmadıkça her zaman böyle.

Belirleyici bir nedeni görememelerinden yola çıkıp ereksel nedenin olmadığına inanmaları da saçma. Sanat da belirleyici olmuyor: tahtanın içinde gemi yapma sanatı içkin olsa doğa gibi işlerdi. Dolayısıyla sanatta ereksel neden varsa doğada da var. Birinin kendi kendini tedavi etmesi durumunda bu çok açık, çünkü doğa tam buna benziyor. Sonuçta doğanın ereksel neden anlamında bir neden olduğu açık.

9 "Zorunlu", acaba bir koşula bağlı olarak mı yoksa mutlak olarak mı sözkonusu? Nitekim günümüzde şuna inanılıyor: oluşta zorunluluk tıpkı duvarın oluşunda zorunluluk olduğuna inanılması gibidir, çünkü ağır nesneler doğal olarak altta, hafif nesnelerse üstte bulunur, bunun için taşlar temel olarak alta, toprak hafifliğinden ötürü onun üstüne, en üste de tahta gelir, çünkü en hafifi o. Gerçi [duvarda] oluş bunlardan bağımsız değildir, ama sırf bunlar için yani maddeden ötürü değildir, kimi şeyleri örtmek, korumak içindir. Ereksel nedeni olan bütün nesnelerde bu böyle: zorunlu doğaya sahip olan şeylerden bağımsız değildirler ama sırf madde anlamındaki nesneler 'için' de değildirler, ereksel nedenleri vardır. Sözgelişi: -Niçin testere şu özellikte olur?- Şunu şundan ötürü yapabilsin diye. Testere demirden olmasa bu ereksel nedenin oluşması olanaksız. Demek ki testere olacaksa ve iş görücekse onun demirden olması zorunlu. İmdi zorunlu olan koşula bağlı, amaç olarak değil; çünkü zorunluluk maddede var, ereksel neden

15 τῷ λόγῳ.

15 ἔστι δὲ τὸ ἀναγκαῖον ἔν τε τοῖς μαθήμασι καὶ ἐν τοῖς κατὰ φύσιν γιγνομένοις τρόπον τινὰ παραπλησίως· ἐπεὶ γὰρ τὸ εὐθὺ τοδί ἐστιν, ἀνάγκη τὸ τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχειν· ἀλλ' οὐκ ἐπεὶ τοῦτο, ἐκεῖνο· ἀλλ' εἴ γε τοῦτο μὴ ἔστιν, οὐδὲ τὸ εὐθὺ ἔστιν. ἐν δὲ τοῖς γιγνομένοις ἕνεκά του ἀνάπαλιν,
20 εἰ τὸ τέλος ἔσται ἢ ἔστι, καὶ τὸ ἔμπροσθεν ἔσται ἢ ἔστιν· εἰ δὲ μή, ὥσπερ ἐκεῖ μὴ ὄντος τοῦ συμπεράσματος ἡ ἀρχὴ οὐκ ἔσται, καὶ ἐνταῦθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα. ἀρχὴ γὰρ καὶ αὕτη, οὐ τῆς πράξεως ἀλλὰ τοῦ λογισμοῦ (ἐκεῖ δὲ τοῦ λογισμοῦ· πράξεις γὰρ οὐκ εἰσίν). ὥστ' εἰ ἔσται οἰκία, ἀνάγκη
25 ταῦτα γενέσθαι ἢ ὑπάρχειν, ἢ εἶναι [ἢ] ὅλως τὴν ὕλην τὴν ἕνεκά του, οἷον πλίνθους καὶ λίθους, εἰ οἰκία· οὐ μέντοι διὰ ταῦτά ἐστι τὸ τέλος ἀλλ' ἢ ὡς ὕλην, οὐδ' ἔσται διὰ ταῦτα. ὅλως μέντοι μὴ ὄντων οὐκ ἔσται οὔθ' ἡ οἰκία οὔθ' ὁ πρίων, ἡ μὲν εἰ μὴ οἱ λίθοι, ὁ δ' εἰ μὴ ὁ σίδηρος· οὐδὲ γὰρ ἐκεῖ αἱ
30 ἀρχαί, εἰ μὴ τὸ τρίγωνον δύο ὀρθαί.

30 φανερὸν δὴ ὅτι τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς τὸ ὡς ὕλη λεγόμενον καὶ αἱ κινήσεις αἱ ταύτης. καὶ ἄμφω μὲν τῷ φυσικῷ λεκτέαι αἱ αἰτίαι, μᾶλλον δὲ ἡ τίνος ἕνεκα· αἴτιον γὰρ τοῦτο τῆς ὕλης, ἀλλ' οὐχ αὕτη τοῦ τέλους· καὶ τὸ τέλος τὸ οὗ ἕνεκα, καὶ ἡ
35 ἀρχὴ ἀπὸ τοῦ ὁρισμοῦ· καὶ τοῦ λόγου, ὥσπερ ἐν τοῖς κατὰ
200b τέχνην, ἐπεὶ ἡ οἰκία τοιόνδε, τάδε δεῖ γενέσθαι καὶ ὑπάρχειν ἐξ ἀνάγκης, καὶ ἐπεὶ ἡ ὑγίεια τοδί, τάδε δεῖ γενέσθαι ἐξ ἀνάγκης καὶ ὑπάρχειν—οὕτως καὶ εἰ ἄνθρωπος τοδί, ταδί· εἰ δὲ ταδί, ταδί. ἴσως δὲ καὶ ἐν τῷ λόγῳ ἔστιν τὸ

[a] 15–16 καὶ . . . φύσιν $E^2\Lambda P$: om. E^1 17 τοδὶ ἐστιν fecit E^2 ὀρθὰς F ἴσας $E^2\Lambda PS$: om. E 18 ἐπεὶ V : ἐπὶ E : εἰ ΛPST ἀλλ' εἰ γε τ fecit E^2 19 οὐδὲ . . . ἔστιν om. E^1 ἀνάπαλιν om. E^1V 20 τὸ om. E^1 καὶ om. ΛP 21 τοῦ συμπεράσματος $E^2\Lambda V$: om. E^1 23 ἀλλὰ E^1IJ^2P : δὲ ἀλλὰ E^2FJ^1 24 ἀνάγκη ταῦτα EFP : ταῦτα ἀνάγκη IJ 25 ἢ seclusi, om. P : ἢ καὶ E 27 ὕλην Aldina : ὕλης fecit E^2 : ὕλη IJ : ἡ ὕλη F 28 οὐδ' ἡ . . . οὐδ' FI 30 ὀρθαῖς ΛS 32 αἱ alt. om. F 33 τίνος PST : τινὸς Π 34 οὐκ αὐτὴ I τὸ alt.] τοῦ E ἡ EFP : om. IJ [b] 1 ἡ Λ et sup. lin. E^1 : om. T γενέσθαι $E^2\Lambda T$: γίγνεσθαι E^1 ὑπάρξειν I καὶ] ἢ J^1 2 γενέσθαι FIT : γίγνεσθαι EJ 3 τοδὶ $E^2\Lambda V$: om. E^1ST 4 ταδὶ alt. ΠS : τοδὶ ut vid. T τὰ ἀναγκαῖα I

ter kavramda.

Öte yandan bilimlerdeki (matematikteki) zorunluluk ile doğada oluşan nesnelerdeki zorunluluk arasında bir tarz benzerlik var: nitekim açı belli bir biçimde tanımlanmıştır; üçgenin iç açılarının da yüzseksen derece olması zorunlu, ama tersi zorunlu değil, yani bu olmazsa açı da yok değil. Oysa birşeyden ötürü, bir şey için oluşan nesnelerde tersi: amaç olacaksa ya da varsa, ondan önce gelen de olacaktır ya da vardır. Yoksa olmaz; yukarıdaki gibi sonuç olmayınca başlangıç yoktur ve burada artık amaç ile ereksel neden de yoktur. Çünkü ereksel neden de eylemin değil, kavramın başlangıcı (burada kavramdan sözedilir çünkü eylem yok). Dolayısıyla bir ev olacaksa belli koşulların olması, bulunması, oluşması ya da kısaca birşey için olan madde zorunlu, sözgelişi bir ev olacaksa, tuğla ile taş. Ne ki yine de amaç bunlar için değil, yani maddeye bağlı değil, bunlar 'için' de olmayacaktır. Genelde söylersek bunlar olmazsa ne ev olacak ne testere: taşlar olmazsa ev, demir olmazsa testere olmayacak, yukarıdaki örnekte de üçgen iki dik açıya eşit değilse ilkeler geçerli değil.

Demek ki şu açık: doğal nesnelerde "zorunlu", madde olarak söylenen şey ile maddedeki devinimler. Doğabilimci herikisinden de sözetmeli ama daha çok 'bir şey için' olandan; çünkü bu, maddenin nedenidir, madde amacın nedeni değil. Amaç ereksel nedendir: ilke de tıpkı sanata bağlı olan nesnelerdeki gibi tanımla kavrama bağlı. Ev belli bir şey olduğundan, belli şeylerin oluşması ve bulunması zorunlu; yine sağlık belli bir şey olduğundan belli şeylerin oluşması ve bulunması zorunlu. Bu şekilde insan belli bir şeyse belli şeyler zorunlu; belli şeylerse onlar da. Ama belki

9. 200ª 15 — 1. 200ᵇ 28

ἀναγκαῖον. ὁρισαμένῳ γὰρ τὸ ἔργον τοῦ πρίειν ὅτι διαίρεσις τοιαδί, αὕτη γ' οὐκ ἔσται, εἰ μὴ ἕξει ὀδόντας τοιουσδί· οὗτοι δ' οὔ, εἰ μὴ σιδηροῦς. ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ ἕνια μόρια ὡς ὕλη τοῦ λόγου.

Γ.

1 Ἐπεὶ δ' ἡ φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς, ἡ δὲ μέθοδος ἡμῖν περὶ φύσεώς ἐστι, δεῖ μὴ λανθάνειν τί ἐστι κίνησις· ἀναγκαῖον γὰρ ἀγνοουμένης αὐτῆς ἀγνοεῖσθαι καὶ τὴν φύσιν. διορισαμένοις δὲ περὶ κινήσεως πειρατέον τὸν αὐτὸν ἐπελθεῖν τρόπον περὶ τῶν ἐφεξῆς. δοκεῖ δ' ἡ κίνησις εἶναι τῶν συνεχῶν, τὸ δ' ἄπειρον ἐμφαίνεται πρῶτον ἐν τῷ συνεχεῖ· διὸ καὶ τοῖς ὁριζομένοις τὸ συνεχὲς συμβαίνει προσχρήσασθαι πολλάκις τῷ λόγῳ τῷ τοῦ ἀπείρου, ὡς τὸ εἰς ἄπειρον διαιρετὸν συνεχὲς ὄν. πρὸς δὲ τούτοις ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου κίνησιν ἀδύνατον εἶναι. δῆλον οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα, σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων (ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν ἐστιν)· καὶ πρῶτον, καθάπερ εἴπαμεν, περὶ κινήσεως. ἔστι δὴ [τι] τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι, τὸ δὲ τοσόνδε, τὸ δὲ τοιόνδε, καὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν ὁμοίως. τοῦ δὲ πρὸς

200ᵇ 26-8 = 1065ᵇ 5-7

ᵇ 5 ὁρισαμένῳ F et fort. PST: ὁρισάμενοι E: ὁρισαμένου IJ: ὡρισμένον Prantl πρίειν ΠΤ: πρίονος ut vid. S 6 γ scripsi: δ' Π 7 οὔ om. EI 8 τοῦ erasit E

Tit. φυσικης ἀκροάσεως γ περὶ ἀπείρου E: φυσικῶν γ I 12 καὶ EIJPST: καὶ στάσεως καὶ FV 13 ἐστι om. E¹V δεῖ . . . 14 κίνησις om. EV¹ 14-16 ἀναγκαῖον . . . ἐφεξῆς] ἀναγκαῖον πρῶτον μὲν εἰπεῖν τί ἐστι κίνησις, ἔπειτα τοῦτο διορισαμένους περὶ τῶν ἐφεξῆς τὸν αὐτὸν ἐπελθεῖν τρόπον V et in litura E 18 συμβαίνει] ἀνάγκη P: συμβαίνει ἀνάγκη E 19 προσχρήσθαι IJ ἀπείρου, ὡς τὸ εἰς om. E 21 κίνησιν ἀδύνατον FPS: ἀδύνατον κίνησιν Λ 22 τε E²ΛPS: om. E¹ 23 ταῦτα S: πᾶσι E: ταῦτα πᾶσι ΛP 25 καὶ πρῶτον] πρῶτον δὲ Λ εἴπομεν FI 26 τι τὸ μὲν ΛS et fecit E: τὸ μὲν MP μόνον om. γρ. S τὸ ΠM(Aᵇ)APST Porphyrius: τὸ δὲ δυνάμει, τὸ M(EJ), Spengel 27 τὸ δὲ alt. om. F 28 τῶν pr. E¹J¹S (cf. M): ἐπὶ τῶν E²FIJ²

kavramda da zorunluluk var. Nitekim testerenin işi belli bir biçimde kesme diye tanımlandığında, testerenin belli bir biçimde dişleri olmazsa bu kesme-ayırma olmayacak; demirden değilse, belli bir biçimde dişleri olmayacaktır. Yani tanımda da tanımın maddesi olarak bazı parçalar var.

Üçüncü Kitap

1 Madem doğa bir devinim[14] ve değişme ilkesi ve madem araştırmamız doğa üzerine, devinim ne, bunu gözden kaçırmamamız gerekiyor, çünkü devinim bilinmediğinde doğa da bilinemez. Devinim konusunda belirleme yaptıktan sonra izleyen konularda da aynı tarzda ilerlemeli. Devinimin sürekli olan şeylerden olduğu düşünülüyor, "sürekli" kavramında ilk görünen şeyse 'sonsuzluk'. Bunun için "sürekli" kavramını belirleyenlerin çoğu kez "sonsuz" kavramından yararlanmaları sözkonusu, nitekim 'sürekli olan' sonsuza ayrılabilen şey.[15] Ayrıca yerden, boşluktan ve zamandan bağımsız bir devinim olanaksız. İmdi şu açık: hem bu yüzden hem de bütün bunların ortak ve tümel kavramlar olması nedeniyle herbirini tek tek ele alıp incelemek gerekiyor (çünkü özel durumlar üzerine çalışma ortak durumlar üzerine olandan sonra gelir). Ne ki dediğimiz gibi ilkin devinim konusuyla başlayalım. İmdi bir nesne yalnızca gerçeklik halinde varolur, bir de hem olanak hem de gerçeklik halinde varolur. Belirli bir nesne, belirli bir nicelik, belirli bir nitelik ve öteki varlık kategorilerinde de bu böyle. Ama

τι τὸ μὲν καθ' ὑπεροχὴν λέγεται καὶ κατ' ἔλλειψιν, τὸ δὲ κατὰ τὸ ποιητικὸν καὶ παθητικόν, καὶ ὅλως κινητικόν τε καὶ κινητόν· τὸ γὰρ κινητικὸν κινητικὸν τοῦ κινητοῦ καὶ τὸ κινητὸν κινητὸν ὑπὸ τοῦ κινητικοῦ. οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα· μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον ἢ κατ' οὐσίαν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον, κοινὸν δ' ἐπὶ τούτων οὐδὲν ἔστι λαβεῖν, ὡς φαμέν, ὃ οὔτε τόδε οὔτε ποσὸν οὔτε ποιὸν οὔτε τῶν ἄλλων κατηγορημάτων οὐθέν· ὥστ' οὐδὲ κίνησις οὐδὲ μεταβολὴ οὐθενὸς ἔσται παρὰ τὰ εἰρημένα, μηθενός γε ὄντος παρὰ τὰ εἰρημένα. ἕκαστον δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε (τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις), καὶ κατὰ τὸ ποιόν (τὸ μὲν γὰρ λευκὸν τὸ δὲ μέλαν), καὶ κατὰ τὸ ποσὸν τὸ μὲν τέλειον τὸ δ' ἀτελές. ὁμοίως δὲ καὶ κατὰ τὴν φορὰν τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ τὸ μὲν κοῦφον τὸ δὲ βαρύ. ὥστε κινήσεως καὶ μεταβολῆς ἔστιν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος.

διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει, ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτον, κίνησίς ἐστιν, οἷον τοῦ μὲν ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτόν, ἀλλοίωσις, τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ (οὐδὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν) αὔξησις καὶ φθίσις, τοῦ δὲ γενητοῦ καὶ φθαρτοῦ γένεσις καὶ φθορά, τοῦ δὲ φορητοῦ φορά. ὅτι δὲ τοῦτο ἔστιν ἡ κίνησις, ἐντεῦθεν δῆλον. ὅταν γὰρ τὸ οἰκοδομητόν, ᾗ τοιοῦτον αὐτὸ

200^{b} 32—201^{a} 19 = 1065^{b} 7-20

---

^{b} 29 λέγεται . . . ἔλλειψιν] καὶ ἔλλειψιν λέγεται Λ : λέγεται καὶ ἔλλειψιν P 30 τὸ om. E : τό τε F κινητικὸν τε καὶ κινητόν ΑV : κινητόν τε καὶ κινητικόν E 31 τὸ μὲν γὰρ F 32 δὲ EFJ Ammonius Stephanus : δέ τις IS 33 ἀεὶ τὸ μεταβάλλον ΛS^{c} : τὸ μεταβαλλον ἀεὶ E : τὸ μεταβάλλον S^{p} 34 ποσὸν ἢ κατὰ S : ποσὸν ἢ E : τὸ ποσὸν ἢ κατὰ τὸ Λ 35–201^{a} 1 ἔστι . . . οὔτε alt. ΛPS : om. E 35 ἔφαμεν I 201^{a} 2 οὔτε Λ 3 εἰρημένα] εἰρημένα ὃ οὔτε τόδε οὔτε ποσὸν οὔτε ποιὸν ἔστι λαβεῖν ὡς φαμεν (cf. 200^{b} 35–201^{a} 1) E 6 μὲν FIM : μὲν γὰρ EJ 8 ὥστε ΠS : ὡς τε καὶ A 10–11 ἡ . . . ἐντελεχεια Π γρ. S : τὴν . . . ἐνεργειαν S (cf. M) 11 τοιοῦτον E γρ. S T : τοιοῦτόν ἐστι IJMPS : τι τοιοῦτόν ἐστι F κίνησίς ἐστιν Π γρ. S : λέγω κίνησιν MS^{p} : λέγω κίνησιν εἶναι S^{l} 12 ᾗ fecit E^{2} 14 γενητοῦ EJS : γεννητοῦ FI γένεσις fecit E 15 τοῦ . . . ἔστιν] ὅτι δ' ἐστὶ τοῦτο F 16 αὐτὸν E^{1}

görelilikte, aşırılıkla eksiklikten, etkinlikle edilginlikten, genelde söylendikte devindiren ile devinebilir olandan sözedilir. Nitekim devindiren devinebilir olanın devindiricisidir, devinebilir olan da devindirence devindirilebilir. Oysa bir devinim, (kinesis) nesnelerin dışında olmaz, nitekim değişen şey ya varlıkça ya nicelikçe ya nitelikçe ya da yer açısından değişir; dediğimiz gibi belirli bir nesne, bir nicelik, bir nitelik olmayan ya da öteki kategorilerden birine girmeyen ortak bir şey değişme nesnesi diye alınamaz. Dolayısıyla sözünü ettiğimiz kategorilere girenler dışında hiçbir nesnede ne devinim olur ne de değişme (metabole), çünkü bu sözünü ettiklerimiz dışında hiçbir nesne yok. Bütün bunların herbiri de her şeyde iki tarzda bulunur. Sözgelişi belirli bir nesne (bu bir anlamıyla şekil (morphe) bir başka anlamıyla yoksunluktur), nitelikçe (ak ile kara), nicelikçe tam ile tam olmayan. Yer değiştirmede de aynı şekilde: yukarı-aşağı ya da hafif-ağır. Dolayısıyla kaç tür varolan varsa devinim ile değişme türleri de o kadar.

Herbir cinste etkinlik halinde olan ile olanak halinde olan şey ayrıldıkta, olanak halinde olan şeyin aslında böyle bir şey olduğu için kendini tamamlaması, gerçekleşmesi, devinim işte bu. Sözgelişi nitelik değiştirebilen bir nesne olduğu için nitelik değiştirebilen bir nesnenin nitelik değiştirmesi. Büyüyebilen ve onun karşıtı eksilebilen şeyin (herikisi için ortak bir ad yok) büyümesi ve eksilmesi; oluşabilen ve yokolabilen nesnenin oluşması ve yokolması; yer değiştirebilen bir nesnenin yer değiştirmesi. Devinimin ne olduğu şuradan da açık: inşa edilebilen nesne o sözünü ettiğimiz

1. 200b 29 — 201b 4

λέγομεν εἶναι, ἐντελεχείᾳ ᾗ, οἰκοδομεῖται, καὶ ἔστιν τοῦτο οἰκοδόμησις· ὁμοίως δὲ καὶ μάθησις καὶ ἰατρευσις καὶ κύλισις καὶ ἅλσις καὶ ἄδρυνσις καὶ γήρανσις. ἐπεὶ δ' ἕνια ταὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν, οὐχ ἅμα δὲ ἡ οὐ κατὰ τὸ αὐτό, ἀλλ' οἷον θερμὸν μὲν ἐντελεχείᾳ ψυχρὸν δὲ δυνάμει, πολλὰ ἤδη ποιήσει καὶ πείσεται ὑπ' ἀλλήλων· ἅπαν γὰρ ἔσται ἅμα ποιητικὸν καὶ παθητικόν. ὥστε καὶ τὸ κινοῦν φυσικῶς κινητόν· πᾶν γὰρ τὸ τοιοῦτον κινεῖ κινούμενον καὶ αὐτό. δοκεῖ μὲν οὖν τισιν ἅπαν κινεῖσθαι τὸ κινοῦν, οὐ μὴν ἀλλὰ περὶ τούτου μὲν ἐξ ἄλλων ἔσται δῆλον ὅπως ἔχει (ἔστι γάρ τι κινοῦν καὶ ἀκίνητον), ἡ δὲ τοῦ δυνάμει ὄντος ⟨ἐντελέχεια⟩, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητόν, κίνησίς ἐστιν. λέγω δὲ τὸ ᾗ ὡδί. ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς, ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια, ᾗ χαλκός, κίνησίς ἐστιν· οὐ γὰρ τὸ αὐτὸ τὸ χαλκῷ εἶναι καὶ δυνάμει τινί [κινητῷ], ἐπεὶ εἰ ταὐτὸν ἦν ἁπλῶς καὶ κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ, ᾗ χαλκός, ἐντελέχεια κίνησις· οὐκ ἔστιν δὲ ταὐτόν, ὡς εἴρηται (δῆλον δ' ἐπὶ τῶν ἐναντίων· τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν ἕτερον—καὶ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν ταὐτὸν ἦν— τὸ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, εἴθ' ὑγρότης εἴθ' αἷμα, ταὐτὸν καὶ ἕν). ἐπεὶ δ' οὐ ταὐτόν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν, ἡ τοῦ δυνατοῦ,

201a 27—202a 3 = 1065b 22—1066a 26

---

a 18 ὁμοίως . . . μάθησις in mg. E1 καὶ μάθησις om. F : καὶ ἡ μάθησις I 19 ἄδρυνσις (ἄνδρωσις I1) καὶ γήρανσις IISp : γηρανσις καὶ ἀδρυνσις S1 (cf. M) 19–27 ἐπεὶ . . . δὲ] συμβαίνει δὲ κινεῖσθαι ὅταν ᾗ ἐντελέχεια ἡ [immo ἡ ἐντελέχεια ᾗ] αὐτή, καὶ οὔτε πρότερον αὐθ' ὕστερον. ἡ δὴ ex M ci. Diels 20 ταὐτὰ ΛS : ταυτα E 21–2 ἐντελεχεια . . . δυνάμει VST : δυνάμει . . . ἐντελεχεία Λ et fecit E2 26 οὐκ οἷον ἀλλὰ F μὲν τούτου F : μέν τούτων J : μὲν οὖν τούτων I 27 ὅπως ἔχει IP : πῶς ἔχει FJ : om. E κινοῦν EV : τῶν κινουντων ΛS δὲ ΠP Aspasius : δὴ MT Porphyrius 28 ἐντελέχειαι Aldina : om. ΠMAPS Aspasius Porphyrius οὐχ . . . 29 κινητόν γρ. I γρ. A Aspasius : ἢ (ἤτοι fort. A) αὐτὸ ἢ ἄλλο ᾗ κινητόν EFJAP Porphyrius : ἢ αὐτὸ κινητόν I : οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἄλλο γρ. P, ut vid. T 29 ᾗ alt. . . . ὁ] ᾗ ἔστι γὰρ ὧδί ὁ E ὧδε MS 31 τῷ E2 αὐτῷ τῷ F : αὐτὸ E1MST : αὐτῷ E2 32 κινητῷ om. MS ἦν] ἡ E 33 καὶ ΛMV : ἡ E ἦν ἂν E2ΛM : om. E1P 34 κίνησις] κινησις ἂν ἦν E1P : κίνησίς τις M ὥσπερ Λ

nesne olduğu için gerçeklik haline geldiğinde, yani inşa edildiğinde, bu inşa etme. Öğrenme, tedavi, dönme, sıçrama, olgunlaşma, yaşlanmada da bu böyle. Öte yandan bazı nesneler kendileri, hem olanak halinde hem de gerçeklik halinde olduğu için -aynı anda ya da aynı açıdan değil de, gerçeklik halinde sıcak olan nesnenin olanak halinde soğuk olması gibi-, bu nesneler karşılıklı birçok etkide bulunabilecekler, birbirlerinden etkilenebileceklerdir; çünkü hepsi aynı zamanda hem etkin hem edilgindir. Dolayısıyla fiziksel alanda 'devindiren', 'devinebilir' de olacaktır, nitekim bu tür her nesne kendisi de devinen bir nesne olduğundan ötürü devindirir. Hattâ bazılarına göre her devindiren devinir, ama bunun böyle olmadığını ve nasıl olduğunu (çünkü devindirdiği halde devindirilemeyen bir şey var) başka yerde açıklayacağız.[16] Durum şöyle: olanak halinde olan nesnenin gerçekleşmesi, yani kendisi olarak değil, devinebilir bir şey olarak gerçeklik halinde varolup etkinlikte bulunma süreci, işte devinim bu. Bunu şöyle açayım: bronz olanak halinde heykeldir ama yine de bronz olarak bronzun gerçekliği devinim değil, çünkü bronz olmak ile olanak halinde [yani devinebilir] olmak aynı şey değil, çünkü mutlak anlamda ve kavramsal olarak aynı şey olsaydı bronz olarak bronzun gerçekliği devinim olurdu. Ama dediğimiz gibi bunlar aynı şey değil (bu, karşıt nesnelerle ilgili olarak açık: sağlıklı olabilmek ve hasta olabilmek ayrı şey - yoksa sağlıklı olmakla hasta olmak aynı şey olurdu - ama taşıyıcı hem sağlıklı hem de hastalanan olarak, ister "yaşam suyu" ister "kan" olsun aynı ve tek bir şey). Değil mi ki rengin görülebilir nesneyle aynı şey olmaması gibi, bir nesnenin kendisi olarak bulunması ve olanak halinde olması aynı şey değil, olanaklı olduğu için olanaklı olan nesnenin

ἢ δυνατόν, ἐντελέχεια φανερὸν ὅτι κίνησίς ἐστιν.

ὅτι μὲν οὖν ἐστιν αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι ὅταν ἡ ἐντελέχεια ᾖ αὐτή, καὶ οὔτε πρότερον οὔτε ὕστερον, δῆλον· ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν ὁτὲ δὲ μή, οἷον τὸ οἰκοδομητόν, καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια, ᾗ οἰκοδομητόν, οἰκοδόμησίς ἐστιν (ἡ γὰρ οἰκοδόμησις ἡ ἐνέργεια [τοῦ οἰκοδομητοῦ] ἢ ἡ οἰκία· ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτ' οἰκοδομητὸν ἔστιν· οἰκοδομεῖται δὲ τὸ οἰκοδομητόν· ἀνάγκη οὖν οἰκοδόμησιν τὴν ἐνέργειαν εἶναι)· ἡ δ' οἰκοδόμησις κίνησίς τις. ἀλλὰ μὴν ὁ αὐτὸς ἐφαρμόσει λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων.

2 Ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσιν, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν. οὔτε γὰρ τὴν κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτ' ἄν τις, δῆλόν τε σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι, ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν· ὧν οὐδὲν ἀναγκαῖον κινεῖσθαι, οὔτ' ἂν ἕτερα ᾖ οὔτ' ἂν ἄνισα οὔτ' ἂν οὐκ ὄντα· ἀλλ' οὐδ' ἡ μεταβολὴ οὔτ' εἰς ταῦτα οὔτ' ἐκ τούτων μᾶλλόν ἐστιν ἢ ἐκ τῶν ἀντικειμένων. αἴτιον δὲ τοῦ εἰς ταῦτα τιθέναι ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις, τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι· οὔτε γὰρ τόδε οὔτε τοιόνδε οὐδεμία αὐτῶν ἐστιν, [ὅτι] οὐδὲ τῶν ἄλλων κατηγοριῶν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον ὅτι οὔτε εἰς δύναμιν

201[b] 6–7 = 1065[b] 20–22

---

[b] 5 ὅτι] τὸ E^1 ἐστιν ΛV : ἐστιν εἰ δὲ μὴ τὸ αὐτὸ ἀλλ' ὡς χρῶμα τὸ αὐτὸ καὶ ὁρατόν, ἡ δυνάμει ἐστίν, τὴν τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχειαν εἶναι λέγω κίνησιν E (cf. [b] 3–5) 5–15 ὅτι . . . κινήσεων om. γρ. A 6 αὐτη ΛMS : τοῦτο P : αὐτη τοῦτο E ἡ et 7 ᾗ om. F 7 αὐτη FI δῆλον ΛMT : φανερόν E 8 γὰρ] μὲν γὰρ F τὸ om. E 9 καὶ] ᾗ οἰκοδομητὸν καὶ M et fort. T ἐνέργεια ΛMS : ἐντελεχεια E 10 γὰρ EV : γὰρ τοῦτό ἐστιν FI : γὰρ τοῦτ' ἐστιν ἡ J ἡ IJT : om. EF τοῦ οἰκοδομητοῦ ET : om. ΛM 11 ἡ om. FIJ^1 ἔσται Λ 12 οὖν] ἄρα IJM : ἄρα τὴν F 13 τις ΛM : τὶς ἐστιν E 17–20 καὶ . . . ἔνιοι Π (cf. M) : om. T 18–19 οὔτε . . . τις om. γρ. A 18 καὶ τὴν μεταβολὴν om. J : τὴν om. S 19 θεῖναι ΠM : τιθέναι S δὲ ΛMPS 20 αὐτὴν ἔνιοι EPS : ἔνιοι αὐτὴν Λ 22 ᾗ] ἡ οὔτ' ἂν ἕτερα E ἂν alt. om. FIP 23 ἢ ἐκ EJ^2P : ἢ FIJ^1S 25 τι $Π^{ep}$: om. P^1T 26 τοιόνδε EFJM : τοσόνδε IPT 27 ἐστὶν om. ΛM ὅτι om. MVT, secl. Bonitz

gerçekleşmesi devinim, bu açık.

Demek devinim bu; ve nesnenin devinmesi, gerçekliği kendisi olarak olduğu sürece sözkonusu, ne önce ne de sonra, bu da açık. Nitekim herhangi bir nesnenin kimi kez etkinlikte olması kimi kez de olmaması olası: sözgelişi inşa edilebilir olan. İnşa edilebilir olarak inşa edilebilir olanın etkin hali inşaattır (nitekim inşa edilebilir olan nesnenin etkin hali ya inşaattır ya da ev. Ama ne zaman ki bir ev olur, o artık inşa edilebilir olan değildir; oysa inşa edilebilir olan inşa edilir. Demek ki etkin halin inşaat olması zorunlu). İnşaat da bir devinim. Öteki devinimlerde de aynı temellendirme geçerli.

2 Dediğimizin yerinde olduğu, başkalarının devinim üzerine söylediklerinden ve onu başkaca belirlemenin kolay olmamasından da belli. Nitekim devinim ile değişme bir başka cins içine konamaz devinimin 'değişiklik' (heterotes), 'eşitsizlik', 'varolmayan' olduğunu ileri sürüp onu bir başka cinse sokan bazı kişilerin savı[17] incelendiğinde de bu açık: bunlardan hiçbirinin devinmesi zorunlu değil, ne değişik olarak ne eşitsiz olarak ne de varolmayan olarak. Ayrıca bunlara yönelik değişme ya da bunlardan değişme de karşıtlarınkinden çok değil. Ne ki devinimi bunlara yerleştirmelerinin nedeni devinimin belirsiz bir şey gibi görünmesi, oysa öteki çizelgedeki[18] ilkeler, yoksunluklar olmaları nedeniyle belirsiz, çünkü bunlardan hiçbiri ne belli bir şey ne belli bir nitelik ne de öteki kategorilerden biri. Devinimin belirsiz görünmesinin nedeni şu:

1. 201[b] 5 — 3. 202[a] 17

τῶν ὄντων οὔτε εἰς ἐνέργειαν ἔστιν θεῖναι αὐτήν· οὔτε γὰρ τὸ δυνατὸν ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης οὔτε τὸ ἐνεργείᾳ ποσόν, ἥ τε κίνησις ἐνέργεια μὲν εἶναί τις δοκεῖ, ἀτελὴς δέ· αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατόν, οὗ ἔστιν ἐνέργεια. καὶ διὰ τοῦτο δὴ χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν, τούτων δ' οὐδὲν φαίνεται ἐνδεχόμενον. λείπεται τοίνυν ὁ εἰρημένος τρόπος, ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δ' ἐνέργειαν οἵαν εἴπαμεν, χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δ' εἶναι.

κινεῖται δὲ καὶ τὸ κινοῦν ὥσπερ εἴρηται πᾶν, τὸ δυνάμει ὂν κινητόν, καὶ οὗ ἡ ἀκινησία ἠρεμία ἐστίν (ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτου ἡ ἀκινησία ἠρεμία). τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν, ᾧ τοιοῦτον, αὐτὸ τὸ κινεῖν ἐστι· τοῦτο δὲ ποιεῖ θίξει, ὥστε ἅμα καὶ πάσχει· διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ, ἡ κινητόν, συμβαίνει δὲ τοῦτο θίξει τοῦ κινητικοῦ, ὥσθ' ἅμα καὶ πάσχει. εἶδος δὲ ἀεὶ οἴσεταί τι τὸ κινοῦν, ἤτοι τόδε ἢ τοιόνδε ἢ τοσόνδε, ὃ ἔσται ἀρχὴ καὶ αἴτιον τῆς κινήσεως, ὅταν κινῇ, οἷον ὁ ἐντελεχείᾳ ἄνθρωπος ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου ἄνθρωπον.

3 Καὶ τὸ ἀπορούμενον δὲ φανερόν, ὅτι ἐστὶν ἡ κίνησις ἐν τῷ κινητῷ· ἐντελέχεια γάρ ἐστι τούτου [καὶ] ὑπὸ τοῦ κινητικοῦ. καὶ ἡ τοῦ κινητικοῦ δὲ ἐνέργεια οὐκ ἄλλη ἐστίν· δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν· κινητικὸν μὲν γάρ ἐστιν τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν, ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ,

202[a] 13–21 = 1066[a] 26–34

---

[b] 29 οὐδὲ F αὐτὴν IJ[1]M : αὐτὴν ἁπλῶς EFJ[2] 30 ποσὸν εἶναι EM : εἶναι ποσὸν Λ ἐνεργεῖν ἄποσον E 31 εἶναί τις δοκεῖ S : εἶναι δοκεῖ τις E[1]M : τις εἶναι δοκεῖ Λ : εἶναι δοκεῖ E[2] 32 ἔστιν ΛM : ἐστιν ἡ E 33 αὐτὴ E ἡ ΛP : εἰ E 202[a] 1 τοίνυν] δὴ E 2 εἴπομεν FIPT et fecit E ἰδεῖν fecit E 3 εἶναι ΛV : εἶναι ὅτι δὲ καλῶς εἴρηται δῆλον. οὐ γὰρ αὖ τὴν κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτ' ἄν τις, ἥ τε κίνησις ἐνέργεια μέν εἶναι δοκεῖ τις, ἀτελὴς δέ. αἴτιον δὲ ὅτι ἀτελὲς τὸ δυνατόν E (cf. 201[b] 16–19, 31–2) πᾶν] εἰ πᾶν Prantl 4 κινητόν E[1]FIAS : κινητικόν E[2]JV γρ. A Aspasius 5 τούτου S : τούτῳ Π 8–9 συμβαίνει . . . πάσχει secl. Prantl 8 δὲ om. F ὥσθ' . . . 9 πάσχει E[2]AS : om. E[1]V 9 τι ΛS : om. EVPT 10 ἢ τοσόνδε E[2]ΛVS : om. E[1] 11 κινῇ] μὴ ᾖ in rasura E[1] 14 ἐστι . . . κινητικοῦ in rasura E τούτου] του κινητου Andronicus καὶ om. MVPS : habent Π Andronicus τοῦ κινητικοῦ] τούτου J Andronicus 16 κινητόν I 16 et 17 τῷ] τὸ fecit E

devinim ne olanak halinde varolanlara ne de etkinlik halinde varolanlara konabiliyor; nitekim ne olanaklı bir nicelik zorunlu olarak devinir ne de etkinlik halindeki nicelik; devinim de bir etkinlik gibi görünüyor ama 'tam' değil. Nedeni de şu: tamam olmayan, etkin hali devinim olan 'olanaklı'. Bu yüzden onun ne olduğunu yakalamak güç. Onu ya yoksunluğa ya olanak haline ya da mutlak etkinlik haline yerleştirmek zorunlu, oysa bunlardan hiçbiri olası görünmüyor. Demek ki bizim dediğimiz tarz kalıyor: devinim bir etkinlik hali, yukarıda dediğimiz gibi olan bir etkinlik hali; görmek güç, varolması olası.

Dediğimiz gibi, devindiren herşey olanak halinde devinebilir bir şey olduğundan ötürü devinir, onun devinimsizliği 'durgunluk' (nitekim kendinde devinim içkin olan nesnenin devinimsizliğidir 'durgunluk'). Böyle bir şey olarak devinebilir olana etkide bulunmak, işte bu devindirmek. O bunu temasla gerçekleştirir, dolayısıyla aynı zamanda etkilenir de. Bunun için devinim, devinebilir olarak devinebilir olan nesnenin tamamlanması-gerçekleşmesidir, bu ise devindirenin bir dokunuşuyla olur, dolayısıyla o da etkilenir. Ne ki devindiren, devindirdiği zaman devinimin ilkesi ve nedeni olacak bir biçimi her zaman taşıyacaktır: bu ya belli bir nesne ya belli bir nitelik ya da belli bir niceliktir. Sözgelişi gerçeklik halindeki "insan", olanak halinde varolan insandan bir insan yaratır.

3 Devinimin devinebilir bir nesnede varolduğu sorunu açıklanmış oluyor: devinim devinebilir bir nesnenin gerçekleşme hali, bu da devindirebilen aracılığıyla oluyor, zaten devindirebilenin etkinliği de başka bir şey değil, bu: çünkü herikisi için de gerçekleşmenin/tamamlanmanın olması gerekiyor. Devindirebilen, olanak halinde var, devindiren ise etkinlik halinde; ne ki, etkin hale geçme

ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια ὥσπερ τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ
20 κάταντες· ταῦτα γὰρ ἓν μέν ἐστιν, ὁ μέντοι λόγος οὐχ εἷς·
21 ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου.

21 ἔχει δ' ἀπορίαν λογικήν· ἀναγκαῖον γὰρ ἴσως εἶναί τινα ἐνέργειαν τοῦ ποιητικοῦ καὶ τοῦ παθητικοῦ· τὸ μὲν δὴ ποίησις, τὸ δὲ πάθησις, ἔργον δὲ καὶ τέλος τοῦ μὲν ποίημα, τοῦ δὲ πάθος.
25 ἐπεὶ οὖν ἄμφω κινήσεις, εἰ μὲν ἕτεραι, ἐν τίνι; ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ κινουμένῳ, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι (εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν εἴη). ἀλλὰ μὴν εἰ τοῦτο, ἡ κίνησις ἐν τῷ κινοῦντι ἔσται (ὁ γὰρ αὐτὸς λόγος ἐπὶ κινοῦντος
30 καὶ κινουμένου), ὥστ' ἢ πᾶν τὸ κινοῦν κινήσεται, ἢ ἔχον κίνησιν οὐ κινήσεται. εἰ δ' ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ ἡ δίδαξις καὶ ἡ μάθησις δύο οὖσαι ἐν τῷ μανθάνοντι, πρῶτον μὲν ἡ ἐνέργεια ἡ ἑκάστου οὐκ ἐν ἑκάστῳ ὑπάρξει, εἶτα ἄτοπον δύο κινήσεις ἅμα
35 κινεῖσθαι· τίνες γὰρ ἔσονται ἀλλοιώσεις δύο τοῦ ἑνὸς καὶ εἰς ἓν εἶδος; ἀλλ' ἀδύνατον. ἀλλὰ μία ἔσται ἡ ἐνέργεια. ἀλλ'
202b ἄλογον δύο ἑτέρων τῷ εἴδει τὴν αὐτὴν καὶ μίαν εἶναι ἐνέργειαν· καὶ ἔσται, εἴπερ ἡ δίδαξις καὶ ἡ μάθησις τὸ αὐτὸ καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ τὸ διδάσκειν τῷ μανθάνειν τὸ αὐτὸ καὶ τὸ ποιεῖν τῷ πάσχειν, ὥστε τὸν διδάσκοντα ἀν-
5 άγκη ἔσται πάντα μανθάνειν καὶ τὸν ποιοῦντα πάσχειν.

5 ἡ οὔτε τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἑτέρῳ εἶναι ἄτοπον (ἔστι γὰρ ἡ δίδαξις ἐνέργεια τοῦ διδασκαλικοῦ, ἐν τινι μέντοι, καὶ οὐκ ἀποτετμημένη, ἀλλὰ τοῦδε ἐν τῷδε), οὔτε μίαν δυοῖν κωλύει οὐθὲν

[a] 19 πρὸς δύο F 22 τινα εἶναι F τοῦ EJT : ἄλλην τοῦ FIV 23 καὶ ἄλλην τοῦ I δὴ] γὰρ FI : γε J 25 ἐπεὶ IJ et fecit E : εἰ FP ἕτεραι ΛPS : ἕτεραι εἰσιν E 26 ἐν . . . κινουμένῳ in rasura E² καὶ ποιουμένῳ S ἢ] ἡ ἐν τῷ ποιοῦντι καὶ διατιθέντι ἡ V γρ. S et ut vid. T 34 ἑκάστου] ἐν ἑκάστῳ F δύο] τὸ δύο FS : τὰς δύο I 35 τίνες . . . ἑνὸς post 36 ἀδύνατον transponenda vel τινὲς legendum c:. A [b] 2 ἡ . . . μάθησις ES : ἡ μάθησις καὶ ἡ (ἡ om. I) δίδαξις ΛP 7 ἓν τινι] ἔστι γρ. S καὶ om. F 8 ἀποτετμημένη EFIS et fecit J¹ : ἀποτετμημένως γρ. S κωλύει . . . 9 εἶναι pr. ΛS : τὴν αὐτὴν εἶναι κωλύει E

devinebilir olana bağlı; dolayısıyla herikisi için de etkin hal aynı biçimde 'bir': tıpkı '1' ile '2'nin ve '2' ile '1'in oranı gibi ya da 'iniş' ile 'çıkış' gibi. Nitekim bunlar aslında bir, ne ki tanım aynı değil; devindiren ve devinen ile ilgili olarak da bu böyle.

Öte yandan mantıksal bir güçlük var: belki de bir işleyenin etkinliği, bir de işlenenin etkinliğinin olması zorunlu: biri işleme öteki işlenme, eser ve sonuç; birininki etki, ötekininki etkilenme. İmdi değil mi ki herikisi de devinim, birbirlerinden farklılarsa [etki] hangisinde? Çünkü herikisi de [işleme ve işlenme] etkilenende ve devinende ya da işleme etkileyende, işlenme etkilenende (işlenmeye de etki demek gerekirse burada ancak eşadlı olabilir). Beriki kabul edilse devinim devindirende olacak (çünkü devindirende ve devindirilende aynı kavram geçerli), dolayısıyla ya her devindiren devinecek ya da devinimi içinde taşıdığı halde devinmeyecektir. Ama herikisi de yani hem işleme hem işlenme devinende ve işlenende ise -iki şey oldukları halde, öğrenende olan öğretme ve öğrenme gibi-, ilkin her nesnenin etkin hali kendi içinde bulunmayacak, ayrıca iki devinimin aynı anda olması garip olacaktır, çünkü tek nesnedeki tek biçime giden iki nitelik değişmesi neler olacak? Bu olanaksız. Peki etkinlik hali bir tek olsa! Ama biçimce değişik iki nesnenin aynı ve tek 202b etkinlik hali olması akla aykırı. Bu durumda öğretme ve öğrenme, işleme ve işlenme aynı olacak; öğretmek öğrenmekle, işlemek işlenmekle aynı olacak, dolayısıyla öğretenin [öğrettiği] herşeyi öğrenmesi, işleyenin işlenmesi zorunlu olacak.

Yoksa acaba bir nesnenin etkin halinin kendinden değişik bir nesnede olması garip değil mi? (Nitekim öğretim öğretebilir birinin herhangi bir kişideki etkinliğidir ve ayrılmış değildir, birinin biri üzerindeki etkinliğidir). Tek etkinliğin iki kişi için aynı olmasına

3. 202ª 18 — 4. 202ᵇ 35

τὴν αὐτὴν εἶναι (μὴ ὡς τῷ εἶναι τὸ αὐτό, ἀλλ' ὡς ὑπάρχει τὸ δυνάμει ὂν πρὸς τὸ ἐνεργοῦν), οὔτ' ἀνάγκη τὸν διδάσκοντα μανθάνειν, οὐδ' εἰ τὸ ποιεῖν καὶ πάσχειν τὸ αὐτό ἐστιν, μὴ μέντοι ὥστε τὸν λόγον εἶναι ἕνα τὸν ⟨τὸ⟩ τί ἦν εἶναι λέγοντα, οἷον ὡς λώπιον καὶ ἱμάτιον, ἀλλ' ὡς ἡ ὁδὸς ἡ Θήβηθεν Ἀθήναζε καὶ ἡ Ἀθήνηθεν εἰς Θήβας, ὥσπερ εἴρηται καὶ πρότερον; οὐ γὰρ ταὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν τοῖς αὐτοῖς, ἀλλὰ μόνον οἷς τὸ εἶναι τὸ αὐτό. οὐ μὴν ἀλλ' οὐδ' εἰ ἡ δίδαξις τῇ μαθήσει τὸ αὐτό, καὶ τὸ μανθάνειν τῷ διδάσκειν, ὥσπερ οὐδ' εἰ ἡ διάστασις μία τῶν διεστηκότων, καὶ τὸ διίστασθαι ἐνθένθε ἐκεῖσε κἀκεῖθεν δεῦρο ἓν καὶ τὸ αὐτό. ὅλως δ' εἰπεῖν οὐδ' ἡ δίδαξις τῇ μαθήσει οὐδ' ἡ ποίησις τῇ παθήσει τὸ αὐτὸ κυρίως, ἀλλ' ᾧ ὑπάρχει ταῦτα, ἡ κίνησις· τὸ γὰρ τοῦδε ἐν τῷδε καὶ τὸ τοῦδε ὑπὸ τοῦδε ἐνέργειαν εἶναι ἕτερον τῷ λόγῳ.

τί μὲν οὖν ἐστιν κίνησις εἴρηται καὶ καθόλου καὶ κατὰ μέρος· οὐ γὰρ ἄδηλον πῶς ὁρισθήσεται τῶν εἰδῶν ἕκαστον αὐτῆς· ἀλλοίωσις μὲν γὰρ ἡ τοῦ ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτόν, ἐντελέχεια. ἔτι δὲ γνωριμώτερον, ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ, ᾗ τοιοῦτον, ἁπλῶς τε καὶ πάλιν καθ' ἕκαστον, ἡ οἰκοδόμησις ἡ ἰάτρευσις. τὸν αὐτὸν δὲ λεχθήσεται τρόπον καὶ περὶ τῶν ἄλλων κινήσεων ἑκάστης.

4 Ἐπεὶ δ' ἐστὶν ἡ περὶ φύσεως ἐπιστήμη περὶ μεγέθη καὶ κίνησιν καὶ χρόνον, ὧν ἕκαστον ἀναγκαῖον ἢ ἄπειρον ἢ πεπερασμένον εἶναι, εἰ καὶ μὴ πᾶν ἐστιν ἄπειρον ἢ πεπερασμένον, οἷον πάθος ἢ στιγμή (τῶν γὰρ τοιούτων ἴσως οὐδὲν ἀναγκαῖον ἐν θατέρῳ τούτων εἶναι), προσῆκον ἂν εἴη τὸν περὶ φύσεως πραγματευόμενον θεωρῆσαι περὶ ἀπείρου, εἰ ἔστιν

ᵇ 9 τῷ scripsi : τὸ Π αὐτό, ὡς λώπιον καὶ ἱμάτιον, ἀλλ' Ι 10 δυνάμει ὂν ΛΡ : δυνάμενον ΕV : δυνάμει S 11 ποιεῖν καὶ πάσχειν EVP : ποιεῖν καὶ τὸ πάσχειν S : πάσχειν καὶ τὸ ποιεῖν Λ 12 ὥστε scripsi : ὡς Π εἶναι ἑνα IJV : om. EF τὸν τὸ Bonitz : τὸν IJ : τὸ Ε : om. F 13 οἷον ὡς] οἷον Λ : ὡς Bekker λώπιον καὶ ἱμάτιον EV : τῷ λωπίῳ καὶ ἱματίῳ Λ 15 ὑπάρχει E²ΛP : ὑπάρξει E¹ 16 οὐ μὴν erasit E, om. P 17 διδάσκειν EP : διδάσκειν τὸ αὐτό Λ οὐδ' εἰ] οὐδὲ E² 20 et 21 ᾗ] ὡς I 21 τοῦδε E²FIVPS : τόδε E¹ : τάδε τοῦδε J ἐν τῷδε καὶ ΛVPS : om. E τὸ τοῦδε ΛVP : τοῦδε E : τόδε S 23 ἐστιν] ἡ F εἴρηται hic EP : post 24 μέρος Λ 24 πῶς IP : ὡς EFJS 27 ἦ] ὅτι E ⟨add. ἡ sup. lin. E¹⟩ : τι ἡ J² 28 δὲ EFJ²S : om. IJ¹ 30 μεγέθη τε καὶ F

hiçbir engel yok mu! (Varlıkça aynı olmak anlamında değil de olanak halinde olanın etkinlikteki nesneyle ilgisinin bulunması anlamında); işlemek ve işlenmek aynı olsa bile öğretenin öğrenmesi de zorunlu değil mi? Burada elbette elbise ve pelerin gibi niteliği bildiren tanımın bir olması anlamında değil, daha önce de dediğimiz gibi Thebai'den Atina'ya ve Atina'dan Thebai'ye giden yol anlamında. Nitekim bir biçimde aynı olan nesnelerde herşey aynı olarak bulunmuyor, yalnızca varlığı aynı olan nesnelerde bu sözkonusu. Yine öğretme süreci öğrenme süreci ile aynı olsa bile öğretmek öğrenmeyle aynı olmaz, tıpkı iki nokta arasındaki uzaklık aynı olsa bile, burdan oraya ve ordan buraya olan uzaklığın bir ve aynı olmaması gibi. Genelde söylendikte ne öğretme ile öğrenme ne de işleme ile işlenme tam anlamıyla aynı; aynı olan bunların içinde bulunduğu devinim. Çünkü belli bir nesnenin belli bir nesnede etkinliğinin olması ile belli bir nesnenin belli bir nesne aracılığıyla etkinliğinin olması tanımca farklı.

Demek devinimin ne olduğunu hem genelde hem de özel durumuyla söylemiş olduk. Devinim türlerinden herbiri nasıl belirlenecek, bu açık: sözgelişi nitelik değiştirme nitelik değiştirebilen bir şey olarak nitelik değiştirebilen bir nesnenin tamamlanması, gerçekleşmesi. Daha da açıkçası, olanak halinde etkin ya da edilgin olan nesnenin [herikisi de] öyle olduğu için tamamlanması, gerçekleşmesi. Hem mutlak anlamda hem de -ister ev inşaatı ister hekimlik olsun- tek tek durumlarda bu böyle. Öteki devinimlerin herbiri üzerinde de aynı biçimde sözedeceğiz.

4 Değil mi ki doğabilimi herbiri ya sonsuz ya da sınırlı olması zorunlu olan 'büyüklük', 'devinim' ve 'zaman'la ilgili; herşey ya sonlu ya da sonsuz olmasa bile -sözgelişi bir duygulanım ya da bir nokta (herhalde bu tür nesnelerden hiçbirinin bu iki sınıftan birine girmesi zorunlu değil)- doğa üzerine çalışan birinin 'sonsuz' üzerine kafa yorması uygun olsa gerek: [sonsuzluk] var mı yok mu,

ἢ μή, καὶ εἰ ἔστιν, τί ἐστιν. σημεῖον δ' ὅτι ταύτης τῆς ἐπιστή-
203ª μης οἰκεία ἡ θεωρία ἡ περὶ αὐτοῦ· πάντες γὰρ οἱ δοκοῦντες ἀξιο-
λόγως ἥφθαι τῆς τοιαύτης φιλοσοφίας πεποίηνται λόγον
περὶ τοῦ ἀπείρου, καὶ πάντες ὡς ἀρχήν τινα τιθέασι τῶν ὄν-
των, οἱ μέν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων, καθ' αὑτό,
5 οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ ἀλλ' οὐσίαν αὐτὸ ὂν τὸ ἄπει-
ρον. πλὴν οἱ μὲν Πυθαγόρειοι ἐν τοῖς αἰσθητοῖς (οὐ γὰρ χω-
ριστὸν ποιοῦσιν τὸν ἀριθμόν), καὶ εἶναι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπει-
ρον, Πλάτων δὲ ἔξω μὲν οὐδὲν εἶναι σῶμα, οὐδὲ τὰς ἰδέας,
διὰ τὸ μηδὲ ποῦ εἶναι αὐτάς, τὸ μέντοι ἄπειρον καὶ ἐν τοῖς
10 αἰσθητοῖς καὶ ἐν ἐκείναις εἶναι· καὶ οἱ μὲν τὸ ἄπειρον εἶναι
τὸ ἄρτιον (τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιτ-
τοῦ περαινόμενον παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν· σημεῖον
δ' εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν· περιτιθεμένων
γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρὶς ὁτὲ μὲν ἄλλο ἀεὶ
15 γίγνεσθαι τὸ εἶδος, ὁτὲ δὲ ἕν), Πλάτων δὲ δύο τὰ ἄπειρα,
16 τὸ μέγα καὶ τὸ μικρόν.

16 οἱ δὲ περὶ φύσεως πάντες [ἀεὶ]
ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων
στοιχείων, οἷον ὕδωρ ἢ ἀέρα ἢ τὸ μεταξὺ τούτων. τῶν δὲ πε-
περασμένα ποιούντων στοιχεῖα οὐθεὶς ἄπειρα ποιεῖ· ὅσοι δ'
20 ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ Ἀναξαγόρας καὶ Δη-
μόκριτος, ὁ μὲν ἐκ τῶν ὁμοιομερῶν, ὁ δ' ἐκ τῆς πανσπερ-
μίας τῶν σχημάτων, τῇ ἀφῇ συνεχὲς τὸ ἄπειρον εἶναι
φασίν· καὶ ὁ μὲν ὁτιοῦν τῶν μορίων εἶναι μίγμα ὁμοίως τῷ
παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γιγνόμενον· ἐντεῦθεν γὰρ
25 ἔοικε καὶ ὁμοῦ ποτὲ πάντα χρήματα φάναι εἶναι, οἷον ἥδε

ᵇ 36 ταύτης hic ΛST, post 203ª 1 θεωρία E² (expunctum), post ἐπιστήμης P 203ª 1 ἡ . . . περὶ αὐτοῦ IJS : ἡ περὶ αὐτὸ θεωρια in litura E² : ἡ θεωρία περὶ αὐτοῦ F : ἡ θεωρία PT οἱ δοκοῦντες om. F 2 ἥφθαι fecit E : locus pluribus 3 τοῦ ΛS : om. ET τινα . . . 4 αὐτό om. F 3 ὄντων καὶ οἱ I 4 μέν] μὲν οὖν J 5 τινι ἑτέρῳ ἀλλ' ὡς οὐσίαν . . . ἄπειρον fecit E 7 ποιοῦσιν ΛP² : εἶναι λέγουσιν EP¹ τὸ] δὲ FP οὐρανοῦ τὸ ἄπειρον FS 8 οὐδὲ F 9 εἶναι αὐτάς ΛS : αὐτὰς εἶναι E 10 ἐκείναις FJS : ἐκείνοις EI εἶναι alt. om. F 11 γὰρ E²ΛS : γὰρ τὸ E¹ 12 παρέχει EF 14 γιγνομένων J¹ 16 ἅπαντες ἀεὶ Λ : ἀεὶ πάντες E : πάντες VPS 18 τὸ] τι S δὲ om. E¹ 22 εἶναι τὸ ἄπειρον F 23 ὁτιοῦν μόριον E²IJPS μίγμα ὁμοίως EP : ὁμοίως μῖγμα Λ 24 γιγνόμενον E²ΛP : γενόμενον E¹ 25 post καὶ habent IJ et sup. lin. E τὸ ἅπαντα IJ et sup. lin. E : om. F φάναι χρήματα F : τὰ φάναι E¹

varsa ne? Göstergesi de şu: sonsuzluk üzerine düşünme bu bilime yabancı değil. Nitekim felsefenin bu dalına gereğince dokunan herkes sonsuz- 203a
luk üzerine söz etmiş, hepsi de sonsuzluğu bir varolan ilkesi diye alıyor. Pythagorascılarla Platon gibi kimileri sonsuzluğu bir başka nesneyle ilgili 5
ilinek olarak değil, kendi başına bir töz olarak görüyor. Ne ki, Pythagorascılar onu duyulur nesnelere koyup (onlar sayıyı ayrı-başına diye görmüyor) gökyüzünün ötesindeki kısmın sonsuz olduğunu ileri sürüyor, Platon ise gökyüzünün ötesinde hiçbir cismin, üstelik onlar 'bir yerde' olmadıklarından ötürü ideaların da bulunmadığını, sonsuzluğun elbette hem duyulur nesnelerde hem de idealarda olduğunu söylüyor. Yine 10
Pythagorascılar 'sonsuz'un çift olduğunu (çift tek olandan kurulup sınırlandırıldığı için varolanlara sonsuzluğu verir, bunun kanıtı sayılarda sözkonusu olan şey: 'gnomon', 'bir' çevresinde ve 'ayrı' olarak döndürülürse, ikinci durumda hep başka bir biçim oluşur, ilk durumda hep tek biçim)[19] ; Platon ise sonsuz şeyler ikidir: 'büyük' ile 'küçük' diyor. 15

Doğa düşünürlerinin hepsi 'öğe' adı verilen nesneler içinde hep değişik bir doğayı 'sonsuz' diye alıyorlar: sözgelişi su, hava ya da bunların arasındaki nesneyi[20] Ama sınırlı sayıda nesneyi öğe diye alanlardan hiçbiri bunları sonsuz olarak kabul etmiyor. Sonsuz sayıda öğe kabul edenlerse 'sonsuz'un, bitişiklik ile 'sürekli' olan şey olduğunu ileri sürüyorlar: sözgelişi öğeyi eşparçalı nesnelerden alan Anaksagoras ile 'herşeyintohumu: -panspermia-' olan şekilden alan Demokritos. Biri herhangi bir nes- 20
neden herhangi bir nesnenin oluştuğunu gördüğünden parçalardan herbirinin bütünde benzerlik gösteren bir karışım olduğunu ileri sürüyor, çünkü öyle görünüyor ki dayanağı bir zamanlar herşeyin birbiriyle karışık 25

4. 202b 36 — 203b 19

ἡ σάρξ καὶ τόδε τὸ ὀστοῦν, καὶ οὕτως ὁτιοῦν· καὶ πάντα ἄρα· καὶ ἅμα τοίνυν· ἀρχὴ γὰρ οὐ μόνον ἐν ἑκάστῳ ἔστι τῆς διακρίσεως, ἀλλὰ καὶ πάντων. ἐπεὶ γὰρ τὸ γιγνόμενον ἐκ τοῦ τοιούτου γίγνεται σώματος, πάντων δ' ἔστι γένεσις πλὴν οὐχ ἅμα, καί τινα ἀρχὴν δεῖ εἶναι τῆς γενέσεως, αὕτη δ' ἐστὶν μία, οἷον ἐκεῖνος καλεῖ νοῦν, ὁ δὲ νοῦς ἀπ' ἀρχῆς τινος ἐργάζεται νοήσας· ὥστε ἀνάγκη ὁμοῦ ποτε πάντα εἶναι καὶ ἄρξασθαί ποτε κινούμενα. Δημόκριτος δ' οὐδὲν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι τῶν πρώτων φησίν· ἀλλ' ὅμως γε αὐτῷ τὸ κοινὸν σῶμα πάντων ἐστὶν ἀρχή, μεγέθει κατὰ μόρια καὶ σχήματι διαφέρον.

ὅτι μὲν οὖν προσήκουσα τοῖς φυσικοῖς ἡ θεωρία, δῆλον ἐκ τούτων. εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες· οὔτε γὰρ μάτην οἷόν τε αὐτὸ εἶναι, οὔτε ἄλλην ὑπάρχειν αὐτῷ δύναμιν πλὴν ὡς ἀρχήν· ἅπαντα γὰρ ἡ ἀρχὴ ἢ ἐξ ἀρχῆς, τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή· εἴη γὰρ ἂν αὐτοῦ πέρας. ἔτι δὲ καὶ ἀγένητον καὶ ἄφθαρτον ὡς ἀρχή τις οὖσα· τό τε γὰρ γενόμενον ἀνάγκη τέλος λαβεῖν, καὶ τελευτὴ πάσης ἐστὶν φθορᾶς. διό, καθάπερ λέγομεν, οὐ ταύτης ἀρχή, ἀλλ' αὕτη τῶν ἄλλων εἶναι δοκεῖ καὶ περιέχειν ἅπαντα καὶ πάντα κυβερνᾶν, ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπειρον ἄλλας αἰτίας, οἷον νοῦν ἢ φιλίαν· καὶ τοῦτ' εἶναι τὸ θεῖον· ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, ὥσπερ φησὶν Ἀναξίμανδρος καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων.

τοῦ δ' εἶναί τι ἄπειρον ἡ πίστις ἐκ πέντε μάλιστ' ἂν συμβαίνοι σκοποῦσιν, ἔκ τε τοῦ χρόνου (οὗτος γὰρ ἄπειρος) καὶ ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως (χρῶνται γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ)· ἔτι τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθοράν, εἰ ἄπειρον εἴη ὅθεν

a 26 ἄρα] καὶ ἄρα E 28 τοῦ om. I 30 εἶναι δεῖ Λ 31 οἷον] ὃν $E^2Λ$ 32 πάντα ποτε I 34 φησὶν] φυσεων F γε EP : om. Λ αὐτῷ JP : αὐτῶν E : αὐτὸ FIV b 1 πάντων EP : ἁπάντων Λ ἀρχὴ om. E^1 κατὰ τὰ μόρια I 5 γὰρ πάντες μάτην E οἷόν τε αὐτὸ FI et fecit J^1 : αὐτὸ οἵονται EV : αὐτὸ οἷόν τε Bekker αὐτῷ ὑπάρχειν Λ 7 ἂν om. I 8 ἀγένητον EJS : ἀγέννητον FI 9 τέλος λαβεῖν EP : λαβεῖν τέλος Λ 10 διόπερ καθὰ I 13 οἰονοῦν E 14 ὥσπερ ΛS : ὡς E φησὶν] φησὶν ὁ F 15 τι] τὸ S^1 ἐκ πέντε om. F 16 συμβαίνει E 18 μαθητικοὶ E μόνῳ J^1 19 ἐπιλείπειν S γένεσιν] τὴν γένεσιν FST εἰ . . . 20 γιγνόμενον om. E 19 εἴη] ἡ F

olması: sözgelişi şu et, şu kemik ve bu tür herhangi bir şey, yani herşey; hem de aynı zamanda. Çünkü [Anaksagoras'a göre] yalnızca herbir nesnede bir ayrılma başlangıcı yok, aynı zamanda herşeyde de. Oluşan nesne böyle karışık bir cisimden oluştuğu için, aynı zamanda olmasa bile her nesnenin oluşumu olduğundan ötürü oluşumun bir ilkesi olması gerekir, bu da tektir: sözgelişi Anaksagoras ona 'US' adını veriyor. US düşündükten sonra belli bir başlangıçla işine başlıyor. Dolayısıyla bir zaman herşey birarada, bir zaman hepsi devinmeye başlıyor, bu zorunlu. Demokritos ise ilk öğelerden hiçbirinin ötekinden oluşmadığını ileri sürüyor, ama yine onun için de herşeyin başlangıcı olarak ortak bir cisim var, bu cisim parçaların büyüklüğü ve şekli açısından farklı.

Demek ki doğa bilimcilerine uyan bir araştırma olduğu bunlardan belli. herkesin sonsuzluğu ilke olarak koyması da yerinde, çünkü onun ne boş bir şey olması olanaklı ne de ilke olmak dışında onda bir başka olanak bulunabilir. Nitekim herşey, ya kendisi bir ilke ya da bir ilkeye bağlı; 'sonsuz' ise bir ilke-başlangıç taşıyamaz, çünkü bu onun sınırı olurdu. Yine oluşmayan, yokolmayan bir şey; çünkü kendisi bir ilke; oluşanın bir sonu olması zorunlu, her yokolmada da bir son var. Bunun için dediğimiz gibi onun başlangıcı yok, tersine o öteki nesnelerin başlangıcı olarak görünüyor, "herşeyi çepeçevre sarıp herşeyi yönetiyor"[21]: tıpkı, US ya da DOSTLUK-KİN gibi, sonsuzluk dışında başka nedenler kabul etmeyenlerin dediği gibi. Sonsuzluk tanrısal bir şey de olsa gerek, çünkü Anaksimandros ile çoğu doğabilimcisinin dediği gibi ölümsüz, ortadan kalkmayan bir şey.

Düşünürlerdeki "sonsuz bir şey var" inancı şu beş konudan kaynaklansa gerek: [1] Zamandan (nitekim o sonsuz); [2] büyüklüklerdeki bölünmeden (nitekim matematikçiler de "sonsuz" kavramını kullanıyor). [3] Ancak 'sonsuz', oluşan nesnenin ondan ayrıldığı şey ise, ancak bu biçimde oluşun ve yokoluşun ortadan

ἀφαιρεῖται τὸ γιγνόμενον· ἔτι τῷ τὸ πεπερασμένον ἀεὶ πρός τι περαίνειν, ὥστε ἀνάγκη μηδὲν εἶναι πέρας, εἰ ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον. μάλιστα δὲ καὶ κυριώτατον, ὃ τὴν κοινὴν ποιεῖ ἀπορίαν πᾶσι· διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι καὶ τὰ μαθηματικὰ μεγέθη καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. ἀπείρου δ' ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ καὶ κόσμοι· τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα ἢ ἐνταῦθα; ὥστ' εἴπερ μοναχοῦ, καὶ πανταχοῦ εἶναι τὸν ὄγκον. ἅμα δ' εἰ καὶ ἔστι κενὸν καὶ τόπος ἄπειρος, καὶ σῶμα εἶναι ἀναγκαῖον· ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις.

ἔχει δ' ἀπορίαν ἡ περὶ τοῦ ἀπείρου θεωρία· καὶ γὰρ μὴ εἶναι τιθεμένοις πόλλ' ἀδύνατα συμβαίνει καὶ εἶναι. ἔτι δὲ ποτέρως ἔστιν, πότερον ὡς οὐσία ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί; ἢ οὐδετέρως, ἀλλ' οὐδὲν ἧττον ἔστιν ἄπειρον ἢ ἄπειρα τῷ πλήθει; μάλιστα δὲ φυσικοῦ ἐστιν σκέψασθαι εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον. πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον. ἕνα μὲν δὴ τρόπον τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, ὥσπερ ἡ φωνὴ ἀόρατος· ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόγις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας. ἔτι ἄπειρον ἅπαν ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφοτέρως.

Χωριστὸν μὲν οὖν εἶναι τὸ ἄπειρον τῶν αἰσθητῶν, αὐτό τι ὂν ἄπειρον, οὐχ οἷόν τε. εἰ γὰρ μήτε μέγεθός ἐστιν μήτε πλῆθος, ἀλλ' οὐσία αὐτό ἐστι τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται (τὸ γὰρ διαιρετὸν ἢ μέγεθος ἔσται ἢ πλῆθος)· εἰ δὲ τοιοῦτον, οὐκ ἄπειρον, εἰ μὴ ὡς ἡ φωνὴ ἀόρατος. ἀλλ' οὐχ οὕτως οὔτε φασὶν εἶναι οἱ φάσκοντες εἶναι

$204^{a}\ 3\text{–}14 = 1066^{a}\ 35\text{–}^{b}7$

---

^{b} 20 τῷ om. E τὸ om. F 21 μηδὲν ΛΤ : μηδὲ E 25 μαθητικὰ E 29 σῶμα EP : σῶμα ἄπειρον ΛVS ἀναγκαῖον εἶναι ΛP 30 τὸ γὰρ ἐνδέχεσθαι ΛST ἢ] τοῦ ΛST εἶναι] εἶναι ἢ fecit E 31 μὴ] καὶ μὴ I 33 ἢ om. E^{1} ὡς om. Bekker 34 μηδετέρως AS ἢ EJV : καὶ FIS 204^{a} 1 φυσικῶ J ἐστιν σκέψασθαι ΠP : ἐπισκέψασθαι ST 2 οὖν om. F 4 ἢ] δ' ἡ E 5 μόγις ΠS : μολις MPT 10 ἀλλ' οὐσία] οὐσία δὲ ΛM 11–12 διαιρετὸν . . . πλῆθος ΛT : μέγεθος καὶ τὸ πλῆθος διαιρετόν E 12 τοιοῦτον] ἀδιαίρετον ΛMS 13 εἶναι pr. om. I

kalkmayacağı olgusundan. [4] 'Sınırlı olan'ın hep bir sona varması, dolayısıyla bir nesne hep bir başka nesne için zorunlu olarak bir sınır olsa hiçbir sınırın olmaması zorunlu olur [görüş]ünden. [5] Herkes için ortak sorun oluşturan en önemli, en başta geleni şu: düşüncede sınır olmadığından; sayı, matematiksel nicelikler ve gökyüzünün ötesi sonsuz görünüyor. Ne ki 'ötesi' sonsuz olsa cisim de dünyalar da sonsuz görünür, çünkü bir yerdeki boşluk başka bir yerdekinden niye çok olsun? Dolayısıyla kütle [mekan-uzay] bir yerde ise o her yerdedir de. 'Boşluk' ve 'sonsuz bir yer' olsa cismin de (evren kütlesinin de) sonsuz olması zorunlu olur. Çünkü öteki nesnelerde olası olmakla varolmak arasında hiç fark yok.

Öte yandan 'sonsuzluk' üzerine düşünme, içinde bir sorun taşıyor: hem sonsuzluğun varolmadığını kabul edenler için birçok olanaksız şey sözkonusu oluyor hem de sonsuzluğun varolduğunu kabul edenler için. Ayrıca acaba 'sonsuz' nasıl konacak? Bir töz olarak mı, yoksa kendi başına herhangi bir doğa için bir ilinek olarak mı? Ya da hiçbiri değil; yine de sonsuz bir şey ya da sayıca sonsuz şeyler hiç de yok değil mi? Ne ki doğabilimcisinin en çok araştıracağı şey duyulur sonsuz bir büyüklüğün 204a
olup olmadığı. İmdi ilkin 'sonsuz'un kaç anlamda kullanıldığı belirlenmeli: bir anlamda, doğal olarak baştan-sona gidilecek bir şey olmadığı için baştan-sona gidilemeyen şeye 'sonsuz' denir: tıpkı sesin görülememesi gibi. Bir başka anlamda, sonu olmayan bir yolu içinde taşıyan şey ya da sanki doğaca bir yolu varmış gibi olan, ama bir yolu ya da sınırı olmayan şey. Bir de herşey ya ekleme ya bölme ya da herikisi açısından sonsuz.

5 İmdi 'sonsuz'un duyulanlardan ayrılmış olması, kendi başına varolan bir şey olması olanaklı değil. Çünkü sonsuz, ne bir büyüklük ne sayısal bir çokluk ise, ilinek değil kendi başına töz ise bölünmez olacaktır (çünkü 'bölünebilir olan' ya bir büyüklük ya da bir çokluktur). Ne ki böyle bir şeyse sonsuz değil, meğer ki görülmeyen ses gibi ola. Ama sonsuzluğun olduğunu savunanlar bu

4. 203^{b} 20 — 5. 204^{a} 35

τὸ ἄπειρον οὔτε ἡμεῖς ζητοῦμεν, ἀλλ' ὡς ἀδιεξίτητον. εἰ δὲ κατὰ συμβεβηκὸς ἔστιν τὸ ἄπειρον, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων, ἢ ἄπειρον, ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνὴ ἐστιν ἀόρατος. ἔτι πῶς ἐνδέχεται εἶναί τι αὐτὸ ἄπειρον, εἴπερ μὴ καὶ ἀριθμὸν καὶ μέγεθος, ὧν ἐστι καθ' αὐτὸ πάθος τι τὸ ἄπειρον; ἔτι γὰρ ἧττον ἀνάγκη ἢ τὸν ἀριθμὸν ἢ τὸ μέγεθος. φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ ἄπειρον ὡς ἐνεργείᾳ ὂν καὶ ὡς οὐσίαν καὶ ἀρχήν· ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον τὸ λαμβανόμενον, εἰ μεριστόν (τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον τὸ αὐτό, εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου), ὥστ' ἢ ἀδιαίρετον ἢ εἰς ἄπειρα διαιρετόν· πολλὰ δ' ἄπειρα εἶναι τὸ αὐτὸ ἀδύνατον (ἀλλὰ μὴν ὥσπερ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου, εἴ γε οὐσία ἐστὶ καὶ ἀρχή)· ἀμέριστον ἄρα καὶ ἀδιαίρετον. ἀλλ' ἀδύνατον τὸ ἐντελεχείᾳ ὂν ἄπειρον· ποσὸν γάρ τι εἶναι ἀναγκαῖον. κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει τὸ ἄπειρον. ἀλλ' εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται αὐτὸ λέγειν ἀρχήν, ἀλλ' ᾧ συμβέβηκε, τὸν ἀέρα ἢ τὸ ἄρτιον. ὥστε ἀτόπως ἂν ἀποφαίνοιντο οἱ λέγοντες οὕτως ὥσπερ οἱ Πυθαγόρειοί φασιν· ἅμα γὰρ οὐσίαν ποιοῦσι τὸ ἄπειρον καὶ μερίζουσιν. 34

ἀλλ' ἴσως αὕτη μὲν [ἐστι] καθόλου ἡ ζήτησις, εἰ ἐνδέχεται ἄπειρον καὶ ἐν τοῖς μαθηματικοῖς 34 35

204^{a} 14–17 = 1066^{b} 9–11 17–19 = 1066^{b} 7–9 20–31 = 1066^{b} 11–21 34–^{b} 8 = 1066^{b} 21–6

---

^{a}14 ἀδιεξίτητον PST : ἀδιεζήτητον E : ἀδιεξόδον ΛM εἰ δὲ ΛPST : ἔτι εἰ EM 15 τῶν ὄντων στοιχεῖον I 16 ᾗ] ἢ δ' I οὐδὲ E^{2}ΛMT : om. E^{1} 17 εἶναί τι αὐτὸ EP : αὐτὸ εἶναί τι Λ 18 μὴ καὶ ΛM : καὶ μὴ E 19 αὐτὰ E ἔτι . . . 20 μέγεθος om. E^{1} 20 εἶναι ΠT : οὐσίαν εἶναι PS 21 ἐνεργείᾳ ὂν ΛS : ἐνέργειαν ὂν E : ἐνέργειαν T : ἐντελεχείᾳ ὂν P ἀρχὴν ΛMVS : ἀρχήν, ἀλλ' ἧττον ἢ τὸν ἀριθμὸν καὶ μέγεθος. ἔτι ἀδύνατον οὐσίαν εἶναι τὸ ἄπειρον ἐντελεχείᾳ ὄντος τοῦ ἀπείρου (cf. ^{a} 19–21) E 25 ἄπειρα] ἄπειρα ἀδιαίρετα E^{1} πολλὰ δ' ΛMS : ἔτι πολλὰ E ἄπειρα τὸ αὐτὸ εἶναι ἀδύνατον E : εἶναι ἄπειρον τὸ αὐτὸ ἀδύνατον S : εἶναι τὸ αὐτὸ ἀδύνατον ἄπειρον M 26 ἀλλὰ μὴν ὥσπερ] ὥσπερ γὰρ MVP et ut vid. T ἀὴρ μέρος ἀέρος F 27 γε E^{2}ΛP : om. E^{1}M ἐστὶ E^{2}ΛMP : om. E^{1} 30 αὐτὸ] τὸ αὐτὸ F 31 ᾧ] ἐκεῖνο ᾧ ΛM et fecit E^{1} ἢ om. E^{1} ἄρτιον ΛMV : ἄρτιον ἂν λέγοιτο ἀρχή E 32 οὕτως ὥσπερ] ἐκεῖνο καθάπερ Λ 34 ἴσως ΛPS : γὰρ E ἐστι ΛS : ἂν εἴη EP : om. M ἡ ΛMPS : om. E ζήτησις EMVS : ζήτησις μᾶλλον ΛP 35 ἄπειρον] τὸ ἄπειρον E^{2}Λ

biçimde olduğunu ileri sürmüyorlar, biz de onu böyle değil, tüketilemeyecek bir şey olarak inceliyoruz. Yine 'sonsuz', bir ilinekse sonsuz olduğu için varolanların bir öğesi olamaz: nasıl ki ses görünmese bile konuşmanın bir öğesi görünmez değil. Ayrıca sonsuzluğun kendi başına bir duygulanımı olduğu sayı ile büyüklük bile sonsuz değilse 'sonsuz'un kendinde bir şey olması nasıl olası olur? Üstelik onun sayıdan ve büyüklükten daha az 'kendinde nesne' olması zorunlu. Ama şu açık: 'sonsuz'un etkinlik halindeki bir şey olarak, töz olarak, ilke olarak varolması olası değil. Nitekim o bölünür bir şeyse ondan alınan herhangi bir şey sonsuz olacak ('sonsuz', bir taşıyıcıya yüklenmiyorsa, bir töz ise 'sonsuz olmak' ile 'sonsuz' aynıdır), dolayısıyla o ya bölünmez ya da sonsuza bölünür. Ama pek çok sonsuz nesnenin aynı şey olması olanaksız (havanın bir parçasının yine hava olması gibi; 'sonsuz' bir töz ve bir ilke olsa sonsuzun bir parçası da sonsuz olur). Demek 'sonsuz' parçalanamaz, bölünemez. Ne ki, gerçeklik halinde olan bir nesnenin sonsuz olması olanaksız, çünkü onun bir nicelik olması zorunlu. O halde 'sonsuz', ilineksel olarak bulunuyor! Ama böyle olsa ona değil, tersine onun ilinek olduğu o nesneye, yani 'hava'ya ya da 'çift'e ilke adı verilmesi olası, denen bu. Dolayısıyla Pythagorasçıların dediği şeyi savunanlar tutarsız görünseler gerek, çünkü onlar hem 'sonsuz'u bir töz yapıyorlar hem de parçalara ayırıyorlar.

Ne ki, 'sonsuz'un matematiksel nesnelerde, düşünülenlerde, hiçbir büyüklüğü olmayan nesnelerde de varolmasının olası olup

204[b] εἶναι καὶ ἐν τοῖς νοητοῖς καὶ μηδὲν ἔχουσι μέγεθος· ἡμεῖς δ' ἐπισκοποῦμεν περὶ τῶν αἰσθητῶν καὶ περὶ ὧν ποιούμεθα τὴν μέθοδον, ἆρ' ἔστιν ἐν αὐτοῖς ἢ οὐκ ἔστι σῶμα ἄπειρον ἐπὶ τὴν αὔξησιν. λογικῶς μὲν οὖν σκοπουμένοις ἐκ τῶν τοιῶνδε δόξειεν ἂν οὐκ εἶναι· εἰ γάρ ἐστι σώματος λόγος τὸ ἐπιπέδῳ ὡρισμένον, οὐκ ἂν εἴη σῶμα ἄπειρον, οὔτε νοητὸν οὔτε αἰσθητόν (ἀλλὰ μὴν οὐδ' ἀριθμὸς οὕτως ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ἀριθμὸς ἢ τὸ ἔχον ἀριθμόν· εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι, καὶ διεξελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον)· φυσικῶς δὲ μᾶλλον θεωροῦσιν ἐκ τῶνδε. οὔτε γὰρ σύνθετον οἷόν τε εἶναι οὔτε ἁπλοῦν. σύνθετον μὲν οὖν οὐκ ἔσται τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα. ἀνάγκη γὰρ πλείω εἶναι, καὶ ἰσάζειν ἀεὶ τἀναντία, καὶ μὴ εἶναι ἐν αὐτῶν ἄπειρον (εἰ γὰρ ὁποσῳοῦν λείπεται ἡ ἐν ἑνὶ σώματι δύναμις θατέρου, οἷον εἰ τὸ πῦρ πεπέρανται, ὁ δ' ἀὴρ ἄπειρος, ἔστιν δὲ τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος τῇ δυνάμει ὁποσαπλασιονοῦν, μόνον δὲ ἀριθμόν τινα ἔχον, ὅμως φανερὸν ὅτι τὸ ἄπειρον ὑπερβαλεῖ καὶ φθερεῖ τὸ πεπερασμένον)· ἕκαστον δ' ἄπειρον εἶναι ἀδύνατον· σῶμα μὲν γάρ ἐστιν τὸ πάντῃ ἔχον διάστασιν, ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός, ὥστε τὸ ἄπειρον σῶμα πανταχῇ ἔσται διεστηκὸς εἰς ἄπειρον.

22 ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι σῶμα ἄπειρον ἐνδέχεται, οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ' ἁπλῶς. εἰσὶν γάρ τινες οἳ τοῦτο ποιοῦσι τὸ ἄπειρον, ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, ὅπως μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν· ἔχουσι γὰρ

204[b] 10–24 = 1066[b] 26–36

---

[b] 1 καὶ alt.] καὶ ἐν τοῖς Λ ἡμεῖς δ' ἐπισκοποῦμεν fecit E 3 ἐν . . . ἔστι ΛS : ἢ οὐκ ἔστιν ἐν αὐτοῖς E 4 ἐπὶ] περὶ Moreliana 4 τῶν τοιῶνδε] τῶνδε F 5 λόγος τὸ fecit E[2] 6 ἐπιπέδῳ ΠT : ἐπιπέδοις MS 7 οὐδ' EFP : οὔτε IJ 8 γὰρ EFIJ[1]P : γὰρ ὁ J[2]MS 9 διεξελθεῖν EIJPS : διελθεῖν FT 11 τῶνδε δῆλον. οὔτε MV τε εἶναι ΛM : εἶναι τὸ ἄπειρον σῶμα EV 12 ἔστι FP 13 στοιχεῖα εἴη. ἀνάγκη FP 15 ὁποσῳοῦν EJV : ὁπωσοῦν FI 16 πεπέρανται FI 18 ὑπερβάλλει καὶ φθείρει IJ et fecit E 20 μὲν om. FIM 21 πανταχοῦ F : παντῇ MP ἔσται IJMS : ἐστιν E : om. F 22 εἰς ΛS : καὶ εἰς E εἶναι om. F 23 ἐνδέχεται τὸ ἄπειρον σῶμα Λ : τὸ ἄπειρον σῶμια ἐνδέχεται P 25 ποιοῦσι ΛP : ποιοῦντες E ὅπως IJP : ὡς EF

olmadığı araştırması herhalde genel bir araştırma olur. Oysa biz duyulur 204b
nesneleri inceliyoruz ve üzerinde araştırma yaptığımız nesnelerde büyüklük açısından sonsuz bir cisim var mı, yok mu, buna bakıyoruz. Şu tür kabullerle bakarsak mantıksal açıdan yok gibi görünüyor: bir cismin tanımı "bir yüzeyle belirlenmiş, sınırlanmış şey" ise, ne düşünülür ne de duyulur sonsuz bir nesne olabilir (üstelik sayı da böyle ayrılmış-soyutlanmış olarak sonsuz değil, nitekim 'sayılabilir olan' sayıdır ya da sayıya sahip olan şeydir; 'sayılabilir'i saymak olası ise 'sonsuz'a dek gidilmesi de olanaklı olsa gerek). Ama fiziksel açıdan şöyle bakarsak: 'Sonsuz'un ne bileşik ne de yalın olması olanaklı. Bileşik olarak alındıkta öğeleri çoklukca sınırlı ise sonsuz cisim olmayacaktır; çünkü öğelerin birden çok olması, karşıt öğelerin hep eşit olması, onlardan hiçbirinin sonsuz olmaması zorunlu (nitekim iki öğenin herhangi birindeki olanak ötekinden az olsa, sözgelişi ateş sonlu, hava sonsuz olsa eşit ölçüde ateş eşit ölçüdeki havadan olanak açısından belli bir üstünlükte olsa bile; yalnızca belli bir sayıda olsa bile şu açık: 'Sonsuz olan' aşacak ve sonlu olanı yokedecektir). Öte yandan her öğenin sonsuz olması olanaksız, çünkü cisim her yanda yayılımı olan şey, oysa sonsuz olan şey sınırsızca yayılmış olan şey, dolayısıyla sonsuz cisim her yerde sonsuzluğa yayılmış şey olacaktır.

Ne ki, sonsuz bir cismin tek ve yalın olması da olanaksız: ne kimilerinin[22] dediği gibi o öğelerin dışında olup öğeler ondan doğsun, bu anlamda ne de genel anlamda. Bazı düşünürler; ötekiler, aralarında sonsuz olan tarafından yokedilmesin diye hava ya da suyu değil, 'sonsuz'u böyle alıyor:

5. 204b 1 — 205a 17

πρὸς ἄλληλα ἐναντίωσιν, οἷον ὁ μὲν ἀὴρ ψυχρός, τὸ δ' ὕδωρ ὑγρόν, τὸ δὲ πῦρ θερμόν· ὧν εἰ ἦν ἓν ἄπειρον, ἐφθαρτο ἂν ἤδη τἆλλα· νῦν δ' ἕτερον εἶναί φασιν ἐξ οὗ ταῦτα. ἀδύνατον δ' εἶναι τοιοῦτον, οὐχ ὅτι ἄπειρον (περὶ τούτου μὲν γὰρ κοινόν τι λεκτέον ἐπὶ παντὸς ὁμοίως, καὶ ἀέρος καὶ ὕδατος καὶ ὁτουοῦν), ἀλλ' ὅτι οὐκ ἔστιν τοιοῦτον σῶμα αἰσθητὸν παρὰ τὰ καλούμενα στοιχεῖα· ἅπαντα γὰρ ἐξ οὗ ἐστι, καὶ διαλύεται εἰς τοῦτο, ὥστε ἦν ἂν ἐνταῦθα παρὰ ἀέρα καὶ πῦρ καὶ γῆν καὶ ὕδωρ· φαίνεται δ' οὐδέν. οὐδὲ δὴ πῦρ οὐδ' ἄλλο τι τῶν στοιχείων οὐδὲν ἄπειρον ἐνδέχεται εἶναι. ὅλως γὰρ καὶ χωρὶς τοῦ ἄπειρον εἶναί τι αὐτῶν, ἀδύνατον τὸ πᾶν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι ἢ γίγνεσθαι ἕν τι αὐτῶν, ὥσπερ Ἡράκλειτός φησιν ἅπαντα γίγνεσθαί ποτε πῦρ (ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνός, οἷον ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί)· πάντα γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς ἐναντίον, οἷον ἐκ θερμοῦ εἰς ψυχρόν.

δεῖ δὲ κατὰ παντὸς ἐκ τῶνδε σκοπεῖν, εἰ ἐνδέχεται ἢ οὐκ ἐνδέχεται εἶναι [σῶμα ἄπειρον αἰσθητόν]. ὅτι δὲ ὅλως ἀδύνατον εἶναι σῶμα ἄπειρον αἰσθητόν, ἐκ τῶνδε δῆλον. πέφυκε γὰρ πᾶν τὸ αἰσθητόν που εἶναι, καὶ ἔστιν τόπος τις ἑκάστου, καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός, οἷον ὅλης τε τῆς γῆς καὶ βώλου μιᾶς, καὶ πυρὸς καὶ σπινθῆρος. ὥστε εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται ἢ ἀεὶ οἰσθήσεται· καίτοι ἀδύνατον (τί γὰρ μᾶλλον κάτω ἢ ἄνω ἢ ὁπουοῦν; λέγω δὲ οἷον, εἰ βῶλος εἴη, ποῦ αὐτὴ κινηθήσεται ἢ ποῦ μενεῖ; ὁ γὰρ τόπος ἄπειρος τοῦ συγγενοῦς αὐτῇ σώματος. πότερον οὖν καθέξει τὸν ὅλον τόπον; καὶ πῶς; τίς οὖν ἢ ποῦ ἡ μονὴ καὶ

204b 32—205a 7 = 1066b 36—1067a 7 205a 10–26 = 1067a 7–20

---

b 27–8 ψυχρός (ψυχροῦς E) . . . ὑγρόν ΠPST: ὑγρός . . . ψυχρόν ci. S 28 ὢν] ὡς T 29 ἂν om. F φασιν εἶναι τὸ ἐξ Λ 30 μὲν om. F 33 καλούμενα στοιχεῖα ΛT: στοιχεῖα καλούμενα E ἅπαν IT: ἅπαν μὲν F 35 τι EP: om. F, post 205a 1 εἶναι ponunt IJ 205a 2 τὸ ΔM: om. E κἂν ᾖ ΔM: ἢ καὶ E 4 φησι δὲ ἅπαντα E 6 πᾶν MP ἐναντίον ΔP: ἐναντία E 7 κατὰ] περὶ E²FIPS ἐκ] καὶ ἐκ ΔVPS 8 ἢ οὐκ ἐνδέχεται om. F εἶναι . . . αἰσθητόν F: σῶμα εἶναι ἄπειρον αἰσθητόν IJ: εἶναι ἄπειρον S: εἶναι E 9 εἶναι . . . αἰσθητόν ΠP: secl. Prantl 12 βῶλου μιᾶς ES: μιᾶς βώλου ΔT 14 ὁπουοῦν MV Bonitz: ποῦ EIJ: ὁποιονοῦν F 16 αὐτῆς EM 17 ἢ EFP: καὶ IJ ἡ om. F

nitekim öğeler birbirlerine göre karşıt, sözgelişi hava soğuk, su nemli, ateş sıcak; bunlardan biri sonsuz olsa ötekiler yokolurdu. Bu öğelerin ondan kaynaklandığı bir başka şeyin varlığını savunuyorlar, oysa böyle bir şeyin varolması olanaksız: o 'sonsuz olduğu için değil (nitekim 'sonsuz' üzerine de hava, su ya da bu gibi bir şey üzerine yapıldığı gibi bütün öğeyle benzer ortak bir temellendirme yapmak gerekir), öğe denenlerin dışında bu tür duyulur bir cisim yok da onun için. Her nesne nerden geliyorsa ona döner; dolayısıyla 'sonsuz', hava-ateş-toprak-suyun dışında bir şey olurdu; ama böyle bir şey görünmüyor. Ateşin ya da başka bir öğenin sonsuz bir şey olması da olası değil, çünkü genelde onlardan birinin sonsuz olması dışında, 'herşey' sonlu olsa bile Herakleitos'un "herşeyin bir zaman ateş olduğu"nu ileri sürmesi gibi, 'herşey' onlar içinde tek biri olamaz ya da tek biri haline gelemez (aynı temellendirme doğa düşünürlerinin 'öğeler' dışında aldıkları 'Bir' üzerine de geçerli). Çünkü her şey karşıttan karşıta değişir, dönüşür, sözgelişi sıcaktan soğuğa.

Bunlardan yola çıkarak bütün içinde 'sonsuz duyulur bir cisim' olması olası mı, değil mi, buna bakmak gerekiyor. Sonsuz duyulur bir cismin varolmasının olanaksız olduğu şunlardan görünüyor: duyulur her nesne doğal olarak herhangi bir yerde; her nesnenin belli bir yeri var: bu parça için de bütün için de aynı. Sözgelişi ister toprağın bütünü ister tek bir kum tanesi, ister ateş ister tek bir kıvılcım olsun. Dolayısıyla bütün [yeryüzü], eşbiçimliyse [aynı cinstense] ya devinimsiz olacak ya da hep [ordan oraya] devinecek. Oysa bu olanaksız (nitekim acaba daha çok aşağıya mı, yukarıya *mı yoksa herhangi* başka bir yere doğru mu devinecek? Dediğim şu: sözgelişi küçük bir kum tanesi olsun; nereye doğru devinecek ya da nerede duraduracak? Çünkü onunla aynı cinsten olan cismin yeri sonsuz. Acaba o yeryüzünün, toprağın bütününü mü kaplayacak? Nasıl olacak bu? Onun duradurması ve devinimi

ἡ κίνησις αὐτῆς; ἢ πανταχοῦ μενεῖ; οὐ κινηθήσεται ἀρα. ἢ πανταχοῦ κινηθήσεται; οὐκ ἄρα στήσεται)· εἰ δ' ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι· καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ' ἢ τῷ ἅπτεσθαι· ἔπειτα ἤτοι πεπερασμένα ταῦτ' ἔσται ἢ ἄπειρα τῷ εἴδει. πεπερασμένα μὲν οὖν οὐχ οἷόν τε (ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δ' οὔ, εἰ τὸ πᾶν ἀπειρον, οἷον τὸ πῦρ ἢ τὸ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις [καθάπερ εἴρηται πρότερον])· [καὶ ... κάτω.] εἰ δ' ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι, καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα· εἰ δὲ τοῦτ' ἀδύνατον καὶ πεπερασμένοι οἱ τόποι, καὶ τὸ ὅλον [πεπεράνθαι ἀναγκαῖον]· ἀδύνατον γὰρ μὴ ἀπαρτίζειν τὸν τόπον καὶ τὸ σῶμα· οὔτε γὰρ ὁ τόπος ὁ πᾶς μείζων ἢ ὅσον ἐνδέχεται τὸ σῶμα εἶναι (ἅμα δ' οὐδ' ἄπειρον ἔσται τὸ σῶμα ἔτι), οὔτε τὸ σῶμα μεῖζον ἢ ὁ τόπος· ἢ γὰρ κενὸν ἔσται τι ἢ σῶμα οὐδαμοῦ πεφυκὸς εἶναι. (καὶ διὰ τοῦτ' οὐθεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησεν οὐδὲ γῆν τῶν φυσιολόγων, ἀλλ' ἢ ὕδωρ ἢ ἀέρα ἢ τὸ μέσον αὐτῶν, ὅτι τόπος ἑκατέρου δῆλος ἦν διωρισμένος, ταῦτα δ' ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω.)

205b 'Αναξαγόρας δ' ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς· στηρίζειν γὰρ αὐτὸ αὑτό φησιν τὸ ἄπειρον· τοῦτο δέ, ὅτι ἐν αὑτῷ (ἄλλο γὰρ οὐδὲν περιέχειν), ὡς ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα εἶναι. τοῦτο δ' οὐκ ἀληθές· εἴη γὰρ ἂν τί που βιᾷ καὶ οὐχ οὗ πέφυκεν. εἰ οὖν ὅτι μάλιστα μὴ κινεῖται τὸ ὅλον (τὸ γὰρ αὑτῷ στηριζόμενον καὶ ἐν αὑτῷ ὂν ἀκίνητον εἶναι ἀνάγκη), ἀλλὰ διὰ τί οὐ πέφυκε κινεῖσθαι, λεκτέον. οὐ γὰρ ἱκανὸν τὸ

205a 29–32 = 1067a 20–23

---

a 18 αὐτῇ E¹ οὐ ... 19 στήσεται ΛMP : om. E 19 ἀνόμοιον ΠΜ : ἀνομοειδὲς S 20 πᾶν ΛMP : ἅπαν E 21 τῷ ΛM : τοῦ E 22 ἔσται ΛM : ἐστιν E πεπερασμένα μὲν οὖν EFMP : καὶ πεπερασμένα μὲν IJ 23 εἰ] ἢ J 25 καθάπερ ... πρότερον om. EM καὶ ... 29 κάτω hic ΠPST : post b 1 εἶναι ponenda ci. Pacius : ante καὶ lacunam statuit Hayduck 30 ἁπλᾶ ΛMPS : τὰ ἁπλᾶ E ἔσται post στοιχεῖα F 31 καὶ alt. ΛM : ὥστε καὶ EV ἀναγκαῖον πεπεράνθαι M : om. E : πεπεράνθαι om. V 34 σῶμα EPT : σῶμα ἅμα Λ οὐδ' ΛPST : om. E 35 ἔτι EP : om. Λ 25 τοῦτο θεὶς E¹ 26 ἐν καὶ ἄπειρον EIJP : ἄπειρον καὶ ἓν F : ἄπειρον T 27 ἢ pr. om. E²T b 3 αὑτό] αὐτῷ E² et ut vid. T 4 οὐδὲ E περιέχειν T et ut vid. PS, Bonitz : περιέχει Π εἶναι ΛPS : ὂν E 6 κινῆται J γὰρ] γὰρ ἐν ΛPS

nasıl bir şey ya da nerede? Yoksa heryerde mi kalacak? Yani devinmeyecek! Yoksa her yerde mi devinecek? Yani hiç durmayacak!). Ama 'bütün', eşbiçimli değilse, yerler de eşbiçimli değil demektir. Bu durumda ilkin cismin bütünü ancak dokunma ile birlik taşıyacak, ikincileyin nesneler türce ya sınırlı ya da sonsuz olacak: sınırlı olması olanaklı değil (çünkü 'bütün' sonsuzsa ateş ya da su gibi öğelerden kimi sınırlı olacak kimi sonsuz. Oysa böyle bir şey, <daha önce dediğimiz ve aşağıda da söyleyeceğimiz gibi>, karşıtların ortadan kalkması demek. Yine nesneler sonsuz ve yalınsa yerleri de sonsuz olacak öğeler de. Bu olanaksızsa, yerleri sınırlıysa bütünün de sınırlı olması zorunlu; çünkü cismi ve yerini ayırmak olanaksız: nitekim ne yerin tümü cismin varlığından daha büyük (aynı anda bir de cisim sonsuz olmayacak), ne de cisim [kapladığı] yerden daha büyük. Nitekim ilk durumda bir boşluk olacak, ikinci durumda cisim doğal olarak hiçbir yerde olmayacak. <İşte bu yüzden doğa düşünürlerinden hiçbiri 'Bir' ve 'Sonsuz' diye ateşi, toprağı değil, ya suyu ya havayı ya da bunların arasındakini aldı; çünkü birincilerin yeri açıkça belirli, sınırlı idi, ikincilerin hem yukarıya hem aşağıya, iki yana>.

Anaksagoras ise 'sonsuz'un duradurması konusunda garip konuşuyor: 205
'sonsuz'un kendine dayandığını ileri sürüyor. Bu da şunun içinmiş: 'o' kendi içinde (çünkü hiçbir şey onu sarmıyor), sanki birşey neredeyse orada olması doğal. Ne ki, bu doğru değil, çünkü bir nesne zorla, bulunması doğal olmayan bir yerde olabilir. Hadi diyelim ki 'bütün' devinmiyor (kendine dayanan ve kendi içinde olan nesne devinmeyen bir nesnedir, bu zorunlu), o zaman 'niçin' devinmesi doğal değil, bunun söylenmesi gerekir. Bu

5. 205ᵃ 18 — 205ᵇ 34

οὕτως εἰπόντα ἀπηλλάχθαι· εἴη γὰρ ἂν καὶ ὅτι οὐκ ἔχει ἀλλαχῆ κινεῖσθαι οὐ κινούμενον, ἀλλὰ πεφυκέναι οὐδὲν κωλύει· ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται, οὐδ' εἰ ἄπειρος ἦν, εἰργμένη μέντοι ὑπὸ τοῦ μέσου· ἀλλ' οὐχ ὅτι οὐκ ἔστιν ἄλλο οὗ ἐνεχθήσεται, μείνειεν ἄν [ἐπὶ τοῦ μέσου], ἀλλ' ὅτι πέφυκεν οὕτω. καίτοι ἐξείη ἂν λέγειν ὅτι στηρίζει αὐτήν. εἰ οὖν μηδ' ἐπὶ τῆς γῆς τοῦτο αἴτιον ἀπείρου οὔσης, ἀλλ' ὅτι βάρος ἔχει, τὸ δὲ βαρὺ μένει ἐπὶ τοῦ μέσου, ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου, ὁμοίως ἂν καὶ τὸ ἄπειρον μένοι ἐν αὑτῷ διά τιν' ἄλλην αἰτίαν, καὶ οὐχ ὅτι ἄπειρον καὶ στηρίζει αὐτὸ ἑαυτό. ἅμα δὲ δῆλον ὅτι κἂν ὁτιοῦν μέρος δέοι μένειν· ὡς γὰρ τὸ ἄπειρον ἐν ἑαυτῷ μένει στηρίζον, οὕτως κἂν ὁτιοῦν ληφθῇ μέρος ἐν ἑαυτῷ μενεῖ· τοῦ γὰρ ὅλου καὶ τοῦ μέρους ὁμοειδεῖς οἱ τόποι, οἷον ὅλης γῆς καὶ βώλου κάτω καὶ παντὸς πυρὸς καὶ σπινθῆρος ἄνω. ὥστε εἰ τοῦ ἀπείρου τόπος τὸ ἐν αὑτῷ, καὶ τοῦ μέρους ὁ αὐτός. μενεῖ ἄρα ἐν ἑαυτῷ.

ὅλως δὲ φανερὸν ὅτι ἀδύνατον ἄπειρον ἅμα λέγειν σῶμα καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν, εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα, καὶ εἰ μὲν βαρύ, ἐπὶ τὸ μέσον ἔχει τὴν φορὰν φύσει, εἰ δὲ κοῦφον, ἄνω· ἀνάγκη γὰρ καὶ τὸ ἄπειρον, ἀδύνατον δὲ ἢ ἅπαν ὁποτερονοῦν ἢ τὸ ἥμισυ ἑκάτερον πεπονθέναι· πῶς γὰρ διελεῖς; ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ ἔσχατον καὶ μέσον; ἔτι πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, τόπου δὲ εἴδη καὶ διαφοραὶ τἄνω καὶ κάτω καὶ ἔμπροσθεν καὶ ὄπισθεν καὶ δεξιὸν καὶ ἀριστερόν· καὶ ταῦτα οὐ μόνον πρὸς ἡμᾶς καὶ θέσει, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ὅλῳ διώρισται.

205ᵇ 24—206ᵃ 7 = 1067ᵃ 23–33

ᵇ 9–10 ὅτι . . . κινεῖσθαι EPST : ὁτιοῦν ἄλλο Λ 11 εἰργμένη ΛP : ἠργμένη fecit E ὑπὸ S : ἀπὸ Π 12 μείνη F : μένειεν IJ 13 ἐπὶ τοῦ μέσου om. E et fort. S ὅτι E¹VT : ὅτι οὐ E²Λ λέγειν ἂν I 16 ἡ . . . μέσου om. I 17 ἐν EFS : ἂν ἐν IJ τινα fecit E² 18 ἑαυτό E¹FPS : αὐτό J² : αὐτῷ E²J¹ et ut vid. T : αὐτῷ I 20 μένει EFS 23 τὸ ἐν αὐτῷ ΛS : om. E 24 μένει E ἄπειρον ἅμα ES : ἅμα ἄπειρον IJM : ἅμα F : τὸ ἄπειρον ἅμα P 28 ἄπειρον σῶμα, ἀδύνατον IJ ἢ ἅπαν] εἶναι πᾶν corr. E : ἢ πᾶν MS 30 διελῃς fecit E τὸ μὲν ἄνω ἔσται I 31 καὶ MVPS : ἡ Π 32 τἄνω καὶ κάτω om. J¹ καὶ alt.] τὸ IJ² : καὶ τὸ F καὶ ἔμπροσθεν ET : καὶ τὸ ἔμπροσθεν F : τὸ πρόσθεν IJ 34 θέσει ἐστὶν ἀλλὰ E²IJ

biçimde konuşup işin içinden sıyrılmak yeterli değil: çünkü devinecek başka bir yeri olmadığı için devinmiyor olabilir, ama doğal olarak devinme [olanağını] taşımasına bir engel değildir bu. Nitekim toprak/yeryüzü de bir yere gitmiyor -sonsuz olsaydı da bu böyle-. Çünkü merkezde kalıyor. Ne ki, gideceği başka bir yer olmadığı için merkezde kalıyor değil, böylesi doğal olduğu için. Yine de onun kendine dayandığı ileri sürülebilir. İmdi toprak/yeryüzü ile ilgili olarak bunun nedeni toprağın sonsuz olması değilse; ağır olduğu içinse, ağır olan da ortada kaldığı için toprak ortadaysa, aynı şekilde 'sonsuz' da başka bir nedene bağlı olarak kendi içinde kalsa gerek, yoksa 'sonsuz' sonsuz olduğu için, sonsuz olan da kendine dayandığı için değil. Aynı zamanda açık ki, herhangi bir parçasının da devinimsiz kalması gerekecek. Nasıl 'sonsuz', kendine dayanarak kendi içinde kalıyorsa ondan alınan herhangi bir parça da kendi içinde kalıyor demektir; çünkü bütünün ve parçanın yerleri eşbiçimli, aynı cins: nasıl ki yerin/toprağın bütününün ve bir kum tanesinin yeri aşağıda, ateşin bütününün ve bir kıvılcımın yeri yukarıda. Dolayısıyla 'sonsuz'un yeri kendi içinde ise parçasının yeri de aynı olur, yani parçası da kendi içinde duradurur.

İmdi kısaca şu açık: her duyulur cisim ya ağır ya da hafif ise ve; ağırsa doğa gereği merkeze doğru hafifse yukarı doğru deviniyorsa, hem sonsuz bir cismin olduğunu hem de cisimlerin belli bir yeri olduğunu ileri sürmek olanaksız; çünkü bu, 'sonsuz' için de zorunlu olur: oysa ya onun bütününün bu iki yerden birinde olması ya da onun yarısının bu yer değişikliklerini üstlenmesi olanaksız, nitekim nasıl böleceksin onu? 'Sonsuz'un yukarısı, aşağısı ya da ucu, ortası nasıl olur? Ayrıca her duyulur cisim bir yerde, yerin tür ve ayrımlarıysa: yukarı-aşağı-ön-arka-sağ-sol. Bunlar yalnızca 'bize göre' ve uylaşımla (thesei) değil; bütünün kendi içinde

ἀδύνατον δ' ἐν τῷ ἀπείρῳ εἶναι ταῦτα. ἁπλῶς δ' εἰ ἀδύνατον
206ª τόπον ἄπειρον εἶναι, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον [τι] εἶναι σῶμα. ἀλλὰ μὴν τό γε ποὺ ἐν τόπῳ, καὶ τὸ ἐν τόπῳ πού. εἰ οὖν μηδὲ ποσὸν οἷόν τ' εἶναι τὸ ἄπειρον—ποσὸν γὰρ τί ἔσται, οἷον δίπηχυ ἢ τρίπηχυ· ταῦτα γὰρ σημαίνει τὸ ποσόν—οὕτω καὶ τὸ ἐν τόπῳ ὅτι ποῦ, τοῦτο δὲ ἢ ἄνω ἢ κάτω ἢ ἐν ἄλλῃ τινὶ διαστάσει τῶν ἓξ, τούτων δ' ἕκαστον πέρας τί ἐστιν. ὅτι μὲν οὖν ἐνεργείᾳ οὐκ ἔστι σῶμα ἄπειρον, φανερὸν ἐκ τούτων.

Ὅτι δ' εἰ μὴ ἔστιν ἄπειρον ἁπλῶς, πολλὰ ἀδύνατα 6
συμβαίνει, δῆλον. τοῦ τε γὰρ χρόνου ἔσται τις ἀρχὴ καὶ τελευτή, καὶ τὰ μεγέθη οὐ διαιρετὰ εἰς μεγέθη, καὶ ἀριθμὸς οὐκ ἔσται ἄπειρος. ὅταν δὲ διωρισμένων οὕτως μηδετέρως φαίνηται ἐνδέχεσθαι, διαιτητοῦ δεῖ, καὶ δῆλον ὅτι πῶς μὲν ἔστιν πῶς δ' οὔ. λέγεται δὴ τὸ εἶναι τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ, καὶ τὸ ἄπειρον ἔστι μὲν προσθέσει ἔστι δὲ καὶ διαιρέσει. τὸ δὲ μέγεθος ὅτι μὲν κατ' ἐνέργειαν οὐκ ἔστιν ἄπειρον, εἴρηται, διαιρέσει δ' ἐστίν· οὐ γὰρ χαλεπὸν ἀνελεῖν τὰς ἀτόμους γραμμάς· λείπεται οὖν δυνάμει εἶναι τὸ ἄπειρον. οὐ δεῖ δὲ τὸ δυνάμει ὂν λαμβάνειν, ὥσπερ εἰ δυνατὸν τοῦτ' ἀνδριάντα εἶναι, ὡς καὶ ἔσται τοῦτ' ἀνδριάς, οὕτω καὶ ἄπειρον ὃ ἔσται ἐνεργείᾳ· ἀλλ' ἐπεὶ πολλαχῶς τὸ εἶναι, ὥσπερ ἡ ἡμέρα ἔστι καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο καὶ ἄλλο γίγνεσθαι, οὕτω καὶ τὸ ἄπειρον (καὶ γὰρ ἐπὶ τούτων ἔστι καὶ δυνάμει καὶ ἐνεργείᾳ· Ὀλύμπια γὰρ ἔστι καὶ τῷ δύνασθαι τὸν ἀγῶνα γίγνεσθαι καὶ τῷ γίγνεσθαι)· ἄλλως δ' ἔν τε τῷ χρόνῳ δῆλον [τὸ ἄπειρον] καὶ ἐπὶ τῶν ἀνθρώπων, καὶ ἐπὶ τῆς διαιρέσεως

[b] 35 *ἀπείρῳ σώματι εἶναι* EMVPS *εἰ* om. E 206ª 1 *τὸ τόπον* I *ἄπειρον εἶναι* EMS : *εἶναι ἄπειρον* ΛP *πᾶν* ΛPS : *πᾶν τὸ* E 2 *τι εἶναι* EF : *εἶναί τι* IP : *εἶναι* ST 3 *πόσον γὰρ* Λ 4 *δίπηχυ ἢ τρίπηχυ* ΛVPST : *τριπηχυ ἢ δίπηχυ* E 5 *καὶ τὸ* ΛS : *καὶ* E : *οὐδὲ* Bonitz *ἐν* ΛST : om. E *ἢ* om. F 6 *ἄνω ἢ κάτω* ΛMVST : *κάτω ἢ ἄνω* E *τοῦ* E 7 *οὐκ ἔστι σῶμα* EFS : *σῶμα οὐκ ἔστιν* IJ 8 *τούτων*] *τῶν εἰρημένων* F 9 *ἁπλῶς*] *μηδὲ ἁλλως* P¹ : *μηδαμῶς* P² 11 *εἰς μέγεθος* Λ 12 *διωρισμένων οὕτως* E²ΛP : *ὡρίσωμεν οὕτως καὶ* E¹ *φαίνεται* F 14 *δὴ*] *δὲ* F *τὸ* pr. om. S 15 *καὶ* alt. om. F *διαιρέσει* E¹FJ²PST : *ἀφαιρέσει* E²IJ¹V 17 *αὐτομάτους* F 19 *τουτὶ* S 20 *τοῦτ'* ΛS : om. E *καὶ ἄπειρον* EP : *καὶ ἀπείρόν τι* F : *τι καὶ ἄπειρον* IJS 21 *ἡ* om. EIJ 22 *ἔστι* om. S 23–5 *καὶ γὰρ . . . τῷ γίγνεσθαι* ΛP : om. E 23 *καὶ* ult. om. F 25 *ἄλλως δ'* ΛS : *καὶ ἄλλως δὲ* P : *καὶ ἄλλως τε* E *τε* EIS : om. FJ 26 *τὸ ἄπειρον* ΛP : om. E

ile belirlenmiş. Ama 'sonsuz'un içinde bunların olması olanaksız. Kısaca 35
altı yerin sonsuz olması olanaksızsa her cisim de bir yerde ise sonsuz bir 206a
cismin varlığı olanaksız. Üstelik "nerede?", "bir yerde" demek, "bir yerde" de "nerede?" demektir. İmdi 'sonsuz'un bir nicelik olması da olanaklı değilse -çünkü belli bir nicelik, iki metreküp, üç metreküp demek; niceliği gösteren bunlar- şu da olanaksız: nerede olduğu "bir yerde" diye de 5
söylenemez; bu: yukarıda, aşağıda ya da altı yerden herhangi birinde bulunacak demektir, bunların herbiri de bir sınır. Demek ki söylediklerimizden çıkan şu: etkinlik halinde sonsuz bir cisim yok.

6 Ne ki 'sonsuz' mutlak anlamda yoksa pek çok olanaksız şeyin sözkonusu olacağı açık: zamanın bir başı-sonu olacak, büyüklükler [hep 10
yeniden] büyüklüklere bölünemeyecek, sayı da sonsuz olmayacak. Belirlemelerimize göre bunların hiçbirinin böyle olması olası görünmüyorsa bir çıkar yol gerekiyor: yani [sonsuz], bir anlamda var, bir anlamda yok, bu açık. Kastettiğimiz olanak halinde varlık ile gerçeklik halinde varlık. 'Son- 15
suz' ise bir ekleme bir de bölme açısından sözkonusu. Büyüklük etkinlik halinde sonsuz değil, bunu söyledik, ama bölme açısından sonsuz, çünkü 'bölünmez çizgi' görüşünü çürütmek[23] zor değil. Demek ki şu kabul ediliyor: 'sonsuz', olanak halinde var. Ne ki burada olanak halinde olanı "şunun heykel olması olanaklı, öyleyse o heykel olacak" gibi 'sonsuz' da 20
etkinlik halinde varolacak diye anlamamalı. Varolmak çok anlamda olduğundan 'gündüz var', 'yarış var' gibi, yani hep değişik süreçlerde olan bir şey olarak anlamalı (aslında bunlarda hem olanaklılık hem etkinlik sözkonusu; nitekim "Olympiat Oyunları var" demek hem 'olması olanaklı' demek, hem de 'gerçekten yapılmakta' demek). O halde sonsuzluk bir anlamda zamanda, bir anlamda insanların, bir anlamda da bü- 25
yüklüklerin bölünmesi açısından, bu açık. Nitekim genelde 'sonsuz',

5. 205b 35 — 6. 206b 15

τῶν μεγεθῶν. ὅλως μὲν γὰρ οὕτως ἔστιν τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ εἶναι πεπερασμένον, ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον·

[ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται, ὥστε 29a
τὸ ἄπειρον οὐ δεῖ λαμβάνειν ὡς τόδε τι, οἷον ἄνθρωπον ἢ 30
οἰκίαν, ἀλλ' ὡς ἡ ἡμέρα λέγεται καὶ ὁ ἀγών, οἷς τὸ εἶναι
οὐχ ὡς οὐσία τις γέγονεν, ἀλλ' ἀεὶ ἐν γενέσει ἢ φθορᾷ,
πεπερασμένον, ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον·] ἀλλ' ἐν
τοῖς μεγέθεσιν ὑπομένοντος τοῦ ληφθέντος [τοῦτο συμβαί- 206b
νει], ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων φθειρομένων οὕτως ὥστε
μὴ ἐπιλείπειν. 3

τὸ δὲ κατὰ πρόσθεσιν τὸ αὐτό ἐστί πως καὶ 3
τὸ κατὰ διαίρεσιν· ἐν γὰρ τῷ πεπερασμένῳ κατὰ πρόσθε-
σιν γίγνεται ἀντεστραμμένως· ἢ γὰρ διαιρούμενον ὁρᾶται εἰς 5
ἄπειρον, ταύτῃ προστιθέμενον φανεῖται πρὸς τὸ ὡρισμένον.
ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει ἂν λαβών τις ὡρισμένον
προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ, μὴ τὸ αὐτό τι τοῦ ὅλου μέγεθος
περιλαμβάνων, οὐ διέξεισι τὸ πεπερασμένον· ἐὰν δ' οὕ-
τως αὔξῃ τὸν λόγον ὥστε ἀεί τι τὸ αὐτὸ περιλαμβάνειν μέ- 10
γεθος, διέξεισι, διὰ τὸ πᾶν πεπερασμένον ἀναιρεῖσθαι
ὁτῳοῦν ὡρισμένῳ. ἄλλως μὲν οὖν οὐκ ἔστιν, οὕτως δ' ἔστι τὸ
ἄπειρον, δυνάμει τε καὶ ἐπὶ καθαιρέσει (καὶ ἐντελεχείᾳ δὲ
ἔστιν, ὡς τὴν ἡμέραν εἶναι λέγομεν καὶ τὸν ἀγῶνα)· καὶ δυ-
νάμει οὕτως ὡς ἡ ὕλη, καὶ οὐ καθ' αὑτό, ὡς τὸ πεπερασμέ- 15
νον. καὶ κατὰ πρόσθεσιν δὴ οὕτως ἄπειρον δυνάμει ἔστιν, ὃ

[a] 28 καὶ . . . τὸ E²ΛPS : ἄλλο E¹ μὲν ἀεὶ πεπερασμένον εἶναι ΛSᵖ : μὲν ἀεὶ πεπερασμένον Sᵛ : εἶναι μὲν ἀεὶ πεπερασμένον P 29a ἔτι (ὁτι E²) . . . λέγεται EVPS : om. Λ γρ. A γρ. P γρ. S ὥστε . . . 33 ἕτερον ΠPS : om. γρ. A γρ. P γρ. S 30 τὸ] τὸ ἐπ' S οὐδεὶς λαμβάνει E 31 ἡ IJST : om. EF οἷς] ἃ fecit E 32 τις om. ἢ F²IJS : καὶ EF¹ 33 πεπερασμένον IJS : εἰ πεπερασμένον fecit E : εἰ καὶ πεπερασμένον F γε EIJSᵖ : om. FSᶜ ἐν EIP : ἐν μὲν FJ [b] 1 τοῦτο συμβαίνει ΛP : om. E 2 τοῦ . . . ἀνθρώπων EP : τῶν ἀνθρώπων καὶ τοῦ χρόνου Λ οὕτως E²ΛS : om. E¹ 3 ἐπιλείπειν E¹S : ὑπολείπειν E²Λ ἐστί πως EP : πώς ἐστι S : πῶς ἐστι Λ 4 κατὰ alt.] τὸ κατὰ Laas 6 αὕτη E¹ 7 ἐν γὰρ ΛVPST : ἐὰν ἐν E ἂν ΛP : om. E τις ΛP : τί E 8 τι sup. lin. E¹ τοῦ ὅλου μέγεθος FS : μέγεθος τῷ ὅλῳ E¹ : μέγεθος τῷ λόγῳ E²IJP : τοῦ λόγου μέρος γρ. S 9 διέξειστ fecit E τὸ om. F 11 παν] πᾶν τὸ IJ 12 ἄλλως . . . ἔστιν ΛP : om. E 13 καὶ ἐπὶ καθαιρέσει secl. Stölzle δὲ ἔστιν ΛS : ἐντελεχείᾳ δὲ ἐστίν Prantl 14 λέγομεν εἶναι F 15 ὡς τὸ om. EPS

böyle her nesneyle ilgili olarak hep başka bir şey olarak alınıyor, alınan da her zaman sonlu, sınırlı, ama o hep değişik bir şey.

<Ayrıca 'varlık' çok anlamda kullanılıyor, dolayısıyla 'sonsuz'u in- 29a
san, ev gibi belli bir şey olarak değil; gün, yarışma gibi almak gerekiyor; 30
bu sonuncular için 'varlık' bir töz değil, hep oluş ya da yokoluş içinde, sınırlandırılmış, hep başka bir şey>. Ne ki büyüklüklerde alınan parça [yeniden bölünecek şekilde] kaldığı için <bu sözkonusu>; oysa zaman ve 206b
insanlar yokolup gittiğinden onların kalmaması sözkonusu.

Ekleme açısından sonsuzluk bölme açısından sonsuzlukla bir bakıma aynı şey, çünkü sınırlı bir nesnede 'sonsuz'a ekleme ile ötekinin ters biçimde gidiliyor. Nitekim alınan parça ne ölçüde sonsuza gider görünüyorsa, eklenen parça da sınırlı olanla o oranda. Sınırlı bir büyüklükten sınırlı bir parça alınsa; sonra bütünün büyüklüğünü bozmaksızın bu işlem aynı oranda sürdürülse sonsuza ulaşılamaz oysa büyüklüğün kendisini giderek ortadan kaldıracak biçimde oranı büyütürsek sonsuza ulaşırız, çünkü her sınırlı nesnenin yerini herhangi sınırlı bir nesne alır. İmdi 'sonsuz' başka biçimde değil, böyle, yani olanak halinde ve bölme aracılığıyla (ama gerçeklik halinde de tıpkı gün ve yarışma var dediğimiz gibi) var. Madde olarak da 'sınırlı olan' gibi kendinde değil böyle, yani olanak halinde. Ekleme açısından 'sonsuz' da böyle olanak halinde

ταὐτὸ λέγομεν τρόπον τινὰ εἶναι τῷ κατὰ διαίρεσιν· ἀεὶ μὲν γάρ τι ἔξω ἔσται λαμβάνειν, οὐ μέντοι ὑπερβαλεῖ παντὸς μεγέθους, ὥσπερ ἐπὶ τὴν διαίρεσιν ὑπερβάλλει παντὸς ὡρισμένου καὶ ἀεὶ ἔσται ἔλαττον. ὥστε δὲ παντὸς ὑπερβάλλειν κατὰ τὴν πρόσθεσιν, οὐδὲ δυνάμει οἷόν τε εἶναι, εἴπερ μὴ ἔστι κατὰ συμβεβηκὸς ἐντελεχείᾳ ἄπειρον, ὥσπερ φασὶν οἱ φυσιολόγοι τὸ ἔξω σῶμα τοῦ κόσμου, οὗ ἡ οὐσία ἢ ἀὴρ ἢ ἄλλο τι τοιοῦτον, ἄπειρον εἶναι. ἀλλ' εἰ μὴ οἷόν τε εἶναι ἄπειρον ἐντελεχείᾳ σῶμα αἰσθητὸν οὕτω, φανερὸν ὅτι οὐδὲ δυνάμει ἂν εἴη κατὰ πρόσθεσιν, ἀλλ' ἢ ὥσπερ εἴρηται ἀντεστραμμένως τῇ διαιρέσει, ἐπεὶ καὶ Πλάτων διὰ τοῦτο δύο τὰ ἄπειρα ἐποίησεν, ὅτι καὶ ἐπὶ τὴν αὔξην δοκεῖ ὑπερβάλλειν καὶ εἰς ἄπειρον ἰέναι καὶ ἐπὶ τὴν καθαίρεσιν. ποιήσας μέντοι δύο οὐ χρῆται· οὔτε γὰρ ἐν τοῖς ἀριθμοῖς τὸ ἐπὶ τὴν καθαίρεσιν ἄπειρον ὑπάρχει (ἡ γὰρ μονὰς ἐλάχιστον), οὔτε ⟨τὸ⟩ ἐπὶ τὴν αὔξην (μέχρι γὰρ δεκάδος ποιεῖ τὸν ἀριθμόν).

συμβαίνει δὲ τοὐναντίον εἶναι ἄπειρον ἢ ὡς λέγουσιν. 207[a] οὐ γὰρ οὗ μηδὲν ἔξω, ἀλλ' οὗ ἀεί τι ἔξω ἐστί, τοῦτο ἄπειρόν ἐστιν. σημεῖον δέ· καὶ γὰρ τοὺς δακτυλίους ἀπείρους λέγουσι τοὺς μὴ ἔχοντας σφενδόνην, ὅτι αἰεί τι ἔξω ἔστι λαμβάνειν, καθ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μέντοι κυρίως· δεῖ γὰρ τοῦτό τε ὑπάρχειν καὶ μηδέ ποτε τὸ αὐτὸ λαμβάνεσθαι· ἐν δὲ τῷ κύκλῳ οὐ γίγνεται οὕτως, ἀλλ' αἰεὶ τὸ ἐφεξῆς μόνον ἕτερον. ἄπειρον μὲν οὖν ἐστιν οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν αἰεί τι λαμβάνειν ἔστιν ἔξω. οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον· οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηδὲν ἄπεστιν, οἷον ἄνθρωπον ὅλον ἢ κιβώτιον. ὥσπερ δὲ

[b] 17 εἶναι τρόπον τινὰ F 18 τι EPS : τι αὐτοῦ Λ ἐστὶ F ὑπερβάλλει ΛP 19 παντὸς EPST : παντὸς ὡρισμένου ΛV an ὑπερβαλεῖ? 20 ἀεὶ EV : om. Λ 21 τὴν om. F 22 ἔσται E 23 ὥς J[1] ἐξωθεν E 24 ἡ pr. et εἶναι om. FI 25 εἶναι ἄπειρον om. E 28 δύο τὰ ἄπειρα EPT : ἄπειρα δύο Λ καὶ om. F 29 καὶ alt. om. F 32 τὸ PST, Bywater : om. Π ἐπὶ] περὶ E γὰρ om. F 33 ἄπειρον εἶναι ST ἢ ΛPST : om. E 207[a] 3 τι FIPS : τι ἄλλο ET : om. J ἔξω λαμβάνειν ἐστι E : ἔστιν ἔξω λαμβάνειν IJ 7 οὖν τοῦτ' ἐστιν ΛP τὸ E[2]IJS : om. EIFPT 8 λαβεῖν E[2]ΛT : om. S οὗ πρὸς τὰ μέμη μηθὲν ἄπεστιν ἔξω I 10 ὅλον post κιβωτιον F κιβώτιον ΛST : κιβωτόν E δὲ om. F : δὲ καὶ E

var, bunun bir biçimde bölme açısından olanla aynı olduğunu ileri sürüyoruz, çünkü onun dışında hep bir şey almak olanaklı olacaktır, ama yine de her sınırlı nesnenin bölünme ile aşılması gibi ve hep daha küçük bir şeyin olması gibi, o her sınırlı büyüklüğü aşamayacaktır. Dolayısıyla 'sonsuz'un olanak halinde bile eklemeyle bütünü aşması olanaklı değil; 20
meğer ki tıpkı doğabilimcilerin tözü hava ya da böyle bir şey olan, evrenin dışındaki cismin sonsuz olduğunu ileri sürmeleri gibi 'sonsuz' ilineksel olarak gerçeklik halinde ola! Ne ki bu biçimde duyulur bir cismin gerçeklik halinde sonsuz olması olanaklı değilse şu açık: dediğimiz gibi 25
bölme ile olana karşıt biçimde değilse o, olanak halinde de ekleme yoluyla böyle olamaz. Platon da bu yüzden iki sonsuz kabul etti, çünkü hem ekleme hem de bölme açısından sonsuza gidilirmiş gibi görünüyor. Ne var ki, o iki sonsuz kabul ettiği halde bunları kullanmıyor: nitekim ona göre 30
sayılarda ne bölme açısından sonsuz sözkonusu (çünkü '1' en küçük) ne de ekleme açısından (çünkü sayıyı '10'a kadar kabul ediyor).

Ne ki 'sonsuz'un [doğabilimcilerinin] dediklerinin tam tersi olması sözkonusu. Çünkü 'sonsuz', kendisinin dışında birşey olmayan şey de- 207a
mek, kendisinin dışında hep bir şeyi olan bir şey. Kanıtı şu: bir taşı olmayan yüzüklere de sonsuz denir, çünkü alınan nokta dışında hep yeni bir nokta almak olanaklı - gerçi burada asıl anlamda değil, bir benzetme açısından böyle denir. Nitekim sonsuzda bu özelliğin bulunması gerekir 5
ama aynı nokta da hiçbir zaman alınmamalıdır. Oysa çemberde böyle olmuyor, yalnızca bir sonra gelen hep değişik oluyor. Demek ki 'sonsuz', kendi dışında nicelik açısından hep bir şey alınabilen bir şey. Kendi dışında hiçbirşey[i] olmayan nesne ise 'tanrı', 'bütün'. Nitekim 'bütün'ü hiç eksiği olmayan nesne diye tanımlıyoruz: sözgelişi 'insan' ya da 'atlık' bir bütün. Tek tek durumda nasılsa asıl anlamda da öyle: 10

6. 206b 16 — 7. 207b 2

τὸ καθ' ἕκαστον, οὕτω καὶ τὸ κυρίως, οἷον τὸ ὅλον οὗ μηδὲν ἐστιν ἔξω· οὗ δ' ἔστιν ἀπουσία ἔξω, οὐ πᾶν, ὅ τι ἂν ἀπῇ. ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν. τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος· τὸ δὲ τέλος πέρας. διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι, "μεσσόθεν ἰσοπαλές". οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστὶν τῷ ἅπαντι καὶ ὅλῳ τὸ ἄπειρον, ἐπεὶ ἐντεῦθέν γε λαμβάνουσι τὴν σεμνότητα κατὰ τοῦ ἀπείρου, τὸ πάντα περιέχειν καὶ τὸ πᾶν ἐν ἑαυτῷ ἔχειν, διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ ὅλῳ. ἔστι γὰρ τὸ ἄπειρον τῆς τοῦ μεγέθους τελειότητος ὕλη καὶ τὸ δυνάμει ὅλον, ἐντελεχείᾳ δ' οὔ, διαιρετὸν δ' ἐπί τε τὴν καθαίρεσιν καὶ τὴν ἀντεστραμμένην πρόσθεσιν, ὅλον δὲ καὶ πεπερασμένον οὐ καθ' αὑτὸ ἀλλὰ κατ' ἄλλο· καὶ οὐ περιέχει ἀλλὰ περιέχεται, ᾗ ἄπειρον. διὸ καὶ ἄγνωστον ᾗ ἄπειρον· εἶδος γὰρ οὐκ ἔχει ἡ ὕλη. ὥστε φανερὸν ὅτι μᾶλλον ἐν μορίου λόγῳ τὸ ἄπειρον ἢ ἐν ὅλου· μόριον γὰρ ἡ ὕλη τοῦ ὅλου ὥσπερ ὁ χαλκὸς τοῦ χαλκοῦ ἀνδριάντος, ἐπεὶ εἴ γε περιέχει ἐν τοῖς αἰσθητοῖς, καὶ ἐν τοῖς νοητοῖς τὸ μέγα καὶ τὸ μικρὸν ἕδει περιέχειν τὰ νοητά. ἄτοπον δὲ καὶ ἀδύνατον τὸ ἄγνωστον καὶ ἀόριστον περιέχειν καὶ ὁρίζειν.

7 Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν μὲν μὴ εἶναι δοκεῖν ἄπειρον οὕτως ὥστε παντὸς ὑπερβάλλειν μεγέθους, ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι (περιέχεται γὰρ ἡ ὕλη ἐντὸς καὶ τὸ ἄπειρον, περιέχει δὲ τὸ εἶδος)· εὐλόγως δὲ καὶ τὸ ἐν μὲν τῷ ἀριθμῷ εἶναι ἐπὶ μὲν τὸ ἐλάχιστον πέρας ἐπὶ δὲ

[a] 12 ὅ τι E 13 τὸ ὅλον ΛST ἢ alt.] ἢ τὸ E 14 φύσιν] φύσιν ἐστίν Λ 16 τὸ ἄπειρον ΠS : ἄπειρον τὸ Bonitz et fort. PT 17 συνάπτειν ἐστὶ EPS : ἐστι συνάπτειν Λ 18 γε] δὴ I 19 σεμνότητα fecit E πᾶν E² περιέχειν ET : περιέχον Λ 20 καὶ . . . ἑαυτῷ ΛT : om. EV ἔχειν T, Bonitz : ἔχον Λ : om. EV 21 τοῦ sup. lin. E¹ 22 ὕλη ΠRT : ἡ ὕλη S διαιρετὸν . . . 24 ἄλλο ΠPST : secl. Stölzle 23 ἀνεστραμμένην E¹ 25 οὐ . . . περιέχεται FJ²VPST : οὐχ ὑπερέχει ἀλλὰ ὑπερέχεται EIJ¹ 26 ᾗ ἄπειρον EIJP : om. FT 27 ὅλῳ EF¹ 29 περιέχει ΛPPT : περιέχοι E ἐν alt. om. I 31 τὸ om. E καὶ alt. EP : καὶ τὸ ΛS 33 μέν] ὡς F 34 οὕτως ἄπειρον F 35 ἡ ES : ὡς ἡ Λ [b] 1 καὶ pr. ΛV : om. E 2 ἐν EI μὲν ΛPST : om. E μὲν om. ΛP¹T

yani 'bütün', kendisi dışında birşeyi olmayan nesne. Oysa eksiği dışarda olan şey 'tüm' değil, bir eksiği olan şey. 'Bütün' ile 'tam' ise ya hepten ayrı şey ya da doğaca bir benzerlik taşıyorlar. Sonu olmayan hiçbir nesne 'tam' değil, son ise sınır. Bunun için Parmenides'in Melissos'tan daha yerinde konuştuğuna inanmak gerekiyor, çünkü beriki "sonsuz bütündür" diyor, öteki ise "bütün sınırlamaktır, o [sonsuz], merkezden eş uzaklıkta olandır" diyor. nitekim adım adım gitmek 'hepsinde' ve 'bütünde' sonsuza yaklaşmak demek değil. Çünkü bunlar 'sonsuz'a 'bütün' ile bir benzerlik taşımasından ötürü "herşeyi saran, herşeyi kendinde tayan" özelliğini yüklüyorlar. Aslında 'sonsuz', büyüklüğün tamamlanması için madde; gerçeklik halinde değil, olanak halinde bütün; ayırma açısından bölünebilir ve tersine ekleme açısından [eklenebilir]; 'kendinde', 'kendi başına' değil, bir başka nesne açısından bütün ve sınırlı. 'Sonsuz' sonsuz olarak sarmaz ama sarılır. Bunun için sonsuz olarak sonsuz bilinir bir şey değil, nitekim o madde, biçim taşımıyor. Dolayısıyla 'sonsuz', 'bütün'den çok 'parça' kavramı içinde, bu açık: çünkü bronzun bronz heykelin parçası olması gibi madde bütünün parçası. Duyulur nesnelerde sarıcı-kapsayıcı olsaydı, düşünülür nesnelerde de 'büyük ile küçük'ün *düşünülür nesneleri sarması, kapsaması gerekirdi.* Oysa bilinmeyen ve belirsiz bir şeyin kapsaması ve belirlemesi, sınırlandırması hem garip hem olanaksız.

7 Demek ekleme açısından her büyüklüğü aşacak sonsuz bir şeyin olmadığı, bölme açısından ise olduğu görüşü akla uygun (nitekim madde ve 'sonsuz' kapsanır, sarılır, saran da biçim (eidos)). Yine şu da akla yatkın: sayıda en küçük açısından bir sınır var, oysa büyüğe gidildikçe her çokluk hep aşılıyor, ama büyüklüklerde

τὸ πλεῖον ἀεὶ παντὸς ὑπερβάλλειν πλήθους, ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον ἐπὶ μὲν τὸ ἔλαττον παντὸς ὑπερβάλλειν μεγέθους ἐπὶ δὲ τὸ μεῖζον μὴ εἶναι μέγεθος ἄπειρον. αἴτιον δ' ὅτι τὸ ἓν ἐστιν ἀδιαίρετον, ὅ τι περ ἂν ἓν ᾖ (οἷον ἄνθρωπος εἷς ἄνθρωπος καὶ οὐ πολλοί), ὁ δ' ἀριθμός ἐστιν ἕνα πλείω καὶ πόσ' ἄττα, ὥστ' ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον (τὸ γὰρ τρία καὶ δύο παρώνυμα ὀνόματά ἐστιν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἀριθμῶν ἕκαστος), ἐπὶ δὲ τὸ πλεῖον ἀεὶ ἔστι νοῆσαι· ἄπειροι γὰρ αἱ διχοτομίαι τοῦ μεγέθους. ὥστε δυνάμει μὲν ἔστιν, ἐνεργείᾳ δ' οὔ· ἀλλ' ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον παντὸς ὡρισμένου πλήθους. ἀλλ' οὐ χωριστὸς ὁ ἀριθμὸς οὗτος [τῆς διχοτομίας], οὐδὲ μένει ἡ ἀπειρία ἀλλὰ γίγνεται, ὥσπερ καὶ ὁ χρόνος καὶ ὁ ἀριθμὸς τοῦ χρόνου. ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον ἐστί· διαιρεῖται μὲν γὰρ εἰς ἄπειρα τὸ συνεχές, ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστιν ἄπειρον. ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοσοῦτον εἶναι. ὥστε ἐπεὶ ἄπειρον οὐδέν ἐστι μέγεθος αἰσθητόν, οὐκ ἐνδέχεται παντὸς ὑπερβολὴν εἶναι ὡρισμένου μεγέθους· εἴη γὰρ ἄν τι τοῦ οὐρανοῦ μεῖζον. τὸ δ' ἄπειρον οὐ ταὐτὸν ἐν μεγέθει καὶ κινήσει καὶ χρόνῳ, ὡς μία τις φύσις, ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον, οἷον κίνησις μὲν ὅτι τὸ μέγεθος ἐφ' οὗ κινεῖται ἢ ἀλλοιοῦται ἢ αὐξάνεται, ὁ χρόνος δὲ διὰ τὴν κίνησιν. νῦν μὲν οὖν χρώμεθα τούτοις, ὕστερον δὲ ἐροῦμεν καὶ τί ἐστιν ἕκαστον, καὶ διότι πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν.

οὐκ ἀφαιρεῖται δ' ὁ λόγος οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν, ἀναιρῶν οὕτως εἶναι ἄπειρον

207^{b} 21–5 = 1067^{a} 33–7

---

^{b} 3 τὸ πλεῖον EFT : τὸ πλείω J : τὰ πλείω I πάντως J δὲ om. F 4 ἐλάχιστον F 6 περ ΛP : om. E ἓν fecit E^{1} 7 εἷς ἄνθρωπος om. I εἶναι E^{1}FS : ἑνὸς IJP et fecit E 8 τὸ alt. ET : τὰ ΛPS τρία καὶ δύο EPS : δύο καὶ τρία ΛVT 9 παρώνυμα E^{2}ΛPS : om. E^{1} 10 ἐπὶ ΛP : ἐπει E 13 πλήθους] μεγέθους I οὗτος ὁ ἀριθμὸς IJPS 14 τῆς διχοτομίας seclusi, om. PS : τοῦ τῆς διχοτομίας E : ταύτης διχοτομίας V ἀλλὰ] ἀλλ' ἀεὶ VPS 18 εἶναι τοσοῦτον F 20 τις J 21 τὸ δ' E^{2}ΛMPS : δὲ το E^{1} κινήσει καὶ μεγέθει F 23 τό om. J^{1} τὸ E^{1}VS : πρότερον E^{2}Λ 26 ἐροῦμεν EV et ut vid. T : πειρασόμεθα λέγειν Λ τί ἐστιν ΛS : ὅτι E 28 μαθητικοὺς E an ⟨τὸ⟩ οὕτως ? οὕτως εἶναι FIP : μὴ εἶναι οὕτως EV : οὕτω μὴ εἶναι J ἄπειρον] τὸ ἄπειρον FIT : τι ἄπειρον P

tam tersi: daha küçüğe gidildikçe [bölünmeyen] büyüklük yok. Nedeni de şu: bir olan şey ne olursa olsun, sayısal birlik bölünmez (sözgelişi bir insan çok değil, tek insandır). Sayı ise 'birliklerin çokluğu' ve belli bir nicelik, dolayısıyla onun bölünmeze dayanması zorunlu (nitekim 'üç', 'iki' türeme (birden türeme) adlardır, öteki sayıların herbiri de öyle). Ne ki daha çoğa gittikçe sonsuzu düşünmek olanaklı, çünkü büyüklüğün ikiye ayrılması sonsuz.[24] Öyleyse sayı etkinlik halinde değil, olanak halinde sonsuz. Ama alınan bir sayı belli her çokluğu hep aşar, yine de bu sayı, <ikiye bölmeden> ayrılamaz ve sonsuzluk tıpkı zaman ve zamandaki sayı gibi kalıcı değildir, hep oladurur. Büyüklüklerde ise tersi, çünkü 'sürekli', sonsuza bölünebilir, ama daha büyüğe gittikçe sonsuz yok. Çünkü bir nesne olanak halinde ne kadarsa etkinlik halinde de o kadardır, olası olan bu. Dolayısıyla, değil mi ki duyulur hiçbir büyüklük sonsuz değil, her belli büyüklüğü aşmak da olası değil, nitekim bu durumda gökyüzünden daha büyük bir şey olabilirdi. İmdi 'sonsuz'; büyüklükte, devinimde ve zamanda sanki tek bir doğa gibi aynı değil, ama tıpkı 'daha sonra'nın 'daha önce'ye göre söylenmesi gibi. Sözgelişi sonsuz devinimden sözedilir, çünkü devinmenin, nitelik değiştirmenin, büyümenin gerçekleştiği büyüklük sonsuz. Zaman da devinimden ötürü sonsuz. Şu anda bunları kullanıyoruz, ama bunların herbirinin ne olduğunu ve niçin her büyüklüğün [yeniden] büyüklüklere bölündüğünü ilerde söyleyeceğiz.

Ne ki, bizim temellendirmemiz büyüme açısından etkinlik halinde sürüp gidecek 'sonsuz'u ortadan kaldırmakla matematikçilerin

7. 207ᵇ 3 — 8. 208ᵃ 18

ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξησιν ἀδιεξίτητον· οὐδὲ γὰρ νῦν δέονται τοῦ ἀπείρου (οὐ γὰρ χρῶνται), ἀλλὰ μόνον εἶναι ὅσην ἂν βούλωνται πεπερασμένην· τῷ δὲ μεγίστῳ μεγέθει τὸν αὐτὸν ἔστι τετμῆσθαι λόγον ὁπηλικονοῦν μέγεθος ἕτερον. ὥστε πρὸς μὲν τὸ δεῖξαι ἐκείνοις οὐδὲν διοίσει τὸ [δ'] εἶναι ἐν τοῖς οὖσιν μεγέθεσιν.

ἐπεὶ δὲ τὰ αἴτια διῄρηται τετραχῶς, φανερὸν ὅτι ὡς ὕλη τὸ ἄπειρον αἴτιόν ἐστι, καὶ ὅτι τὸ μὲν εἶναι αὐτῷ στέρησις, τὸ δὲ καθ' αὑτὸ ὑποκείμενον τὸ συνεχὲς καὶ αἰσθητόν. φαίνονται δὲ πάντες καὶ οἱ ἄλλοι ὡς ὕλῃ χρώμενοι τῷ ἀπείρῳ· διὸ καὶ ἄτοπον τὸ περιέχον ποιεῖν αὐτὸ ἀλλὰ μὴ περιεχόμενον.

8 Λοιπὸν δ' ἐπελθεῖν καθ' οὓς λόγους τὸ ἄπειρον εἶναι δοκεῖ οὐ μόνον δυνάμει ἀλλ' ὡς ἀφωρισμένον· τὰ μὲν γάρ ἐστιν αὐτῶν οὐκ ἀναγκαῖα, τὰ δ' ἔχει τινὰς ἑτέρας ἀληθεῖς ἀπαντήσεις. οὔτε γὰρ ἵνα ἡ γένεσις μὴ ἐπιλείπῃ, ἀναγκαῖον ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα αἰσθητόν· ἐνδέχεται γὰρ τὴν θατέρου φθορὰν θατέρου εἶναι γένεσιν, πεπερασμένου ὄντος τοῦ παντός. ἔτι τὸ ἅπτεσθαι καὶ τὸ πεπεράνθαι ἕτερον. τὸ μὲν γὰρ πρός τι καὶ τινός (ἅπτεται γὰρ πᾶν τινός), καὶ τῶν πεπερασμένων τινὶ συμβέβηκεν, τὸ δὲ πεπερασμένον οὐ πρός τι· οὐδ' ἅψασθαι τῷ τυχόντι τοῦ τυχόντος ἔστιν. τὸ δὲ τῇ νοήσει πιστεύειν ἄτοπον· οὐ γὰρ ἐπὶ τοῦ πράγματος ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἀλλ' ἐπὶ τῆς νοήσεως. ἕκαστον γὰρ ἡμῶν νοήσειέν ἄν τις πολλαπλάσιον ἑαυτοῦ αὔξων εἰς ἄπειρον· ἀλλ' οὐ διὰ τοῦτο ἔξω [τοῦ ἀστεός] τίς ἐστιν [ἡ] τοῦ τηλικούτου μεγέθους

ᵇ 29 αὔξησιν EPT : αὔξην Λ ἀδιεξίτητον EF²JT : ὡς ἀδιεξίτητον F¹IVP 30 οὐ γὰρ EV et fort. ST : οὐδὲ F : οὐδὲ γὰρ IJ 31 βούλονται J πεπερασμένην ΛP : τὴν πεπερασμένην E 33 ἐκείνοις EV : ἐκείνως ΛP δ' seclusi : habent ΠPS 34 οὖσιν E, litteris tribus deletis sequentibus : οὐσιν ἔστι FP : οὖσιν ἔσται IJS μεγέθεσιν ΛPS : μεγέθεσιν οὐδέν ἐστιν ἀναγκαῖον EV, ἐστιν quidem corr. in E 35 ὅτι] τι E ἐστιν αἴτιον Bekker 208ᵃ 1 αὐτῶν E στέρησίς ἐστι τὸ ΛP 3 καὶ om. E 4 μὴ] μὴ τὸ ΛS 5 δ'] δεῖ VP 6 ἀφωρισμένον ΛVPT : ἀφωρισμένον ἐπελθεῖν E 7 ἕτερας ἀληθεῖς EP : ἀληθεῖς ἑτέρας Λ : ἀληθεῖς T 8 ἡ ΛPT : fecit E ἐπιλείποι ἀνάγκη E 10 γένεσιν θατέρου εἶναι Λ τοῦ om. F 12 τινός pr. ΛP : τινὸς ἅπτεται E κἂν τῶν F 14 δὲ ΛPS : δὲ ἐπὶ E 16 ἂν ἡμῶν νοήσειε Λ 17 ἑαυτοῦ om. E 18 τοῦ ἄστεος ΠPST : του ἀστέος γρ. Eudemus : om. γρ. P, Diels τί JS ἡ ΠPST : om. γρ. P, Diels τηλικούτου E¹PS : τηλικοῦδε E²Λ

araştırmalarını da boşa çıkarmış olmuyor, çünkü onların sonsuza gerek-
sinimleri yok (zaten onu kullanmıyorlar da), gereksindikleri yalnızca sı- 30
nırları olsa bile istedikleri kadar nicelik. En büyük kütlenin bölünme yo-
lu, her ne olursa olsun, başka bir büyüklüğün bölünme yoluyla aynı.
Dolayısıyla onların kanıtlamaları açısından [sonsuzun] varolan büyüklük-
lerde [etkinlik halinde] varolması hiç de önemli değil.

Öte yandan nedenleri dörde ayırmıştık: 'sonsuz', madde olarak ne-
den; onun varlığı yoksunluk, oysa 'kendinde taşıyıcı' sürekli ve duyulur 35
bir şey, bu açık. Öyle görünüyor ki bütün öteki düşünürler de 'sonsuz'u 208a
bir madde olarak kullanıyor. Bunun için onu 'sarılan' değil, 'saran' bir
şey olarak anlamak garip.

8 Şimdi geri kalan, 'sonsuz'un yalnızca olanak halinde değil aynı za- 5
manda belirli bir nesne gibi de düşünülebileceği temellendirmeleri üzerin-
de durmak. Bu temellendirmelerin bazıları bağlayıcı değil, bazıları da ken-
di paylarına değişik doğruluklar taşıyor. Nitekim oluş sona ermesin diye
sonsuz duyulur bir cismin etkinlik halinde varolması zorunlu değil, çünkü
herşey sınırlı olmasına karşın bir nesnenin yokoluşunun bir başka nesne- 10
nin varoluşu olması olası. Ayrıca bitişik olmak ile sınırlı olmak değişik şey.
Nitekim ilki 'bir şeye göre' ve 'bir şey ile' (çünkü bitişik olan her şey 'bir
şeyle' temas eder) ve 'sınırlı olan' bir nesne ile sözkonusu. Oysa 'sınırlı
olan', bir şeyle ilgili (bir şeye göre) değil. Rastgele bir nesnenin rastgele bir
nesneyle bitişik olması da olanaklı değil. Düşünceye güvenmek de garip,
çünkü aşırılık (üst sonsuzluk) ile eksiklik (alt sonsuzluk) nesnelerde değil, 15
düşüncede var. Nitekim içimizden herbiri kendisini katlayarak sonsuza de-
ğin büyütmeyi düşünebilir. Ne ki bu yüzden, yani sırf düşünüyor diye, bizim
taşıdığımız büyüklükten[25] öte büyüklükteyiz demek değildir bu. Gerçekten

ὃ ἔχομεν, ὅτι νοεῖ τις, ἀλλ' ὅτι ἔστι· τοῦτο δὲ συμβέβηκεν. ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἄπειρά ἐστι καὶ ἡ νόησις οὐχ ὑπομένοντος τοῦ λαμβανομένου. μέγεθος δὲ οὔτε τῇ καθαιρέσει οὔτε τῇ νοητικῇ αὐξήσει ἔστιν ἄπειρον. ἀλλὰ περὶ μὲν τοῦ ἀπείρου, πῶς ἔστι καὶ πῶς οὐκ ἔστι καὶ τί ἐστιν, εἴρηται.

Δ

Ὁμοίως δ' ἀνάγκη καὶ περὶ τόπου τὸν φυσικὸν ὥσπερ καὶ περὶ ἀπείρου γνωρίζειν, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἔστι, καὶ τί ἐστιν. τά τε γὰρ ὄντα πάντες ὑπολαμβάνουσιν εἶναί που (τὸ γὰρ μὴ ὂν οὐδαμοῦ εἶναι· ποῦ γάρ ἐστι τραγέλαφος ἢ σφίγξ;) καὶ τῆς κινήσεως ἡ κοινὴ μάλιστα καὶ κυριωτάτη κατὰ τόπον ἐστίν, ἣν καλοῦμεν φοράν.

ἔχει δὲ πολλὰς ἀπορίας τί ποτ' ἐστὶν ὁ τόπος· οὐ γὰρ ταὐτὸν φαίνεται θεωροῦσιν ἐξ ἁπάντων τῶν ὑπαρχόντων. ἔτι δ' οὐδ' ἔχομεν οὐδὲν παρὰ τῶν ἄλλων οὔτε προηπορημένον οὔτε προηυπορημένον περὶ
208b 1 αὐτοῦ.

ὅτι μὲν οὖν ἔστιν ὁ τόπος, δοκεῖ δῆλον εἶναι ἐκ τῆς ἀντιμεταστάσεως· ὅπου γὰρ ἔστι νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου πάλιν ἀὴρ ἔνεστιν, ὁτὲ δὲ τὸν αὐτὸν τόπον τοῦτον ἄλλο τι τῶν σωμάτων κατέχει· τοῦτο δὴ τῶν ἐγγιγνομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ· ἐν ᾧ γὰρ ἀὴρ ἔστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν, ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν, εἰς ἣν καὶ ἐξ ἧς μετέβαλον. ἔτι δὲ αἱ φοραὶ τῶν φυσικῶν σωμάτων καὶ ἁπλῶν, οἷον πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων, οὐ μόνον δηλοῦσιν ὅτι ἐστί τι ὁ τόπος, ἀλλ' ὅτι καὶ ἔχει τινὰ

[a] 21 ὑπαλαμβανομένου J 22 νοητῇ F ἄπειρον ΛP: om. E 23 τοῦ om. E

Tit. φυσικῆς ἀκροάσεως δ. περὶ τόπου καὶ περὶ κενοῦ E: φυσικῶν δ GI 27 περὶ EFJPS: περὶ τοῦ GI 29 πάντα T 30 μὴ] τὸ μὴ E μηδαμοῦ F 31 κοινὴ ΠS: πρώτη Eudemus γρ. S: κοινὴ καὶ πρώτη γρ. S καὶ om. F 33 τὰ αὐτὰ I [b] 1 ἔστιν ΛPST: ἐστί τι EV 3 ἀὴρ ΛPT: ἀὴρ ἐκεῖ E ὁτὲ scripsi, legit ut vid. P: ὅτε Π 4 τοῦτον τόπον I: τόπον FT κατέχει om. E δὴ EP: δὲ ΛV 5 πάντως I 6 ἐν τούτῳ πρότερον ὕδωρ F 8 μετέβαλλον IJ: μετέβαλε S δὲ] δὲ καὶ I: om. S φοραὶ FI]^{1}PS: διαφοραὶ EGJ^{1} 10 τις G ὅτι καὶ] καὶ ὅτι F: ὃ καὶ G

öyle olursa öyle olur. Bu da ilineksel. Ama zaman ve devinim sonsuzdur, düşünce de; çünkü bunlarda alınan parça kalıcılık taşımaz. Büyüklük ise ne bölme ne de düşünce ile artırma açısından sonsuz. 'Sonsuz' üzerine, ne anlamda var ne anlamda yok, 'sonsuz' ne, bunları söylemiş olduk.

Dördüncü Kitap

1 Doğabilimci 'sonsuz' üzerine olduğu gibi aynı biçimde 'yer' üzerine de bilgi edinmeli: var mı yok mu, nasıl var, ne? Nitekim herkes varolanların bir yerde varolduğunu kabul ediyor ('varolmayan' hiçbir yerde yok; keçigeyik ya da sphinks nerede?). Üstelik "yer değiştirme" adını verdiğimiz en genel ve en başta gelen devinim 'yere göre, yer açısından' devinim.

Ne ki, yerin ne olduğu sorusu birçok güçlük taşıyor, çünkü bütün özellikleriyle bakıldıkta [yer] hiç de aynı şey olarak görünmüyor. Ayrıca öteki düşünürlerde bu konuda ne iyi sorulmuş bir soru ne de iyi verilmiş bir yanıt buluyoruz. 208b

İmdi yerin varolduğu, [cisimlerin] birbirinin yerini almasından belli diye düşünülüyor. Nitekim şimdi suyun bulunduğu yerde, sözgelişi su bir kaptan döküldüğünde hava var, bu durumda aynı yeri başka bir cisim dolduruyor. Yer ise içinde oluşan ve değişen her şeyden değişik bir şey olarak görünüyor. Çünkü şimdi hava olan yerde daha önce su vardı; dolayısıyla şu açık: yer, herhangi bir şey; değişmenin ona doğru ve ondan olduğu uzam heriki nesneden değişik bir şey. Yine doğal cisimlerin ve ateş, toprak, bu gibi yalın cisimlerin yer değiştirmesi de yalnızca 'yer' diye bir şeyin varolduğunu değil, yerin belli bir güç, olanak taşıdığını da gösteriyor,

8. 208ª 19 — 1. 209ª 2

δύναμιν. φέρεται γὰρ ἕκαστον εἰς τὸν αὑτοῦ τόπον μὴ κωλυόμενον, τὸ μὲν ἄνω τὸ δὲ κάτω· ταῦτα δ' ἐστὶ τόπου μέρη καὶ εἴδη, τό τε ἄνω καὶ τὸ κάτω καὶ αἱ λοιπαὶ τῶν ἓξ διαστάσεων. ἔστι δὲ τὰ τοιαῦτα οὐ μόνον πρὸς ἡμᾶς, τὸ ἄνω καὶ κάτω καὶ δεξιὸν καὶ ἀριστερόν· ἡμῖν μὲν γὰρ οὐκ ἀεὶ τὸ αὐτό, ἀλλὰ κατὰ τὴν θέσιν, ὅπως ἂν στραφῶμεν, γίγνεται (διὸ καὶ ταὐτὸ πολλάκις δεξιὸν καὶ ἀριστερὸν καὶ ἄνω καὶ κάτω καὶ πρόσθεν καὶ ὄπισθεν), ἐν δὲ τῇ φύσει διώρισται χωρὶς ἕκαστον. οὐ γὰρ ὃ τι ἔτυχέν ἐστι τὸ ἄνω, ἀλλ' ὅπου φέρεται τὸ πῦρ καὶ τὸ κοῦφον· ὁμοίως δὲ καὶ τὸ κάτω οὐχ ὅ τι ἔτυχεν, ἀλλ' ὅπου τὰ ἔχοντα βάρος καὶ τὰ γεηρά, ὡς οὐ τῇ θέσει διαφέροντα μόνον ἀλλὰ καὶ τῇ δυνάμει. δηλοῖ δὲ καὶ τὰ μαθηματικά· οὐκ ὄντα γὰρ ἐν τόπῳ ὅμως κατὰ τὴν θέσιν τὴν πρὸς ἡμᾶς ἔχει δεξιὰ καὶ ἀριστερὰ ὡς τὰ μόνον λεγόμενα διὰ θέσιν, οὐκ ἔχοντα φύσει τούτων ἕκαστον. ἔτι οἱ τὸ κενὸν φάσκοντες εἶναι τόπον λέγουσιν· τὸ γὰρ κενὸν τόπος ἂν εἴη ἐστερημένος σώματος. 27

ὅτι μὲν οὖν ἐστί τι ὁ τό- 27

πος παρὰ τὰ σώματα, καὶ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, διὰ τούτων ἄν τις ὑπολάβοι· δόξειε δ' ἂν καὶ Ἡσίοδος ὀρθῶς λέγειν ποιήσας πρῶτον τὸ χάος. · λέγει γοῦν "πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύστερνος," ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν, ὥσπερ οἱ πολλοί, πάντα εἶναί που καὶ ἐν τόπῳ. εἰ δ' ἐστὶ τοιοῦτο, θαυμαστή τις ἂν εἴη ἡ τοῦ τόπου δύναμις καὶ πρότερα πάντων· οὗ γὰρ ἄνευ τῶν ἄλλων οὐδὲν ἔστιν, ἐκεῖνο δ' ἄνευ τῶν ἄλλων, ἀνάγκη πρῶτον εἶναι· οὐ γὰρ ἀπόλλυται ὁ τόπος τῶν ἐν αὐτῷ φθειρομένων. 209ª 2

οὐ μὴν ἀλλ' ἔχει γε ἀπο- 2

[h] 11 *δύναμιν ὁ τόπος. φέρεται* GIJ *αὐτὸν* F 13 *τε* et *τὸ* E^2ΛS : om. E^1T 14–15 *ἄνω . . . ἀριστερόν* EPT : *δεξιὸν καὶ τὸ ἀριστερὸν καὶ τὸ ἄνω καὶ τὸ κάτω* ΛV 15 *μὲν* et 16 *τὴν* om. F 17 *καὶ* pr. om. Λ *ἀριστερὸν ἐστι καὶ* Λ 18 *τῇ δὲ* E 19 *ἑκάτερον* F^1 *ἐστι τὸ ἄνω* EGJP : *τὸ ἄνω ἐστὶν* FI 23 *μαθητικά* E 24 *τὴν* om. E *ὡς . . .* 25 *διὰ* S, Diels (*τὰ* om. Laas) : *ὥστε μόνον νοεῖσθαι αὐτῶν* (*αὐτῶν νοεῖσθαι* E) *τὴν* Π, ci. A, leg. ut vid. PT 25 *οὐκ ἔχοντα φύσει* ΛVS et ut vid. T : *ἀλλὰ μὴ ἔχειν φυσιν* E 28 *περὶ* FJ^2 30 *γοῦν*] *γὰρ* F : *μὲν οὖν* I : *μὲν* J 31 *γένοιτ'* F 33 *ἐστὶ* ΛP : *ἐστί τι* E 34 *ἡ* ΛPSΓ : om. E *πρότερα πάντων* ΠS : *πρώτη τῶν ἄλλων* P 35 *τῶν . . . ἔστιν*] *τῶν ἄλλων* E : *ἀδύνατόν τι τῶν ἄλλων εἶναι* FV *ἐκεῖνο . . .* 209ª 1 *ἄλλων* ΛV : om. E

çünkü her nesne engellenmedikçe kendi yerine gidiyor, kimi yukarı kimi aşağı. Bunlarsa yerin bölümleri ve türleri; yukarı, aşağı, altı durum içinde öteki geri kalanlar. Bunlar yalnızca bize göre yukarı, aşağı, sağ, sol değil [bizim için bunlar her zaman aynı değil, hangi yöne dönsek o duruma göre değişiyor,] (bunun için çoğu kez sağ, sol, yukarı, aşağı, ön, arka aynı da oluyor); doğada herbiri kendi başına belirlenmiş: 'yukarı' rastgele bir şey değil, alevin ve hafif olanın gittiği yer; aynı biçimde 'aşağı' da rastgele bir şey değil, ağırlık taşıyan ve topraktan olan şeylerin gittiği yer; dolayısıyla bu yerler yalnız durumca değil; olanak, güç açısından da farklı. Geometrik nesneler de bunu gösteriyor, onlar 'bir yerde' olmasa bile yine de bize göre durumları açısından onların bir sağı, solu var; çünkü bunların herbiri doğaca bu özellikleri taşıyor değil, yalnızca durumu yüzünden öyle adlandırılıyor. Öte yandan 'boşluk'un varolduğunu savunanlar yerin de varlığını ileri sürüyorlar demektir; çünkü 'boşluk', "cisimden yoksun olan yer" olsa gerek.

İmdi cisimlerin dışında 'yer' diye bir şeyin olduğu, her duyulur cismin bir yerde olduğu bunlardan çıkarılabilir. 'Khaos'u ilk nesne olarak kabul eden Hesiodos'un da doğru söylediği düşünülebilir. Şöyle diyor: "Her şeyden önce Khaos oluştu, ancak daha sonra geniş göğüslü toprak"[26]. Çünkü o çoğu kimse gibi her şeyin bir yerde, bir uzamın içinde olduğu inancından ötürü varolanlar için ilkin bir mekan olmasını gerekli görüyor. Böyle ise yerin gücü, olanağı harika, hayranlık verici ve her şeyden önce gelen bir şey olmalı. Çünkü öteki nesnelerden hiçbiri onsuz olamıyorsa, o ise öteki nesneler olmadan olabiliyorsa onun ilk olması zorunlu; nitekim yer yokolmuyor, oysa onun içindeki nesneler ortadan kalkıyor.

Ne ki yer varsa onun ne olduğu, acaba cisimsel bir büyüklük

ρίαν, εἰ ἔστι, τί ἐστι, πότερον ὄγκος τις σώματος ἢ τις ἑτέρα φύσις· ζητητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον. διαστήματα μὲν οὖν ἔχει τρία, μῆκος καὶ πλάτος καὶ βάθος, οἷς ὁρίζεται σῶμα πᾶν. ἀδύνατον δὲ σῶμα εἶναι τὸν τόπον· ἐν ταὐτῷ γὰρ ἂν εἴη δύο σώματα. ἔτι εἴπερ ἔστι σώματος τόπος καὶ χώρα, δῆλον ὅτι καὶ ἐπιφανείας καὶ τῶν λοιπῶν περάτων· ὁ γὰρ αὐτὸς ἁρμόσει λόγος· ὅπου γὰρ ἦν πρότερον τὰ τοῦ ὕδατος ἐπίπεδα, ἔσται πάλιν τὰ τοῦ ἀέρος. ἀλλὰ μὴν οὐδεμίαν διαφορὰν ἔχομεν στιγμῆς καὶ τόπου στιγμῆς, ὥστ' εἰ μηδὲ ταύτης ἑτερόν ἐστιν ὁ τόπος, οὐδὲ τῶν ἄλλων οὐδενός, οὐδ' ἐστί τι παρ' ἕκαστον τούτων ὁ τόπος. τί γὰρ ἄν ποτε καὶ θείημεν εἶναι τὸν τόπον; οὔτε γὰρ στοιχεῖον οὔτ' ἐκ στοιχείων οἷόν τε εἶναι τοιαύτην ἔχοντα φύσιν, οὔτε τῶν σωματικῶν οὔτε τῶν ἀσωμάτων· μέγεθος μὲν γὰρ ἔχει, σῶμα δ' οὐδέν· ἔστι δὲ τὰ μὲν τῶν αἰσθητῶν στοιχεῖα σώματα, ἐκ δὲ τῶν νοητῶν οὐδὲν γίγνεται μέγεθος. ἔτι δὲ καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν αἴτιον εἶναι τὸν τόπον; οὐδεμία γὰρ αὐτῷ ὑπάρχει αἰτία τῶν τεττάρων· οὔτε γὰρ ὡς ὕλη τῶν ὄντων (οὐδὲν γὰρ ἐξ αὐτοῦ συνέστηκεν) οὔτε ὡς εἶδος καὶ λόγος τῶν πραγμάτων οὔθ' ὡς τέλος, οὔτε κινεῖ τὰ ὄντα. ἔτι δὲ καὶ αὐτὸς εἰ ἔστι τι τῶν ὄντων, ποῦ ἔσται. ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινὰ λόγον· εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, δῆλον ὅτι καὶ τοῦ τόπου τόπος ἔσται, καὶ τοῦτο εἰς ἄπειρον. ἔτι ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ, οὕτω καὶ ἐν τόπῳ ἅπαντι σῶμα· πῶς οὖν ἐροῦμεν περὶ τῶν αὐξανομένων; ἀν-

209^a 3 τί ἐστι om. J^1 ὄγκος FGIP : γὰρ ὄγκος E : ἐστιν ὄγκος J τις pr. EFGP : τινος IJ 5 μήκους καὶ πλάτους καὶ βάθους EJ^{1}S : μῆκος καὶ βάθος καὶ πλάτος F : μῆκος πλάτος βάθος P 6 πᾶν ΛP : ἅπαν E τὸν τόπον εἶναι F 10 τοῦ pr. om. F 11 διαφορὰν οὐδεμίαν ἔχομεν GIJ : διαφορὰ οὐδὲ μία F 12 ἕτερον . . . τόπος EP : ἐστιν ὁ τόπος ἕτερον Λ 13 ἕκαστον] ἕτερον S 14 ποτε E^{2}ΛPS^c : om. E^{1}S^1 15 ἑκ E^{2}ΛPS : ἑκαστον E^1 εἶναι] εἶναι τὸν τόπον EIP 17 ἔτι E^{2}J δὲ sup lin. E^{1}J^1 αἰσθητῶν S : σωμάτων G in rasura, T : αἰσθ τῶν σωμάτων EFIJ 18 οὐδὲν EV στοιχειων οὐδὲν ΛPS 19 τὸν τόπον αἴτιον εἶναι F εἶναι om. S 20 αἰτία ὑπάρχει αὐτω Λ οὔτε . . . 21 ὄντων ΛV : om. E 21 οὐδὲν] οὐδὲ J : οὐ F^1 22 ὡς om. EV τὰ] τινα E^2 23 ἦ ΛPS : om. E εἰ E^{2}ΛPS : om. E^1 ἔστι τῶν ὄντων EIJPS^{c}T : τῶν ὄντων ἐστί S^1 ποῦ scripsi cum PST : ποῦ edd. 25 ἄπειρον EVPT : ἄπειρον πρόεισιν ΛS 26 ἔτι EGJVPS : ἔτι εἰ FI ἅπαν E^{2}ΛPS : πᾶν E^1 27 ἅπαντι E^{2}ΛP : παντὶ E^1 περὶ τῶν αὐξανομένων ἐροῦμεν S

mü yoksa başka bir doğa mı olduğu sorunu var; yani ilkin onun cinsini incelemek gerekiyor. İmdi onun üç boyutu var: her cismin onlarla belirlendiği uzunluk-genişlik-derinlik. Ama yerin bir cisim olması olanaksız, çünkü o zaman aynı [yerde] iki cisim olur. Yine bir cismin yeri ve uzamı varsa açık ki, yüzeyin de öteki sınırlamaların da olacaktır, çünkü aynı temellendirme geçerli olacak; önce suyun kapladığı yüzeyde sonra havanınki olacaktır; Ne var ki, bir nokta ile bir noktanın yeri arasında hiçbir ayırım yapamıyoruz; dolayısıyla noktanın yeri noktadan değişik bir şey değilse öteki nesnelerden hiçbirinin yeri de kendisinden değişik değildir; yer bu nesnelerin herbirinin dışında bir şey değildir. Nitekim acaba yerin ne olduğunu söyleyebiliriz? Öyle bir doğa taşıyor ki, ne bir öğe ne de cisimsel ya da cisimden bağımsız öğelerden oluşması olanaklı; bir büyüklüğü var ama hiçbir cisimsellik taşımıyor. Oysa duyulur nesnelerin öğeleri cisimsel; düşünülür cisimlerden ise hiçbir büyüklük oluşmaz. Ayrıca varolanlar için yer, neyin nedeni diye kabul edilebilir? Onda dört nedenden hiçbiri yok: ne varolanların maddesi olarak (çünkü hiçbir şey ondan kurulu değil) ne nesnelerin biçimi, kavramı olarak ne bir amaç olarak anlaşılabilir, varolanları da devindirmiyor. Yine kendisi bir varolan olsa bir yerde olacak: nitekim Zenon'un gösterdiği güçlük bir şey kurcalıyor: her varolan bir yerde ise açık ki, yerin de yeri olacaktır, bu da sonsuza dek gider. Dahası nasıl her cisim bir yerde ise aynı şekilde her yerde de bir cisim var. Büyüyen nesneler üzerine ne diyeceğiz? Nitekim

1. 209ª 3 — 2. 209ᵇ 21

ἀγκη γὰρ ἐκ τούτων συναύξεσθαι αὐτοῖς τὸν τόπον, εἰ μήτ' ἐλάττων μήτε μείζων ὁ τόπος ἑκάστου. διὰ μὲν οὖν τούτων οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν, ἀπορεῖν ἀναγκαῖον.

2 Ἐπεὶ δὲ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατ' ἄλλο λέγεται, καὶ τόπος ὁ μὲν κοινός, ἐν ᾧ ἅπαντα τὰ σώματά ἐστιν, ὁ δ' ἴδιος, ἐν ᾧ πρώτῳ (λέγω δὲ οἷον σὺ νῦν ἐν τῷ οὐρανῷ ὅτι ἐν τῷ ἀέρι οὗτος δ' ἐν τῷ οὐρανῷ, καὶ ἐν τῷ ἀέρι δὲ ὅτι ἐν τῇ γῇ, ὁμοίως δὲ καὶ ἐν ταύτῃ ὅτι ἐν τῷδε τῷ τόπῳ, ὃς περιέχει οὐδὲν πλέον ἢ σέ), εἰ δή ἐστιν ὁ τόπος τὸ πρῶτον περιέχον ἕκαστον τῶν σωμάτων, πέρας τι ἂν εἴη, ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου ὁ τόπος εἶναι, ᾧ ὁρίζεται τὸ μέγεθος καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους· τοῦτο γὰρ ἑκάστου πέρας. οὕτω μὲν οὖν σκοποῦσιν ὁ τόπος τὸ ἑκάστου εἶδός ἐστιν· ᾗ δὲ δοκεῖ ὁ τόπος εἶναι τὸ διάστημα τοῦ μεγέθους, ἡ ὕλη· τοῦτο γὰρ ἕτερον τοῦ μεγέθους, τοῦτο δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον, οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος, ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον· ὅταν γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην. διὸ καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν. ἄλλον δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. λέγουσι μὲν γὰρ πάντες εἶναί τι τὸν τόπον, τί δ' ἐστίν, οὗτος μόνος ἐπεχείρησεν εἰπεῖν.

εἰκότως δ' ἐκ τούτων σκοπουμένοις δόξειεν ἂν εἶναι χαλεπὸν γνωρίσαι τί ἐστιν ὁ τόπος, εἴπερ τούτων ὑποτερονοῦν ἐστίν, εἴτε ἡ ὕλη εἴτε τὸ εἶδος· ἄλλως τε γὰρ τὴν ἀκροτάτην ἔχει θέαν, καὶ χωρὶς ἀλλήλων οὐ ῥᾴδιον γνωρίζειν. ἀλλὰ μὴν ὅτι γε ἀδύνα-

ª 28 συναύξεσθαι ES : συναυξάνεσθαι Λ τὸν τόπον αὐτοῖς Λ 32 καὶ] καὶ ὁ G 33 πρώτως F δ' ὅτι οἷον E²IJ τῷ om. E¹ 34 δὲ om. FGIS ᵇ 1 ὅσπερ ἔχει G εἰ δή fecit E : εἰ δὲ P : εἴπερ T 2 ἕκαστον τῶν σωμάτων ΛPT : τῶν σωμάτων ἕκαστον E 4 ἡ alt. sup. lin. E¹ 6 τὸ ΛPS : om. ET 7 ἡ ὕλη] ταύτῃ ἡ ὕλη διήξει S 10 σφαίρας fecit E 11 καὶ pr. EJST : καὶ ὁ FGIP 12 φυσιν E² 14 ἐκεῖσε λέγων F λεγομένοις E²ΛP : om. E¹T 16 ἅπαντες E²AT τὸν ΛPT : om. E 19 ἡ om. FGJT 21 ῥᾴδιον EFIS : ῥᾴδιον αὐτὰ GP : ῥᾴδιον αὐτὴν J μὴν ΛVPST : μὴν καὶ E γε om. S

her nesnenin yeri o nesnenin kendisinden ne daha küçük ne de daha büyükse, nesnelerle birlikte yerlerin de büyümesi zorunlu olur. Demek ki, bunlar yüzünden [yerin] yalnız ne olduğunu değil, varolup varolmadığını da sormak zorunlu.

2 Ne ki belirlemeler 'kendinde' ve 'başka bir nesneye göre' sözkonusu: yer de böyle: bütün nesnelerin içinde bulunduğu genel, ortak yer (topos koinos); bir de doğrudan nesnenin bulunduğu özel yer (idios topos); (dediğim şu: sözgelişi sen şimdi gökyüzünde bulunuyorsun, çünkü havanın içindesin, hava gökyüzünün içinde; havanın içindesin, çünkü yeryüzünde bulunuyorsun; aynı şekilde yeryüzündesin, çünkü senden daha çok hiçbir şeyi sarmayan şu belli yerdesin). Yer her cismi ilk saran şeyse o bir sınır olsa gerek, dolayısıyla büyüklük ve büyüklüğün maddesi onunla belirlenen, sınırlanan yer herbir nesnenin biçimi ve şekli diye düşünülebilir, çünkü budur herbir nesnenin sınırı. Demek bu biçimde bakıldıkta yer, herbir nesnenin biçimi. Ne ki, büyüklüğün yerini doldurun şey olarak da düşünüldüğüne göre, yer 'madde' demektir; yani büyüklükten değişik bir şey, bu da bir yüzey, bir sınır çizgisi gibi, biçim tarafından sarılan, sınırlanan şey: 'madde', 'belirsiz olan' da böyle bir şey, nitekim bir küreden sınırı ve biçimsel özellikleri atıldıkta geri kalan maddenin dışında bir şey değil. Bunun için Platon da *Timaios*'ta maddenin ve uzamın aynı şey olduğunu söylüyor.[27] Çünkü şekil verilebilir/yoğrulabilir olanı ve uzamı bir ve aynı şey görüyor. Gerçi o burada, "Yazıya Dökülmemiş Görüşler"[28] deki 'şekil verilebilir olan'dan başka biçimde tanımlıyorsa da yine de yeri ve uzamı aynı şey diye kabul ediyor. Herkes yer diye bir şeyin olduğunu söylüyor ama "yer nedir?", bunu söylemeye çalışan yalnızca o.

Demek ki böyle bakıldıkta yer ne, bunlardan hangisi, yani madde mi yoksa biçim mi, bunu bilmek güç diye düşünülebilir, çünkü çok keskin bir bakış gerekiyor, [madde ile biçimi] birbirinden ayırmak kolay değil. Ne ki, yerin bunlardan biri olması olanaksız,

τον ὁποτερονοῦν τούτων εἶναι τὸν τόπον, οὐ χαλεπὸν ἰδεῖν. τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη οὐ χωρίζεται τοῦ πράγματος, τὸν δὲ τόπον ἐνδέχεται· ἐν ᾧ γὰρ ἀὴρ ἦν, ἐν τούτῳ πάλιν ὕδωρ, ὥσπερ ἔφαμεν, γίγνεται, ἀντιμεθισταμένων ἀλλήλοις τοῦ τε ὕδατος καὶ τοῦ ἀέρος, καὶ τῶν ἄλλων σωμάτων ὁμοίως, ὥστε οὔτε μόριον οὔθ' ἕξις ἀλλὰ χωριστὸς ὁ τόπος ἑκάστου ἐστί. καὶ γὰρ δοκεῖ τοιοῦτό τι εἶναι ὁ τόπος οἷον τὸ ἀγγεῖον (ἔστι γὰρ τὸ ἀγγεῖον τόπος μεταφορητός)· τὸ δ' ἀγγεῖον οὐδὲν τοῦ πράγματός ἐστιν. ἡ μὲν οὖν χωριστὸς [ἐστι] τοῦ πράγματος, ταύτῃ μὲν οὐκ ἔστι τὸ εἶδος· ᾗ δὲ περιέχει, ταύτῃ δ' ἕτερος τῆς ὕλης. δοκεῖ δὲ ἀεὶ τὸ ὄν που αὐτό τε εἶναί τι καὶ ἕτερόν τι ἐκτὸς αὐτοῦ. (Πλάτωνι μέντοι λεκτέον, εἰ δεῖ παρεκβάντας εἰπεῖν, διὰ τί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί, εἴπερ τὸ μεθεκτικὸν ὁ τόπος, εἴτε τοῦ μεγάλου καὶ τοῦ μικροῦ ὄντος τοῦ μεθεκτικοῦ εἴτε τῆς ὕλης, ὥσπερ ἐν τῷ Τιμαίῳ γέγραφεν.) ἔτι πῶς ἂν φέροιτο εἰς τὸν αὐτοῦ τόπον, εἰ ὁ τόπος ἡ ὕλη ἢ τὸ εἶδος; ἀδύνατον γὰρ οὗ μὴ κίνησις μηδὲ τὸ ἄνω ἢ κάτω ἐστί, τόπον εἶναι. ὥστε ζητητέος ἐν τοῖς τοιούτοις ὁ τόπος. εἰ δ' ἐν αὐτῷ ὁ τόπος (δεῖ γάρ, εἴπερ ἡ μορφὴ ἢ ὕλη), ἔσται ὁ τόπος ἐν τόπῳ· μεταβάλλει γὰρ ἅμα τῷ πράγματι καὶ κινεῖται καὶ τὸ εἶδος καὶ τὸ ἀόριστον, οὐκ ἀεὶ ἐν τῷ αὐτῷ ἀλλ' οὗπερ καὶ τὸ πρᾶγμα· ὥστε τοῦ τόπου ἔσται τόπος. ἔτι ὅταν ἐξ ἀέρος ὕδωρ γένηται, ἀπόλωλεν ὁ τόπος· οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ τὸ γενόμενον σῶμα· τίς οὖν ἡ φθορά; ἐξ ὧν μὲν τοίνυν ἀναγκαῖον εἶναί τι τὸν τόπον, καὶ πάλιν ἐξ ὧν ἀπορήσειεν ἄν τις αὐτοῦ περὶ τῆς οὐσίας, εἴρηται.

Μετὰ δὲ ταῦτα λεπτέον ποσαχῶς ἄλλο ἐν ἄλλῳ λέγεται. ἕνα μὲν δὴ τρόπον ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ καὶ 3

[b] 23 οὐ sup. lin. E^1 24 ἦν ἀὴρ T : ἀὴρ F 25 ὡς Λ ἔφαμεν EJVT : φαμεν FGI 26 ἀέρος καὶ τοῦ (τοῦ om. F) ὕδατος Λ 27 ἑκάστου ἐστί EJP : ἐστὶν ἑκάστου FGI : ἑκάστου T 28 καὶ γὰρ δοκεῖ ΛPST : δοκεῖ γὰρ E τὸ EIJP : om. FG 30 ἐστὶ τοῦ πράγματος Λ : τοῦ πράγματός ἐστι E : τοῦ πράγματος PS 32 δ' om. FP, erasit J : γε S δε] γὰρ γρ. S τὸ ἀεὶ I 210[a] 3 ἡ E^1S : ἦν ἡ E^2Λ 4 τῷ F^1 ἐστι om. S εἶναι τοῦτο ὥστε I ζητητέον εἰ ἐν F 5 τοῖς τοιούτοις EFGIJ[1]S : τούτοις J[2]P αὐτῷ E^1FG[1]IJVPS : αὐτῷ E^2G[2] 6 ἢ EFIJT : ἡ GPS ἢ EFIJ[1]T : ἢ ἡ GJ[2]S : καὶ ἡ P 8 καὶ alt. om. E^1 9 ἔσται ὁ τόπος G 14 ταῦτα δὲ F λεπτέον ΛHS : λεκτέον EVT

bunu görmek güç değil. Çünkü biçim ile madde nesneden ayrılmaz, oysa yer ayrılabiliyor. Nitekim dediğimiz gibi, havanın olduğu yerde sonra su oluyor, yani madem su ile hava birbirlerinin yerini alıyor, öteki cisimler- 25
de de bu böyle. Dolayısıyla yer bir nesnenin bir parçası değil, onun iyeliğinde de değil, ondan ayrılabilen bir şey. Yerin kap gibi bir şey olduğu da düşünülebilir (nitekim kap taşınabilir bir yer). Ne ki kap [içindeki] nesnenin hiçbir şeyi değil. Demek nesneden ayrılabilir olduğundan 30
onun biçimi değil, çepeçevre sardığından ötürü de maddeden farklı bir şey. Öte yandan öyle görünüyor ki varolan her zaman hem kendisi bir şey olarak var, hem de onun dışında değişik bir şey var (biraz konudan ayrılmamıza izin varsa burada Platon'a şöyle sormak gerekiyor: *Timaios*'ta 35
yazdığı gibi ister 'büyük ile küçük'ten ister maddeden pay alınabilir ol- 210a
sun, madem yer pay almayı olanaklı kılıyor; niçin idealarla sayılar 'bir yerde' değil?). Ayrıca yer, madde ya da biçim olsa [her nesne] kendi [doğal] yerine nasıl gidebilir? Çünkü devinimi; yukarısı, aşağısı olmayan nesnenin 'yer' olması olanaksız. Dolayısıyla yeri bu tür şeyler içinde aramak 5
gerekiyor. İmdi yer nesnenin kendi içinde olsa (çünkü şekil ya da madde olsa maddenin içinde olur) 'yer', bir yerin içinde olur. Nitekim hem 'biçim' hem de 'belirsiz olan' [madde] nesneyle birlikte değişir, devinir; bunlar her zaman aynı yerde değil, nesnenin olduğu yerdedir, dolayısıyla yerin bir yeri olacaktır. Ayrıca havadan su oluştuğu zaman yer yokolmuş olmaktır, çünkü oluşan cisim aynı yerde olamaz. Öyleyse ne tür bir yo- 10
kolma olacak? Demek ki nelerden ötürü 'yer' diye bir şeyin olması zorunlu, yine nelerden ötürü onun tözünün ne olduğu konusunda çıkmaza girdiliyor; bunları söylemiş olduk.

3 Bunlardan sonra kaç anlamda "bir nesne bir başka nesnenin içinde" denir, bunu söylemek gerekiyor. bir anlamda: "parmak 15

2. 209b 22 — 3. 210b 9

ὅλως τὸ μέρος ἐν τῷ ὅλῳ. ἄλλον δὲ ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν· οὐ γὰρ ἐστι παρὰ τὰ μέρη τὸ ὅλον. ἄλλον δὲ τρόπον ὡς ὁ ἄνθρωπος ἐν ζῴῳ καὶ ὅλως εἶδος ἐν γένει. ἄλλον δὲ ὡς τὸ γένος ἐν τῷ εἴδει καὶ ὅλως τὸ μέρος τοῦ εἴδους ἐν τῷ λόγῳ. ἔτι ὡς ἡ ὑγίεια ἐν θερμοῖς καὶ ψυχροῖς καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. ἔτι ὡς ἐν βασιλεῖ τὰ τῶν Ἑλλήνων καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ. ἔτι ὡς ἐν τῷ ἀγαθῷ καὶ ὅλως ἐν τῷ τέλει· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα. πάντων δὲ κυριώτατον τὸ ὡς ἐν ἀγγείῳ καὶ ὅλως ἐν τόπῳ.

ἀπορήσειε δ' ἄν τις, ἆρα καὶ αὐτό τι ἐν ἑαυτῷ ἐνδέχεται εἶναι, ἢ οὐδέν, ἀλλὰ πᾶν ἢ οὐδαμοῦ ἢ ἐν ἄλλῳ. διχῶς δὲ τοῦτ' ἔστιν, ἤτοι καθ' αὑτὸ ἢ καθ' ἕτερον. ὅταν μὲν γὰρ ᾖ μόρια τοῦ ὅλου τὸ ἐν ᾧ καὶ τὸ ἐν τούτῳ, λεχθήσεται τὸ ὅλον ἐν αὑτῷ· λέγεται γὰρ καὶ κατὰ τὰ μέρη, οἷον λευκὸς ὅτι ἡ ἐπιφάνεια λευκή, καὶ ἐπιστήμων ὅτι τὸ λογιστικόν. ὁ μὲν οὖν ἀμφορεὺς οὐκ ἔσται ἐν αὑτῷ, οὐδ' ὁ οἶνος· ὁ δὲ τοῦ οἴνου ἀμφορεὺς ἔσται· ὅ τε γὰρ καὶ ἐν ᾧ, ἀμφότερα τοῦ αὐτοῦ μόρια. οὕτω μὲν οὖν ἐνδέχεται αὐτό τι ἐν αὑτῷ εἶναι, πρώτως δ' οὐκ ἐνδέχεται. οἷον τὸ λευκὸν ἐν σώματι (ἡ ἐπιφάνεια γὰρ ἐν σώματι), ἡ δ' ἐπιστήμη ἐν ψυχῇ· κατὰ ταῦτα δὲ αἱ προσηγορίαι μέρη ὄντα, ὡς γε ἐν ἀνθρώπῳ (ὁ δὲ ἀμφορεὺς καὶ ὁ οἶνος χωρὶς μὲν ὄντα οὐ μέρη, ἅμα δέ· διὸ ὅταν ᾖ μέρη, ἔσται αὐτὸ ἐν αὑτῷ)· οἷον τὸ λευκὸν ἐν ἀνθρώπῳ ὅτι ἐν σώματι, καὶ ἐν τούτῳ ὅτι ἐν ἐπιφανείᾳ· ἐν δὲ ταὐτῇ οὐκέτι κατ' ἄλλο. καὶ ἑτερά γε τῷ εἴδει ταῦτα, καὶ ἄλλην φύσιν ἔχει ἑκάτερον καὶ δύναμιν, ἥ τ' ἐπιφάνεια καὶ τὸ λευκόν. οὔτε δὴ ἐπακτικῶς σκοποῦσιν οὐδὲν ὁρῶμεν ἐν ἑαυτῷ κατ' οὐδένα τῶν διορισμῶν, τῷ τε λόγῳ δῆ-

[a] 16 δὲ ΛΤ : δὲ τρόπον E 17 παρὰ . . . ὅλον ΛS : ὅλον παρὰ τὰ μέρη E 18 ἐν τῷ ζῴῳ F 20 τῷ EG¹J : τῷ τοῦ εἴδους FG²IP ἡ EJS : om. FGI 23 ἐν ΛS : ὡς ἐν E 24 ἐν alt. EFGJSᵖ : τὸ ἐν IP : ὡς ἐν S¹ 25 τις εἰ ἆρα S 26 πᾶν EP¹T : πάντα E²FIJ : om. G οὐδαμοῦ ἢ ἐν ἄλλῳ EIJP : οὐδαμῶς ἢ ἐν ἄλλῳ F : ἐν ἄλλῳ ἢ οὐδαμοῦ G 28 τὸ pr. EJS : τὸ τ' FGI 29 τὰ E²IS : om. E¹FGJ 30 τὸ ΛV : καὶ τὸ E 33 αὐτῷ FG 34 οἷον . . . σώματι E²FGIJ²PS : om. E¹V : ἐν σώματι om. J¹ ἡ . . . [b] 1 σώματι EGJPᵖ : om. IP¹ : ἡ om. F [b] 2 ὡς τε F 3 διὸ EGIJ¹P : διότι FJ² 4 ἢ ΛP : μὲν ἢ E αὐτὸ FGJT : αὐτὸς EI ἐν alt.] ἐν τῷ E²GIJ 5 ἐν pr.] ἐν τῷ Λ ἐν tert.] ἐν τῇ E²Λ 7 ἑκατερα F 8 ὁρῶμεν ἐν ἑαυτῷ EP : ἐν ἑαυτῷ (αὐτῷ G, αὐτῷ J) ὁρῶμεν Λ 9 τῶν διορισμῶν ΛP : τὸν διορισμένων E

elde" yani parça bütünde. Bir başka anlamda: "bütün parçalarda"; çünkü bütün parçaların dışında değil. Başka bir anlamda: "insan canlıda", yani tür cinste. Bir başkası: "cins türde" yani türün parçası kavramda. Ayrıca şöyle: "sağlık [belli bir ilişki içindeki] sıcak ile soğukta", kısaca bi- 20
çim maddede. Yine şöyle: "Hellenlerin yazgısı kralın elinde", yani ilk değiştiricide. Şöyle de denir: "iyide", yani amaçta; bu da ereksel neden. Ne ki, tümü içinde en asıl anlamında şöyle denir: "bir kapta", yani bir yerde.

İmdi şu sorulabilir: bir nesnenin kendisinin kendi içinde olması olası 25
mı yoksa olası değil de her nesne, ya hiçbir yerde ya da bir başka nesnenin içinde mi? Bu da iki anlamda: ya 'kendi başına' ya da 'başka bir nesneye göre'. Nitekim bütünün parçaları 'içinde olan' ile 'içine alan' olarak bütünün içindeyse "bütün kendi içinde" denecektir, çünkü parçalara göre de söylenecektir: sözgelişi yüzeyi ak olduğu için "ak" denebilir, düşünebilme 30
yeteneği olduğu için de "bilgili" denebilir. Öyleyse fıçı kendi içinde olmayacaktır, şarap da; ama 'şarap fıçısı' kendi içinde olacaktır, çünkü içinde olan nesne ile içine alan nesne aynı bütünün parçaları. Bu anlamda aynı nesnenin kendi içinde olması olası, önceki anlamda olası değil. Sözgelişi 'ak' bedende (çünkü yüzey bir bedende) bilgi ise bir ruhta. Bu özelliklere göre 210b
adlandırma yapılıyor, bunlarsa parçalar, yani insanın parçaları (oysa fıçı ile şarap ayrı ayrı alındıkta parça değil, birlikte alındıkta öyle. Bunun için ancak parça oldukları zaman bütünün kendisi kendi içinde olacaktır). Sözgelişi 'ak', bir insanda, çünkü insanın bedeninde; bir bedende, çünkü 5
bedenin yüzeyinde; ne ki, yüzeyde artık bir başka şeye göre değildir. Yüzey ile ak türce değişik olsalar bile, herbiri bir doğa ve güç/olanak taşısa bile bu böyle. İmdi tek tek bakıldıkta belirlenenlerden hiçbirinde 'kendi içinde' bir nesne göremiyoruz, mantıksal açıdan da bunun olanaksız

λον ὅτι ἀδύνατον· δεήσει γὰρ ἀμφότερα ἑκάτερον ὑπάρχειν, οἷον τὸν ἀμφορέα ἀγγεῖόν τε καὶ οἶνον εἶναι καὶ τὸν οἶνον οἰνοῦν τε καὶ ἀμφορέα, εἴπερ ἐνδέχεται αὐτό τι ἐν αὐτῷ εἶναι. ὥστ' εἰ ὅτι μάλιστα ἐν ἀλλήλοις εἶεν, ὁ μὲν ἀμφορεὺς δέξεται τὸν οἶνον οὐχ ᾗ αὐτὸς οἶνος ἀλλ' ᾗ ἐκεῖνος, ὁ δ' οἶνος ἐνέσται ἐν τῷ ἀμφορεῖ οὐχ ᾗ αὐτὸς ἀμφορεὺς ἀλλ' ᾗ ἐκεῖνος. κατὰ μὲν οὖν τὸ εἶναι ὅτι ἕτερον, δῆλον· ἄλλος γὰρ ὁ λόγος τοῦ ἐν ᾧ καὶ τοῦ ἐν τούτῳ. ἀλλὰ μὴν οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται· ἅμα γὰρ δύο ἐν ταὐτῷ ἔσται· αὐτός τε γὰρ ἐν αὐτῷ ὁ ἀμφορεὺς ἔσται, εἰ οὗ ἡ φύσις δεκτική, τοῦτ' ἐνδέχεται ἐν αὐτῷ εἶναι, καὶ ἔτι ἐκεῖνο οὗ δεκτικόν, οἷον, εἰ οἴνου, ὁ οἶνος.

ὅτι μὲν οὖν ἀδύνατον ἐν αὐτῷ τι εἶναι πρώτως, δῆλον· ὃ δὲ Ζήνων ἠπόρει, ὅτι εἰ ὁ τόπος ἐστί τι, ἐν τινι ἔσται, λύειν οὐ χαλεπόν· οὐδὲν γὰρ κωλύει ἐν ἄλλῳ εἶναι τὸν πρῶτον τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ, ἀλλ' ὥσπερ ἡ μὲν ὑγίεια ἐν τοῖς θερμοῖς ὡς ἕξις, τὸ δὲ θερμὸν ἐν σώματι ὡς πάθος. ὥστε οὐκ ἀνάγκη εἰς ἄπειρον ἰέναι. ἐκεῖνο δὲ φανερόν, ὅτι ἐπεὶ οὐδὲν τὸ ἀγγεῖον τοῦ ἐν αὐτῷ (ἕτερον γὰρ τὸ πρώτως ὃ τε καὶ ἐν ᾧ), οὐκ ἂν εἴη οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος ὁ τόπος, ἀλλ' ἕτερον. ἐκείνου γάρ τι ταῦτα τοῦ ἐνόντος, καὶ ἡ ὕλη καὶ ἡ μορφή. ταῦτα μὲν οὖν ἔστω διηπορημένα.

Τί δέ ποτ' ἐστὶν ὁ τόπος, ὧδ' ἂν γένοιτο φανερόν. λάβωμεν δὲ περὶ αὐτοῦ ὅσα δοκεῖ ἀληθῶς καθ' αὐτὸ ὑπάρχειν αὐτῷ. ἀξιοῦμεν δὴ τὸν τόπον εἶναι πρῶτον μὲν περιέ- 4

---

b 10 ἑκατέρω J 12 οἰνόν om. G αὐτό τι EFT : τι αὐτὸ GIJS 15 ὁ δ'] καὶ ὁ I ἔσται FIS ἀμφορεὺς αὐτὸς ΛS 16 ᾗ E¹ ἐκεῖνος ἀμφορεύς. κατὰ FGI οὖν om. F 17 ἄλλος ΛPS: ἄλλως E τοῦ E²FGIS : ὁ τοῦ E¹J τοῦ E¹FJPSᵖT : ὁ τοῦ E²GIS¹ 18 μὴν E²ΛVST : δὴ E¹P 19 ἐν EFPS : σώματα ἐν GIJ ἔνεσται F τε ΛS : om. EP 20 et 22 αὐτῷ FG 21 ἐκείνου δεκτικὸν E¹ ὁ sup. lin. E¹, om. F, erasit J 22 τι E²ΛVS : om. E¹ πρώτως εἶναι F 23 ὁ . . . τι GIJPS : ἔστι τι ὁ τόπος E : ὁ τόπος ἔσται τι F : ὁ τόπος ἔστι T ἔν τινι scripsi cum PST : ἐν τίνι ΠP¹ λύειν οὐ χαλεπόν E²ΛVP : om. E¹ 24 ἄλλῳ E¹P : ἄλλως μὲν E²Λ πρώτως EJVP 26 τοῖς om. E¹ST ἐν EFGS : om. IJ 27 εἰς EFJS : ἐπ' GI 28 οὐδὲ I τοῦ om. I αὐτῷ EVS : αὐτῷ FGIJ 29 οὐκ] διὸ οὐκ J ἡ et οὔτε om. G 32 δὴ G 33 αὐτό EFIJ²S : αὐτὸν GJ¹ 34 περιέχειν FI

olduğu açık. Çünkü bu durumda heriki nesnenin ikisinden herbiri ola- 10
rak bulunması gerekecek, sözgelişi bir şeyin kendisi kendi içinde olabilse
fıçı hem bir kap olur hem şarap; şarap da hem şarap hem de fıçı. Dolayı-
sıyla tam anlamıyla birbirlerinin içinde olsalar, fıçı şarabı şarap olarak
değil, fıçı olarak içine alacak; şarap ise fıçıda o fıçı, fıçının kendisi değil 15
şarapmış gibi bulunacak. Demek ki varlıklarına göre değişik şeyler oldukları açık, çünkü 'içinde olan'ın kavramı ile 'içine alan'ın kavramı başka. Üstelik böyle bir şey ilineksel anlamda da olası değil, çünkü bu durumda aynı yerde iki nesne olacak: nitekim kendi içinde olması olası olan nesnenin doğası içinde ise, fıçının kendisi olarak kendi içinde olacak, 20
bir de fıçının içindekinin, yani şarabın [doğası], şarap olarak.

Demek ki nesnenin doğrudan kendi içinde olması olanaksız, bu açık. Zenon'un ortaya koyduğu "yer bir nesneyse bir nesnenin içinde olacaktır" sorununu çözmek ise güç değil; çünkü tıpkı sağlığın sıcak nesnelerde bir özellik, bir durum olarak bulunması, sıcaklığın bir bedende 25
duygulanım olarak bulunması gibi, yerin de doğrudan 'bir yerde' bulunmaksızın başka bir nesnenin içinde bulunmasına hiçbir engel yok. Dolayısıyla sonsuza dek gitmek zorunlu değil. Ama şu açık: madem kap, kendi içindeki nesnenin hiçbir şeyi değil (çünkü doğrudan 'nesne' ile 'içindeki' değişik şey), yer ne madde olabilir ne de biçim, tersine değişik bir 30
şey. Çünkü hem madde hem de şekil/biçim, içinde oldukları o nesnenin bir şeyi. Demek ki bunlar soru konusu.

4 Ne ki, yerin ne olduğu şöyle açıklığa kavuşabilir: Onla ilgili olarak onda gerçekten 'kendinde bulunan' diye düşünülen şeyleri ele alalım. Kabulümüz şu: yer, yeri olduğu o nesneyi doğrudan saran

3. 210ᵇ 10 — 4. 211ᵃ 29

χου ἐκεῖνο οὗ τόπος ἐστί, καὶ μηδὲν τοῦ πράγματος, ἔτι 211ᵃ
τὸν πρῶτον μήτ' ἐλάττω μήτε μείζω, ἔτι ἀπολείπεσθαι
ἑκάστου καὶ χωριστόν εἶναι, πρὸς δὲ τούτοις πᾶντα τό-
που ἔχειν τὸ ἄνω καὶ κάτω, καὶ φέρεσθαι φύσει καὶ μέ- 5
νειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων, τοῦτο δὲ
ποιεῖν ἢ ἄνω ἢ κάτω. ὑποκειμένων δὲ τούτων τὰ λοιπὰ θεω-
ρητέον. δεῖ δὲ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι ὅπως
τὸ τί ἐστιν ἀποδοθήσεται, ὥστε τά τε ἀπορούμενα λύεσθαι,
καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ ὑπάρχοντα ἔσται, καὶ
ἔτι τὸ τῆς δυσκολίας αἴτιον καὶ τῶν περὶ αὐτὸν ἀπορημά- 10
των ἔσται φανερόν· οὕτω γὰρ ἂν κάλλιστα δεικνύοιτο ἕκαστον.

πρῶτον μὲν οὖν δεῖ κατανοῆσαι ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος,
εἰ μὴ κίνησις ἦν ἡ κατὰ τόπον· διὰ γὰρ τοῦτο καὶ τὸν
οὐρανὸν μάλιστ' οἰόμεθα ἐν τόπῳ, ὅτι ἀεὶ ἐν κινήσει. ταύτης
δὲ τὸ μὲν φορά, τὸ δὲ αὔξησις καὶ φθίσις· καὶ γὰρ ἐν 15
τῇ αὐξήσει καὶ φθίσει μεταβάλλει, καὶ ὃ πρότερον ἦν ἐν-
ταῦθα, πάλιν μεθέστηκεν εἰς ἔλαττον ἢ μεῖζον. ἔστι δὲ κι-
νούμενον τὸ μὲν καθ' αὑτὸ ἐνεργείᾳ, τὸ δὲ κατὰ συμβεβη-
κός· κατὰ συμβεβηκὸς δὲ τὸ μὲν ἐνδεχόμενον κινεῖσθαι
καθ' αὑτό, οἷον τὰ μόρια τοῦ σώματος καὶ ὁ ἐν τῷ πλοίῳ 20
ἥλος, τὰ δ' οὐκ ἐνδεχόμενα ἀλλ' αἰεὶ κατὰ συμβεβηκός,
οἷον ἡ λευκότης καὶ ἡ ἐπιστήμη· ταῦτα γὰρ οὕτω μεταβέ-
βληκε τὸν τόπον, ὅτι ἐν ᾧ ὑπάρχουσι μεταβάλλει. ἐπεὶ
δὲ λέγομεν εἶναι ὡς ἐν τόπῳ ἐν τῷ οὐρανῷ, διότι ἐν τῷ ἀέρι
οὗτος δὲ ἐν τῷ οὐρανῷ· καὶ ἐν τῷ ἀέρι δὲ οὐκ ἐν παντί, ἀλλὰ 25
διὰ τὸ ἔσχατον αὐτοῦ καὶ περιέχον ἐν τῷ ἀέρι φαμὲν εἶναι
(εἰ γὰρ πᾶς ὁ ἀὴρ τόπος, οὐκ ἂν ἴσος εἴη ἑκάστου ὁ τόπος
καὶ ἕκαστον, δοκεῖ δέ γε ἴσος εἶναι, τοιοῦτος δ' ὁ πρῶτος
ἐν ᾧ ἐστιν)· ὅταν μὲν οὖν μὴ διηρημένον ᾖ τὸ περιέχον ἀλλὰ

211ᵃ 1 μηδὲν εἶναι τοῦ πράγματος T : μηδὲν τοῦ πράγματος εἶναι $E^2\Lambda$ 2 πρῶτον EFGJP : πρῶτον τόπον I ἐλάττω εἶναι μήτε lT ἔτι EVT γρ. P γρ. S : ἔτι μήτε ΛS : ἔτι μὴ P 3 εἶναι FPT : om. EGIJ 4 καὶ τὸ κάτω GP 6 δὲ τῶν τοιούτων G 7 δὲ] δὲ κατὰ κοινὸν οὖν τὸ οὕτως G^1 10 περὶ αὐτὸν om. S αὐτὸ E^2 13 ἦν E^1FPST : τις ἦν E^2GIJV 14 οἰόμεθα ἐν τόπῳ ET : ἐν τόπῳ οἰόμεθ ΛS 16 ὅπερ F 19 κατὰ . . . δὲ] τοῦ δὲ κατὰ συμβεβηκὸς $E^2\Lambda$ τὰ μὲν ἐνδεχόμενα FG 20 μέρη F 22 ἡ pr.] ἢ τε fecit E 24 εἶναι om. F ἐν alt. ES : om. Λ 25 ἅπαντι S 27 ἅπας GIJ et fecit E 28 δοκεῖ . . . εἶναι om. J^1 ἴσος εἶναι] ἴσος I : εἶναι V : om. GP δ' om. GJ^1P

bir şey; nesnenin hiçbir şeyi değil; nesnenin ilk yeri [nesneden] ne daha 211a
büyük ne de daha büyük; her nesneyi bırakıp ondan ayrılabiliyor. Ayrıca
her yerin yukarısı, aşağısı var; her nesne doğal olarak yer değiştirip kendi
yerinde kalıyor, bunu da ya yukarıya doğru ya da aşağıya doğru gerçekleş- 5
tiriyor. Demek bunları dayanak olarak bırakıp geri kalanlara bakmak ge-
rekiyor. Ne ki araştırmamızı öyle yapmaya çalışmalıyız ki, "yer ne?", bu
ortaya çıksın; dolayısıyla sorunlar çözülüp 'yer'de bulunduğu düşünülen
özelliklerin gerçekten onda bulunduğu, ayrıca tartışmaların ve onunla il- 10
gili sorunların nedeni ortaya çıksın. Nitekim her nesne en iyi biçimde
ancak böyle ortaya konabilir.

İlk düşünülmesi gereken şu: yere göre devinim olmasaydı 'yer' de
araştırma konusu olmazdı. Nitekim gökyüzünün de özellikle bu yüzden bir
yerde olduğunu düşünüyoruz, çünkü hep bir devinim içinde. Devinimin
her bir türü yer değiştirme, biri büyüme, biri de yitip gitme/eksilme; nite- 15
kim büyüme ile eksilmede de bir değişme sözkonusu: daha önce buradaki
nesne daha sonra daha küçük ya da daha büyük [bir yere] doğru değişmiş-
tir. Ayrıca devinen nesne 'kendi başına' bir etkinlikle ya da 'ilineksel an-
lamda' devinebilir. İlineksel anlamda ise kimi nesne bedenin parçaları ve 20
geminin direği gibi kendi başına devinebilir; kimi nesnelerde ise bu olası
değil, onlar aklık, bilgi gibi hep ilineksel anlamda devinir. Nitekim bunlar,
içinde bulundukları nesne yer değiştirdiği için yer değiştirmiş oluyorlar.
Ne ki, madem gökyüzünde olan havanın içinde bulunduğu için bir nesne-
nin gökyüzündeki bir yerde olduğunu söylüyoruz, "havada" derken de ha- 25
vanın tümünde demek istemiyoruz da onun sınırındaki saran kısmında ol-
duğu için havada olduğunu söylüyoruz (çünkü havanın tümü yer olsa her
bir nesnenin yeri ile o nesnenin kendisi eşit olmaz, oysa eşit olduğu görü-
nüyor, doğrudan/ilk içinde bulunulan yer böyle bir şey); saran, ayrık

συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται εἶναι ἐν ἐκείνῳ, ἀλλ' ὡς μέρος ἐν ὅλῳ· ὅταν δὲ διῃρημένου ᾖ καὶ ἁπτόμενον, ἐν πρώτῳ ἐστὶ τῷ ἐσχάτῳ τοῦ περιέχοντος, ὃ οὔτε ἐστὶ μέρος τοῦ ἐν αὐτῷ οὔτε μεῖζον τοῦ διαστήματος ἀλλ' ἴσον· ἐν γὰρ τῷ αὐτῷ τὰ ἔσχατα τῶν ἁπτομένων. καὶ συνεχὲς μὲν δὴ οὐκ ἐν ἐκείνῳ κινεῖται ἀλλὰ μετ' ἐκείνου, διῃρημένου δὲ ἐν ἐκείνῳ· καὶ ἐάν τε κινῆται τὸ περιέχον ἐάν τε μή, 211b οὐδὲν ἧττον. [ἔτι ὅταν μὴ διῃρημένου ᾖ, ὡς μέρος ἐν ὅλῳ λέγεται, οἷον ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις ἢ ἐν τῷ σώματι ἡ χείρ, ὅταν δὲ διῃρημένον, οἷον ἐν τῷ κάδῳ τὸ ὕδωρ ἢ ἐν τῷ κεραμίῳ ὁ οἶνος· ἡ μὲν γὰρ χεὶρ μετὰ τοῦ σώματος κινεῖται, τὸ δὲ ὕδωρ ἐν τῷ κάδῳ.]

ἤδη τοίνυν φανερὸν ἐκ τούτων τί ἐστιν ὁ τόπος. σχεδὸν γὰρ τέτταρά ἐστιν ὧν ἀνάγκη τὸν τόπον ἕν τι εἶναι· ἢ γὰρ μορφὴ ἢ ὕλη ἢ διάστημά τι τὸ μεταξὺ τῶν ἐσχάτων, ἢ τὰ ἔσχατα εἰ μὴ ἔστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγιγνομένου σώματος μέγεθος. τούτων δ' ὅτι οὐκ ἐνδέχεται τὰ τρία εἶναι, φανερόν· ἀλλὰ διὰ μὲν τὸ περιέχειν δοκεῖ ἡ μορφὴ εἶναι· ἐν ταὐτῷ γὰρ τὰ ἔσχατα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου. ἔστι μὲν οὖν ἄμφω πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τὸ μὲν εἶδος τοῦ πράγματος, ὁ δὲ τόπος τοῦ περιέχοντος σώματος. διὰ δὲ τὸ μεταβάλλειν πολλάκις μένοντος τοῦ περιέχοντος τὸ περιεχόμενον καὶ διῃρημένον, οἷον ἐξ ἀγγείου ὕδωρ, τὸ μεταξὺ εἶναί τι δοκεῖ διάστημα, ὡς ὄν τι παρὰ τὸ σῶμα τὸ μεθιστάμενον. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ τὸ τυχὸν ἐμπίπτει σῶμα τῶν μεθισταμένων καὶ ἅπτεσθαι πεφυκότων. εἰ δ' ἦν τι [τὸ] διάστημα ⟨καθ' αὑ⟩τὸ πεφυκὸς ⟨εἶναι⟩ καὶ μένον, ἐν τῷ αὐτῷ ἄπειροι ἂν ἦσαν τόποι (μεθισταμένου γὰρ τοῦ ὕδατος καὶ τοῦ ἀέρος ταὐτὸ

[a] 30 εἶναι ET : om. Λ 32 τῷ EFS : τινι τῷ GIJ et fecit E 33 αὐτῷ ὄντος οὔτε FGIP ἐν . . . [b] 1 ἧττον et ante et post [b] 1–5 ἔτι . . . κάδῳ E [b] 1–5 ἔτι . . κάδῳ ΠPST : om. Aspasius, secl. A 1 ἢ διῃρημένον I 2 οἷον ὡς ἐν GIJP 3 ante οἷον desiderantur ὡς ἐν τόπῳ οἷον ὡς ἐν J ἢ ὡς ἐν GJ et fecit E 4 κατὰ Bekker 6 ὁ om. F 8 τὸ E²ΛPT : om. E¹ 10 τὰ τρία οὐκ ἐνδέχεται GIJS τὸ μὲν F 11 μορφὴ μὴ εἶναι E 12 τοῦ alt. FIJP : om. EG 14 βαλλειν E¹ 17 τὸ alt. om. E 18 μετεμπίπτει PS 19 τὸ om. PST 20 καθ' . . . εἶναι Laas, fort. T : τὸ πεφυκὸς APS : πεφυκὸς E καὶ om. J μένειν ἐν ἑαυτῷ fort. T αὐτῷ EFVPS : αὐτῷ τόπῳ GIJ 21 ἦσαν οἱ τόποι PT

değil sürekli ise nesnenin onun içinde 'bir yerde' anlamında değil, bütündeki bir parça olarak bulunduğunu söylüyoruz demektir; ama saran ayrık ve bitişmiş olsa, nesne saran nesnenin doğrudan/ilk sınırında demektir, yani içindeki nesnenin bir parçası da değildir, ayrılıktan daha büyük de değildir, ona eşittir; çünkü bitişik olan nesnelerin sınırları aynı yerde. Ama nesne sürekli değilse, saran nesne içinde devinmez, onunla birlikte devinir; ayrık ise onun içinde devinir. Saran nesne devinse de devinmese de farketmez. <Öte yandan ayrık değilse, gözdeki görme, bedendeki el gibi bütündeki parça anlamına gelir; ayrık olduğunda ise sürahideki su ya da kadehteki şarapla karşılaştırılabilir. Nitekim el *bedenle birlikte* devinir, su ise sürahinin *içinde* devinir.>

İmdi yerin ne olduğu bunlardan ortaya çıkıyor. Yerin içlerinden biri olması zorunlu olan dört şey var: Ya bir biçim, şekil (morphe) ya bir madde; ya sınırlar arasındaki bir ara-nesne ya da sarılan cismin büyüklüğü dışında hiçbir aralık yoksa sınırların kendisi. Bunlardan üçünün olası olmadığı açık. Ama sarmasından ötürü biçim, şekil (morphe) olduğu düşünülüyor, çünkü saran ve sarılan nesnenin sınırları aynı yerde. Demek ki heriküsi de sınır, ama aynı nesnenin değil: biçim nesnenin sınırı, yer ise saran cismin. Sarılan ve ayrık olan nesne çoğu kez saran nesne durağan kalmasına karşın, suyun kaptan taşması gibi devindiği için değişen nesnenin dışında bir nesne var diye arada bir ara-nesne olduğu düşünülüyor. Oysa böyle bir şey yok, yer değiştirirken doğal olarak bitişen bir cisim sözkonusu. 'Kendi başına' kalıcı bir ara-nesne ve doğal bir varlık olsaydı aynı yerde sonsuz yer olurdu (nitekim su ve hava yer değiştirince parçaların hepsi kaptaki bütün

30 211b 5 10 15 20

4. 211ᵃ 30 — 212ᵃ 10

ποιήσει τὰ μόρια πάντα ἐν τῷ ὅλῳ ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ)· ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων· ὥστ' ἔσται τοῦ τόπου τ' ἄλλος τόπος, καὶ πολλοὶ τόποι ἅμα ἔσονται. οὐκ ἔστι δὲ ἄλλος ὁ τόπος τοῦ μορίου, ἐν ᾧ κινεῖται, ὅταν ὅλον τὸ ἀγγεῖον μεθίστηται, ἀλλ' ὁ αὐτός· ἐν ᾧ γὰρ ἔστιν, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἢ τὰ μόρια τοῦ ὕδατος, ἀλλ' οὐκ ἐν ᾧ γίγνονται τόπῳ, ὃς μέρος ἐστὶ τοῦ τόπου ὃς ἐστι τόπος ὅλου τοῦ οὐρανοῦ. καὶ ἡ ὕλη δὲ δόξειεν ἂν εἶναι τόπος, εἴ γε ἐν ἠρεμοῦντί τις σκοποίη καὶ μὴ κεχωρισμένῳ ἀλλὰ συνεχεῖ. ὥσπερ γὰρ εἰ ἀλλοιοῦται, ἔστι τι ὃ νῦν μὲν λευκὸν πάλαι δὲ μέλαν, καὶ νῦν μὲν σκληρὸν πάλαι δὲ μαλακόν (διό φαμεν εἶναί τι τὴν ὕλην), οὕτω καὶ ὁ τόπος διὰ τοιαύτης τινὸς εἶναι δοκεῖ φαντασίας, πλὴν ἐκεῖνο μὲν διότι ὃ ἦν ἀήρ, τοῦτο νῦν ὕδωρ, ὁ δὲ τόπος ὅτι οὗ ἦν ἀήρ, ἐνταῦθ' ἔστι νῦν ὕδωρ. ἀλλ' ἡ μὲν ὕλη, ὥσπερ ἐλέχθη ἐν τοῖς πρότερον, οὔτε χωριστὴ τοῦ πράγματος οὔτε περιέχει, ὁ δὲ τόπος ἄμφω.

εἰ τοίνυν μηδὲν τῶν τριῶν ὁ τόπος ἐστίν, μήτε τὸ εἶδος μήτε ἡ ὕλη μήτε διάστημά τι ἀεὶ ὑπάρχον ἕτερον παρὰ τὸ τοῦ πράγματος τοῦ μεθισταμένου, ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν τεττάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος ⟨καθ' ὃ συνάπτει τῷ περιεχομένῳ⟩. λέγω δὲ τὸ περιεχόμενον σῶμα τὸ κινητὸν κατὰ φοράν. δοκεῖ δὲ μέγα τι εἶναι καὶ χαλεπὸν ληφθῆναι ὁ τόπος διά τε τὸ παρεμφαίνεσθαι τὴν ὕλην καὶ τὴν μορφήν, καὶ διὰ τὸ ἐν ἠρεμοῦντι τῷ περιέχοντι γίγνεσθαι τὴν μετάστασιν τοῦ φερομένου· ἐνδέχεσθαι γὰρ φαί-

---

ᵇ 22 πάντα EGIJPᵉS : ἅπαντα FP¹ 23 καὶ . . . ἔσται EFPS : ἔσται καὶ ὁ τόπος GIJ 24 τοῦ τόπου ἔσται S τοῦ] καὶ τοῦ F : τέ τις τοῦ G τ' ἄλλος] ἄλλος FG : τις ἄλλος IPS : τέλος J 25 ὁ τόπος S : τόπος ὁ EGIJ : τόπος FP 26 τὸ ὅλον F 30 εἰ . . . τις E²APS : ἐνηρεμοῦν E¹ 31 κεχωρισμένῳ ἀλλὰ συνεχεῖ E¹FGIP : κεχωρισμένον ἀλλὰ συνεχές E²J (+ μεταβάλλοντι E¹) 32 τι] τοῦτο I : τι τοῦτο GJ 32 et 33 πάλαι EFJS : πάλιν GI 33 τι om. IJ¹ 34 δοκεῖ εἶναι GIJ 35 ὁ sup. lin. E¹ τοῦτο . . . 36 ἀὴρ om. G 36 οὗ] ἐν ᾧ G : οὗ νυν I ὁ ἀὴρ I νῦν om. G 212ᵃ 1 πρότερον F 2 τῶν τριῶν E¹FT : τούτων τῶν τριῶν E²GIJ : τῶν τριῶν τούτων S 3 τὸ et ἡ om. corr. E, T ἀεί τι F 4 ὑπάρχειν E 6–6 *a* καθ' . . . περιεχομένῳ VPST : om. Π 6 *a* τὸ EGHIS : erasit J, om. P 7 μέγα τι εἶναι EGIJPS : μέγα εἶναί τι F : τι μεγα εἶναι T 9 ἐνηρεμοῦν τῷ E¹

suyu yapan bütün içinde aynı nesneyi yapacaktır). Aynı anda yer de yer değiştirecek, dolayısıyla yerin başka bir yeri olacak, aynı anda birçok yer olacaktır. Ne ki, kabın bütünü yer değiştirdiğinde parçanın içinde devinmiş yer başka bir yer değil, aynı yer (tüm kabın yeri); nitekim 'bu yerde' hava ve su ya da suyun parçaları neredelerse orada birbirinin yerini alıyor, yoksa gökyüzünün bütününün yeri olan yerin parçası olan yerde oluşmuyor değiller. Yer, durgunluk içinde ayrık olmayan süreklilik olarak düşünülürse madde diye de görülebilir. Nitekim nasıl nitelik değiştirmede şimdi ak sonra kara olan; şimdi sert sonra yumuşak olan bir şey varsa (bunun için maddenin bir nesne olduğunu düşünüyoruz) yer de bu tür bir kurgulamayla böyle görülebilir. Ancak şu farkla: Önceki durumda "hava olan şey şimdi su olmuştur", denir; yer ile ilgili olarak ise, "hava olan yerde şimdi su var", denebilir. Ne ki daha önce de dediğimiz gibi madde ne nesneden ayrılabilir ne onu sarar, oysa yer için herikisi de sözkonusu.

İmdi yer üçünden biri değilse, ne biçim ne madde ne de yer değiştiren nesnenin dışında değişik bir şey olarak bulunan bir ara-nesne ise, şu zorunlu yer, dört şey içinde geri kalanı, yani saran cismin [sarılan cisimle bitiştiği] sınır. 'Sarılan cisim'den kastettiğim yer açısından devinebilen cisim. Ne ki "yer önemli bir şeydir, anlaşılması güçtür" diye düşünülmesi şundan: hem madde ile şekil hep birlikte görülüyorlar hem de dinginlikteki saran cismin içinde yer değiştiren nesnenin yer değişikliği dingin durumdaki cismin içinde oluşuyor. Nitekim öyle görünüyor ki, devinen büyüklüklerden

νεται εἶναι διάστημα μεταξὺ ἄλλο τι τῶν κινουμένων μεγεθῶν. συμβάλλεται δέ τι καὶ ὁ ἀὴρ δοκῶν ἀσώματος εἶναι· φαίνεται γὰρ οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου εἶναι ὁ τόπος, ἀλλὰ καὶ τὸ μεταξὺ ὡς κενὸν ⟨ὄν⟩. ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτως καὶ ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. διὸ ὅταν μὲν ἐν κινουμένῳ κινῆται καὶ μεταβάλλῃ τὸ ἐντός, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι. βούλεται δ' ἀκίνητος εἶναι ὁ τόπος· διὸ ὁ πᾶς μᾶλλον ποταμὸς τόπος, ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος. καὶ διὰ τοῦτο τὸ μέσον τοῦ οὐρανοῦ καὶ τὸ ἔσχατον τὸ πρὸς ἡμᾶς τῆς κύκλῳ φορᾶς δοκεῖ εἶναι τὸ μὲν ἄνω τὸ δὲ κάτω μάλιστα πᾶσι κυρίως, ὅτι τὸ μὲν αἰεὶ μένει, τοῦ δὲ κύκλῳ τὸ ἔσχατον ὡσαύτως ἔχον μένει. ὥστ' ἐπεὶ τὸ μὲν κοῦφον τὸ ἄνω φερόμενόν ἐστι φύσει, τὸ δὲ βαρὺ τὸ κάτω, τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας κάτω ἐστίν, καὶ αὐτὸ τὸ μέσου, τὸ δὲ πρὸς τὸ ἔσχατον ἄνω, καὶ αὐτὸ τὸ ἔσχατον· καὶ διὰ τοῦτο δοκεῖ ἐπίπεδόν τι εἶναι καὶ οἷον ἀγγεῖον ὁ τόπος καὶ περιέχον. ἔτι ἅμα τῷ πράγματι ὁ τόπος· ἅμα γὰρ τῷ πεπερασμένῳ τὰ πέρατα.

'Ωι μὲν οὖν σώματι ἔστι τι ἐκτὸς σῶμα περιέχον αὐτό, **5**
τοῦτο ἔστιν ἐν τόπῳ, ᾧ δὲ μή, οὔ. διὸ κἂν ὕδωρ γένηται τοιοῦτο, τὰ μὲν μόρια κινήσεται αὐτοῦ (περιέχεται γὰρ ὑπ' ἀλλήλων), τὸ δὲ πᾶν ἔστι μὲν ὡς κινήσεται ἔστι δ' ὡς οὔ. ὡς μὲν γὰρ ὅλον, ἅμα τὸν τόπον οὐ μεταβάλλει, κύκλῳ
212b δὲ κινεῖται—τῶν μορίων γὰρ οὗτος ὁ τόπος—καὶ ἄνω μὲν καὶ κάτω οὔ, κύκλῳ δ' ἐνια· τὰ δὲ καὶ ἄνω καὶ κάτω, ὅσα

[a] 14 κενὸν ὄν scripsi : ὂν κενὸν S : κενὸν Π 15 καὶ ES : om. ΛT 16 κινῆται EFGJP^{c}S : τι κινῆται IP^{b} μεταβάλλει fort. G 17 ὡς] ὡς ἐν I 18 ἀκίνητος EGIJS : ἀκίνητον FP εἶναι ὁ τόπος EFPT : ὁ τόπος εἶναι GIJ 19 τόπος ἐστιν ὅτι IP ὁ πᾶς EFIJ^{1}S : ἅπας GP : ὁ ἅπας J^{2} 21 τὸ pr. om. I 24 κύκλῳ FGIS^{p} : κύκλου EJVP 25 ἐστι φύσει EFP : φύσει ἐστὶ GIJ 27–8 ἄνω . . . καὶ pr. E^{2}ΛVS : om. E^{1} 28 τι] τε G 29 περιέχων F πράγματι E^{1}FVT : πράγματί πως E^{2}GIJPS 30 τῷ πεπερασμένῳ EFJ^{2}V : om. GIJ^{1}PST πέρατα EFVPST : πέρατα καὶ ὁ τόπος GIJ 31 ὡς E^{2} σῶμα] τὸ S^{c} : σῶμα τὸ S^{p} 32 ἔστιν ἐν τόπῳ EFPS : ἐν τόπῳ ἐστὶν GIJ 35 ὡς FGIPS : ὥστε E : ἔσται J [b] 1 κινεῖται E^{1}VPST : κινήσεται E^{2}Λ ὁ ΠP : om. ST 2 ἔνια· τὰ] ἔνια· ἔνια P : ἔνια fort. S : τὰ γρ. S καὶ om. PT ἄνω καὶ κάτω EFPT : κάτω καὶ ἄνω GIJ

başka bir şeyin, bir aralığın, ara-nesnenin varlığı olası. Havanın cisimden bağımsız düşünülmesi de [bu görüşü] destekliyor. Nitekim yer yalnızca kabın sınırları diye değil, aynı zamanda boşmuş gibi düşünülen ara-nesne olarak da görülüyor. Nasıl, kap taşınabilen bir yer ise aynı şekilde yer de taşınamayan bir kap. Bunun için ırmaktaki tekne gibi devinen bir nesnenin içinde olan bir şey devindiğinde ve değiştiğinde o şey kendini saran nesneyi bir 'yerden' çok, bir kap olarak kullanır. Oysa yerin devinimsiz olması gerekiyor, bunun için daha çok ırmağın tümü 'yer', çünkü bütün olarak ırmak devinimsiz. Dolayısıyla saran nesnenin doğrudan/ilk devinimsiz sınırı, işte yer bu. Bu yüzden bize göre olan gökyüzünün ortası ve çember biçimindeki yer değiştirmenin sınırını herkes kendine özgü biçimiyle biri yukarı öteki aşağı diye düşünüyor; çünkü gökyüzünün ortası hep duruyor, çembersel devinimin sınırı ise nasılsa öyle kalıyor. Dolayısıyla hafif, doğa gereği yukarı; ağır ise aşağı giden şey olduğundan merkezi ortaya göre saran sınır aşağıdadır ve kendisi de sınırdır; uç noktaya göre saran ise yukarıdadır ve kendisi de uç sınırdır. İşte bu yüzden yer, bir yüzey, kap gibi bir şey, saran bir şey diye düşünülüyor. Ayrıca yer nesneyle birlikte, çünkü sınır sınırlananla birlikte.

5 Demek ki dışında onu saran bir cisim olan cisim bir yerdedir, [onu saran bir cisim] yoksa [bir yerde] değildir. Bunun için su böyle bir şey olsa, onun parçaları devinecektir (çünkü parçalar birbirini sarıyor) ama 'bütün' bir anlamda devinecek bir anlamda devinmeyecektir. Çünkü bütün olarak yer değiştirmez ama yine de çember biçiminde devinir -çünkü 'bütün', parçaların yeri-, kimi parçaları yukarı ve aşağı değil, çember biçiminde devinir; yoğunluğu

4. 212ª 11 — 5. 212ᵇ 31

ἐχει πύκνωσιν καὶ μάνωσιν. ὥσπερ δ' ἐλέχθη, τὰ μέν ἐστιν ἐν τόπῳ κατὰ δύναμιν, τὰ δὲ κατ' ἐνέργειαν. διὸ ὅταν μὲν συνεχὲς ᾖ τὸ ὁμοιομερές, κατὰ δύναμιν ἐν τόπῳ τὰ μέρη, ὅταν δὲ χωρισθῇ μὲν ἅπτηται δ' ὥσπερ σωρός, κατ' ἐνέργειαν. καὶ τὰ μὲν καθ' αὑτά (οἷον πᾶν σῶμα ἢ κατὰ φορὰν ἢ κατ' αὔξησιν κινητὸν καθ' αὑτό που, ὁ δ' οὐρανός, ὥσπερ εἴρηται, οὗ που ὅλος οὐδ' ἐν τινι τόπῳ ἐστίν, εἴ γε μηδὲν αὐτὸν περιέχει σῶμα· ἐφ' ᾧ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἔστι τοῖς μορίοις· ἕτερον γὰρ ἑτέρου ἐχόμενον τῶν μορίων ἐστίν)· τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ ψυχὴ καὶ ὁ οὐρανός· τὰ γὰρ μόρια ἐν τόπῳ πως πάντα· ἐπὶ τῷ κύκλῳ γὰρ περιέχει ἄλλο ἄλλο. διὸ κινεῖται μὲν κύκλῳ τὸ ἄνω, τὸ δὲ πᾶν οὔ που. τὸ γάρ που αὐτό τέ ἐστί τι, καὶ ἔτι ἄλλο τι δεῖ εἶναι παρὰ τοῦτο ἐν ᾧ, ὃ περιέχει· παρὰ δὲ τὸ πᾶν καὶ ὅλον οὐδέν ἐστιν ἔξω τοῦ παντός, καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα· ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως. ἔστι δ' ὁ τόπος οὐχ ὁ οὐρανός, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος [πέρας ἠρεμοῦν]. καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δ' ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ αἰθέρι, ὁ δ' αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς οὐκέτι ἐν ἄλλῳ.

φανερὸν δ' ἐκ τούτων ὅτι καὶ αἱ ἀπορίαι πᾶσαι λύονται ἂν οὕτω λεγομένου τοῦ τόπου. οὔτε γὰρ συναύξεσθαι ἀνάγκη τὸν τόπον, οὔτε στιγμῆς εἶναι τόπον, οὔτε δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ, οὔτε διάστημά τι εἶναι σωματικόν (σῶμα γὰρ τὸ μεταξὺ τοῦ τόπου τὸ τυχόν, ἀλλ' οὐ διάστημα σώματος). καὶ ἔστιν ὁ τόπος καὶ πού, οὐχ ὡς ἐν τόπῳ δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ. οὐ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα. καὶ φέρεται δὴ εἰς τὸν αὑτοῦ τόπον ἕκαστον εὐλόγως (ὃ γὰρ ἐφεξῆς καὶ ἁπτόμενον μὴ βίᾳ, συγγενές· καὶ συμπεφυκότα

ᵇ 3 δ' EFGJS : γάρ T : om. I ἐλέγομεν fecit E 7 αὑτὰ EJPST : αὐτὸ FGI κατ' ES : om. ΔP 10 ὃ EJPS Maximus 13 τὸ EGIS περιέχει om. E¹ ἄλλο ἄλλω I 14 μέν om. IJP κύκλῳ μόνον τὸ GIP 16 ὃ περιέχει FGIJ¹VPS : περιέχεται EJ² et ut vid. T ἔξωθεν Λ 18 ὁ pr. om. PSᶜ 19 πέρας ἠρεμοῦν ΛP : om. EVST 21 οὗτος δ'] ὁ δ' ἀὴρ S 22 ὅτι om. F 23 λύονται οὕτω PT 24 εἶναι τὸν τόπον I 25 οὐδὲ GIT ἐν ΛT : ἐστιν ἐν E τόπῳ om. F οὐδὲ GI : οὐ γὰρ T 28 δὲ om. F 29 τὸ ὂν ἐν τόπῳ E²GIVPT : ἐν τόπῳ τὸ ὂν FS : ἐν τόπῳ E¹ 30 ἕκαστον om. E ὃ FIPT : ᾧ EGJ

ve seyrekliği olan parçaları ise yukarı ve aşağı.[29] Dediğimiz gibi, kimi nesneler olanak halinde bir yerde kimi nesnelerse etkinlik halinde. Bunun için eşparçalı bir cisim sürekli olduğundan parçaları olanak halinde bir yerde, bir [kum] yığını gibi parçalar birbirinden ayrı ama birbirine bitişik olduğunda etkinlik halinde. Yine kimi nesneler 'kendinde' [bir yerde] (sözgelişi ya yer değiştirme ya da büyüme açısından devinebilen her cisim 'kendinde' bir yerde, oysa dediğimiz gibi, hiçbir cisim onu sarmıyorsa evren gökyüzü, bütün olarak herhangi bir yerde değil, belli bir yerde de değil, ama yine de parçaları için yer olması açısından onda devinim var, çünkü farklı parçalardan herbiri bir başkasına bitişik); kimi nesnelerse ilineksel anlamda [bir yerde], sözgelişi ruh ve gökyüzü-evren: nitekim bunların parçaları bir biçimde bir yerde, çünkü çember içinde herbiri ötekini sarıyor, bunun için yukardaki parça çember biçiminde deviniyor; 'bütün' ise bir yerde değil; çünkü 'bir yerde'nin kendisi de bir şey, ayrıca onu saran nesnedekinin dışında başka bir şeyin olması gerekir. Ne ki 'herşey' ile 'bütün'ün dışında herşeyin ötesinde hiçbir şey yok, bu yüzden de bütün nesneler evrende-gökyüzünde, çünkü evren-gökyüzü herşey. Ne ki yer, evren değil, evrenin -gökyüzünün sınırı olarak, devinen cisme bitişik olan bir şey. Bunun için de yeryüzü suyun içinde, su havanın içinde, hava aitherin (ateşin)[30] içinde, aither gökyüzünün- evrenin içinde, gökyüzü artık başka bir şeyin içinde değil.

Bunlardan çıkan şu: yer şu biçimde belirlendikte bütün sorunlar çözülebilecektir: yerin büyümesi, bir noktanın yerinin olması, aynı yerde iki cismin olması, cisimsel bir ara-nesnenin olması zorunlu değil (çünkü yerin ortası cisimdeki bir aralık değil, herhangi bir cisim). Öte yandan yer herhangi bir yerde ama 'bir yerde' anlamında değil, sınırlanan nesnedeki sınır anlamında. Çünkü her varolan değil, yalnızca devinebilen cisim bir yerde. Yine her nesnenin kendi [doğal] yerine gitmesi akla uygun (çünkü bir zorlama olmadan birbirine ardışık olup bitişen şey aynı cinstendir.

μὲν ἀπαθῆ, ἁπτόμενα δὲ παθητικὰ καὶ ποιητικὰ ἀλλήλων)· καὶ μένει δὴ φύσει πᾶν ἐν τῷ οἰκείῳ τόπῳ οὐκ ἀλόγως· καὶ γὰρ τὸ μέρος, τὸ δὲ ἐν [τῷ] τόπῳ ὡς διαιρετὸν μέρος πρὸς ὅλον ἐστίν, οἷον ὅταν ὕδατος κινήσῃ τις μόριον ἢ ἀέρος. οὕτω δὲ καὶ ἀὴρ ἔχει πρὸς ὕδωρ· οἷον ὕλη γάρ, τὸ δὲ εἶδος, τὸ μὲν ὕδωρ ὕλη ἀέρος, ὁ δ' ἀὴρ οἷον ἐνέργειά τις ἐκείνου· τὸ γὰρ ὕδωρ δυνάμει ἀήρ ἐστιν, ὁ δ' ἀὴρ δυνάμει ὕδωρ ἄλλον τρόπον. διοριστέον δὲ περὶ τούτων ὕστερον· ἀλλὰ διὰ τὸν καιρὸν ἀνάγκη μὲν εἰπεῖν, ἀσαφῶς δὲ νῦν ῥηθὲν τότ' ἔσται σαφέστερον. εἰ οὖν τὸ αὐτὸ [ἡ] ὕλη καὶ ἐντελέχεια (ὕδωρ γὰρ ἄμφω, ἀλλὰ τὸ μὲν δυνάμει τὸ δ' ἐντελεχείᾳ), ἔχοι ἂν ὡς μόριόν πως πρὸς ὅλον. διὸ καὶ τούτοις ἀφὴ ἔστιν· σύμφυσις δέ, ὅταν ἄμφω ἐνεργείᾳ ἓν γένωνται. καὶ περὶ μὲν τόπου, καὶ ὅτι ἔστι καὶ τί ἐστιν, εἴρηται.

Τὸν αὐτὸν δὲ τρόπον ὑπολητέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι καὶ περὶ κενοῦ, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἔστι, καὶ τί ἐστιν, ὥσπερ καὶ περὶ τόπου· καὶ γὰρ παραπλησίαν ἔχει τὴν τε ἀπιστίαν καὶ τὴν πίστιν διὰ τῶν ὑπολαμβανομένων· οἷον γὰρ τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες, δοκεῖ δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον οὗ δεκτικόν ἐστιν, ὅταν δὲ στερηθῇ, κενόν, ὡς τὸ αὐτὸ μὲν ὂν κενὸν καὶ πλῆρες καὶ τόπον, τὸ δ' εἶναι αὐτοῖς οὐ ταὐτὸ ὄν. ἄρξασθαι δὲ δεῖ τῆς σκέψεως λαβοῦσιν ἃ τε λέγουσιν οἱ φάσκοντες εἶναι καὶ πάλιν ἃ λέγουσιν οἱ μὴ φάσκοντες, καὶ τρίτον τὰς κοινάς 6

[b] 32 ποιητικὰ καὶ παθητικὰ VP et ut vid. ST 33 πᾶν om. PT add. ἕκαστον post πᾶν E, post τόπῳ IJT 34 οὐκ . . . τόπῳ om. G οὐκ ἀλόγως] εὐλόγως E^2IJVP μέρος, τὸ δὲ scripsi cum PV : μέρος τόδε EFIJ τῷ seclusi, om. P : ὅλῳ τῷ F : τῷ ὅλῳ E^2IJ 35 ὅταν] εἰ I κινήσῃ τι E^2F : τις κινήσῃ GJ : τις κινήσει I 213[a] 1 ἀὴρ E^1P : ὁ ἀὴρ E^2ΛS 2 γὰρ . . . ὕλη E^2ΛS : om. E^1 ἀέρος ὕλη F οἷον om. E^1 3 γάρ] δὲ I ἐστὶν ἀὴρ GIJS 6 λεχθὲν GIJ ἐστὶ E^2 ἡ seclusi, om. ut vid. P^p : habent ΠP^1 7 καὶ E et ut vid. P^p : καὶ ἡ ΛP^1 ὕδωρ ΛP : ἔχει ὕδωρ E 9 δέ ἐστιν ὅταν E^1 ἐνεργείᾳ ἐγγένηται E^2 10 γένηται F τόπου EGIJS : τοῦ τόπου FT 13 ἢ μὴ om. E^2 καὶ πῶς ἔστι ΛPS : om. E καὶ ST : ἢ Π 14 γὰρ om. E^1 τὴν . . . 15 καὶ om. F : τε om. E^1P 16 τόπον τινα EGIJP : τινα τόπον F : τόπον S 17 δ' εἶναι πλῆρες μὲν GIJP 18 ὡς om. E^1 κενὸν om. F 19 ταὐτόν. ἄρξασθαι IJ 20 τῆς om. F λαβοῦσιν ex λαμβάνουσιν fecit J[1] : λαβοῦσης G ἃ om. E^1 21 φάσκοντες εἶναι καὶ E^2Λ κοινὰς δοξὰς περὶ αὐτῶν Λ : περὶ αὐτῶν κοινὰς δόξας S

[Doğaca birlikte olan nesnelerde etkilenme sözkonusu değildir, [yalnızca] bitişik olan nesneler birbirlerini etkileyip birbirlerinden etkilenir). Yine her şeyin doğa gereği kendine özgü yerinde kalması da akla aykırı değil, parçası da öyle; ama bütün açısından ayrık parça olarak bir yerdedir: sözgelişi biri suyun ya da havanın bir kısmını devindirdiğinde [parça doğal yerine dönmeye çalışır]. Biri madde, öteki biçim olarak alındıkta havanın suyla ilgisi de böyle: su havanın maddesi, hava ise suyun bir etkinlik durumu, çünkü su olanak durumunda havadır, oysa havanın durumunda su olmasının tarzı başka. Ne ki bunlar üzerine ilerde belirleme yapmak gerekiyor. Şu anda öylesine sözetmek zorundaydık, ama söylediğimiz şey şimdi pek açık değil, ilerde daha açık olacak. Demek ki, aynı nesne hem madde hem gerçeklik ise (nitekim su herikisi de, biri olanak durumunda öteki gerçeklik) o bir biçimde bütün açısından parça olsa gerek. Bunun için bunlarda yalnızca bir dokunma var; ama herikisi de etkinlik durumunda bir olsalar aralarında doğa birliği olur. İmdi yer üzerine, varlığını ve ne olduğunu söylemiş olduk.

6 Yer üzerine olduğu gibi aynı tarzda boşluk üzerine de, "var mı yok mu, nasıl var, ne?" diye düşünmek gerekiyor, nitekim boşluğun olduğu ya da olmadığı inancı çıkış noktaları açısından [yerinkiyle] bir yakınlık taşıyor. Boşluğun varlığını savunanlar onu bir tür yer, bir kap gibi kabul ediyorlar: boşluk, alabildiği kütleyi taşıdığında 'dolu', o kütleden yoksun olduğunda 'boş' diye düşünülüyor. Sanki 'boş', 'dolu', 'yer' aynı şey; bunların varlığı ise aynı şey değil. Demek ilkin boşluğun varolduğunu savunanların dediklerini, sonra olmadığını savunanların dediklerini, üçüncüleyin de bunlar

φασι δέχεσθαι μετὰ τῶν ἀσκῶν τοὺς πίθους, ὡς εἰς τὰ ἐνόντα κενὰ συνιόντος τοῦ πυκνουμένου σώματος. ἔτι δὲ καὶ ἡ αὔξησις δοκεῖ πᾶσι γίγνεσθαι διὰ κενοῦ· τὴν μὲν γὰρ τροφὴν σῶμα εἶναι, δύο δὲ σώματα ἀδύνατον ἅμα εἶναι. μαρτύριον δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται, ἣ δέχεται ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον τὸ κενόν. εἶναι δ' ἔφασαν καὶ οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινὸς τῶν ἐφεξῆς καὶ [τῆς] διορίσεως· καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν. ἐξ ὧν μὲν οὖν οἱ μέν φασιν εἶναι οἱ δ' οὔ φασι, σχεδὸν τοιαῦτα καὶ τοσαῦτά ἐστιν.

Πρὸς δὲ τὸ ποτέρως ἔχει δεῖ λαβεῖν τί σημαίνει τοὔνομα. δοκεῖ δὴ τὸ κενὸν τόπος εἶναι ἐν ᾧ μηδέν ἐστι. τούτου δ' αἴτιον ὅτι τὸ ὂν σῶμα οἴονται εἶναι, πᾶν δὲ σῶμα ἐν τόπῳ, κενὸν δὲ ἐν ᾧ τόπῳ μηδέν ἐστι σῶμα, ὥστ' εἴ που μὴ ἔστι σῶμα, οὐδὲν εἶναι ἐνταῦθα. σῶμα δὲ πάλιν ἅπαν οἴονται εἶναι ἁπτόν· τοιοῦτο δὲ ὃ ἂν ἔχῃ βάρος ἢ κουφότητα. συμβαίνει οὖν ἐκ συλλογισμοῦ τοῦτο εἶναι κενόν, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. ταῦτα μὲν οὖν, ὥσπερ εἴπομεν καὶ πρότερον, ἐκ συλλογισμοῦ συμβαίνει. ἄτοπον δὲ εἰ ἡ στιγμὴ κενόν· δεῖ γὰρ τόπον εἶναι ἐν ᾧ σώματός ἐστι διάστημα ἁπτοῦ. ἀλλ' οὖν φαίνεται λέγεσθαι τὸ κενὸν ἕνα μὲν τρόπον τὸ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν· αἰσθητὸν δ' ἐστὶ κατὰ τὴν ἁφὴν τὸ βάρος ἔχον ἢ κουφότητα (διὸ κἂν ἀπορήσειέ τις, τί ἂν φαῖεν, εἰ ἔχοι τὸ διά-

[b] 17 *μετὰ τῶν ἀσκῶν δέχεσθαι* Λ 18 *συνιόντος* ΠΤ : *συνιζάνοντος* S 19 *δοκεῖ γίγνεσθαι πᾶσιν* FGJSᵖ : *πᾶσι δοκεῖ γίγνεσθαι* Sˡ 20 *εἶναι σῶμα* Λ 21 *ἡ*] *εἰ* S 22 *ἴσον* om. F *τὸ κενόν*] *κενὸν ὄν* S.: *κενόν* T 23 *αὐτὸ* EFIJT : *αὐτῷ* GPˡS Stobaeus 24 *πνεύματος* E²ΛPˡ Stobaeus : *πνεῦμα* Tennemann : *πνεῦμά τε* Diels, fort. E *ὡς*] *ὡς ἂν* FGIP 26 *τῆς* ΠPS : secl. Bonitz 27 *διορίζει* F et fecit J *ὧν μὲν*] *μὲν ὧν* sed erasit F 28 *φασι* om. I *σχεδὸν* . . . 32 *εἶναι* sup. lituram. E² 28 *τοιαῦτα καὶ* (*τε καὶ* E²) *τοσαῦτα* E²FS : *τοσαῦτα καὶ τοιαῦτα* GIJ 29 *ἐστιν* om. E² 31 *εἶναι* om. F *τοῦτο* J 32 *τὸ* om. J *οἷόν τε* E² 33 *ἐστι* om. G 34 *οὐδὲν* EGIJVS : *κενὸν* F 214ª 1 *οἷόν τε* EG *ἐὰν* E 3 *ἢ* EVPST : *τι ἡ* Λ 5 *ᾧ* E¹FPS : *ᾗ τόπῳ* E²GIJ 7 *μὴ πλῆρες αἰσθητοῦ*] *πλῆρες αἰσθητοῦ γρ.* A *γρ.* S : *πλῆρες ἀναισθήτου γρ.* A 8 *αἰσθητὸν* . . . *ἁφὴν* om. E *ἡ* EP : *καὶ* Λ 9 *ἀπορήσει* E

yarapla birlikte tulumu da alabilir, çünkü sert cisim yoğunlaşınca içindeki boşluğa çekilir. Öte yandan herkes büyümenin de boşluktan ötürü oluştuğunu düşünüyor, nitekim yemek bir cisim, iki cismin aynı anda birlikte olması olanaksız. Kanıt diye sünger ile ilgili olayı da kullanıyorlar, nitekim sünger boş kabın aldığı kadar su alıyor. Phythagorascılar da boşluğun varlığını ileri sürdüler. [Onlara göre] boşluk, "sonsuz nefes aracılığıyla" sanki nefes alan evren-gökyüzüne yayılıyor ve doğaları ayıran, boşluk. Sanki boşluk birbiri peşisıra giden nesneleri ayıran, onların sınırını çizen bir varlık. Bu da ilkin sayılarda oluyormuş, çünkü boşluk onların doğasını sınırlıyormuş. Demek ki boşluğun varolduğunun ve varolmadığının savunulma nedenleri yaklaşık bunlar ve sayıca bu kadar.

7 Ne ki, hangisi olduğunu çözmek için adı ne imliyor, bunu ele almak gerekiyor. İmdi şöyle düşünülüyor: boşluk, içinde hiçbir şey olmayan yerdir. Böyle düşünülmesinin nedeni de şuna inanılması: varolan bir cisimdir, her cisim bir yerdedir, 'boş', içinde hiçbir cisim olmayan yerdir, dolayısıyla herhangi bir yerde bir cisim yoksa orada hiçbir şey yoktur. Bir de her cismin dokunulur olduğuna inanılıyor, böyle bir şeyse ağırlık-hafiflik taşıyan şey. Demek ki bir tasımla çıkan şu: boşluk, içinde 214a
ağır ya da hafif bir şey bulunmayan şey. Az önce de dediğimiz gibi bunlar bir tasımla çıkıyor. Ne ki nokta boş ise bu garip, çünkü bu durumda dokunulur bir cisim aralığı bulunan bir yer olması gerekir. Demek ki bir tarzda boşluktan kastedilen şöyle görünüyor: dokunma açısından duyulur bir cisimle dolu olmayan şey. Dokunma açısından dolu olan ise ağırlık ya da hafiflik taşıyan nesne (bunun için şu da sorulabilir:

6. 213b 17 — 7. 214b 2

στημα χρῶμα ἢ ψόφον, πότερον κενὸν ἢ οὔ; ἢ δῆλον ὅτι εἰ μὲν δέχοιτο σῶμα ἀπτόν, κενόν, εἰ δὲ μή, οὔ)· ἄλλον δὲ τρόπον, ἐν ᾧ μὴ τόδε τι μηδ' οὐσία τις σωματική. διό φασίν τινες εἶναι τὸ κενὸν τὴν τοῦ σώματος ὕλην (οἵπερ καὶ τὸν τόπον τὸ αὐτὸ τοῦτο), λέγοντες οὐ καλῶς· ἡ μὲν γὰρ ὕλη οὐ χωριστὴ τῶν πραγμάτων, τὸ δὲ κενὸν ζητοῦσιν ὡς χωριστόν.

ἐπεὶ δὲ περὶ τόπου διώρισται, καὶ τὸ κενὸν ἀνάγκη τόπον εἶναι, εἰ ἔστιν, ἐστερημένον σώματος, τόπος δὲ καὶ πῶς ἔστι καὶ πῶς οὐκ ἔστιν εἴρηται, φανερὸν ὅτι οὕτω μὲν κενὸν οὐκ ἔστιν, οὔτε κεχωρισμένον οὔτε ἀχώριστον. τὸ γὰρ κενὸν οὐ σῶμα ἀλλὰ σώματος διάστημα βούλεται εἶναι· διὸ καὶ τὸ κενὸν δοκεῖ τι εἶναι, ὅτι καὶ ὁ τόπος, καὶ διὰ ταὐτά. ἥκει γὰρ δὴ ἡ κίνησις ἡ κατὰ τόπον καὶ τοῖς τὸν τόπον φάσκουσιν εἶναί τι παρὰ τὰ σώματα τὰ ἐμπίπτοντα καὶ τοῖς τὸ κενόν. αἴτιον δὲ κινήσεως οἴονται εἶναι τὸ κενὸν οὕτως ὡς ἐν ᾧ κινεῖται· τοῦτο δ' ἂν εἴη οἷον τὸν τόπον φασί τινες εἶναι. οὐδεμία δ' ἀνάγκη, εἰ κίνησις ἔστιν, εἶναι κενόν. ὅλως μὲν οὖν πάσης κινήσεως οὐδαμῶς, δι' ὃ καὶ Μέλισσον ἔλαθεν· ἀλλοιοῦσθαι γὰρ τὸ πλήρες ἐνδέχεται. ἀλλὰ δὴ οὐδὲ τὴν κατὰ τόπον κίνησιν· ἅμα γὰρ ἐνδέχεται ὑπεξιέναι ἀλλήλοις, οὐδενὸς ὄντος διαστήματος χωριστοῦ παρὰ τὰ σώματα τὰ κινούμενα. καὶ τοῦτο δῆλον καὶ ἐν ταῖς τῶν συνεχῶν δίναις, ὥσπερ καὶ ἐν ταῖς τῶν ὑγρῶν. ἐνδέχεται δὲ καὶ πυκνοῦσθαι μὴ εἰς τὸ κενὸν ἀλλὰ διὰ τὸ τὰ ἐνόντα ἐκπυρηνίζειν (οἷον ὕδατος συνθλιβομένου τὸν ἐνόντα ἀέρα), καὶ αὐξάνεσθαι οὐ μόνον εἰσιόντος τινὸς ἀλλὰ καὶ ἀλλοιώσει,

[a] 11 *κενόν* EPS : *κενὸν εἶναι* Λ 12 *μὴ τόδε* ΛP^{p}ST : *μηδὲν τόδε* E : *μηδὲν* P^{1} *τι*] *ἔστι* IPT : *τί ἐστιν* S 13 *τῶν σωμάτων* F 14 *οὔ*] *ὡς* E 15 *σωμάτων* F 16 *ὡς χωριστόν* ΛV et ut vid. PST : om. E *δὲ καὶ περὶ* F *τόπου* G : *τοῦ τόπου* IPS *τόπον ἀνάγκη εἶναι* GIJP : *τόπον εἶναι ἀνάγκη* F 18 *ἔστι καὶ πῶς* om. E : *πῶς* om. F 19 *κεχωρισμένον οὔτε ἀχώριστον* ΛVPS : *ἀχώριστον οὔτε κεχωρισμένον* E : *χωριστὸν οὔτε κεχωρισμένον* T 20 *βούλεται* E^{1}FP : *βούλονται* E^{2}GIJVS 22 *εἶκει* E^{1} *δὴ ἡ* fecit E 23 *τὰ* alt. om. E^{1}S 24 *δὲ* ΠP^{p} : *δὲ τῆς* P^{1}T *τὸ κενὸν εἶναι* F : *τὸ κενὸν* P 26 *εἰ*] *εἶναι εἰ* I *ἔσται κίνησις* F *εἶναι καὶ κενὸν* G 27 *κινήσεως οἰδαμῶς ἁπάσης* G *ἁπάσης* E^{2}FIJ 28 *ἐνδέχεται τὸ πλῆρες* Λ 29 *ὑπεξιέναι ἀλλήλοις ἐνδέχεται* Λ 30 *περὶ* GJ^{2} 31 *τὰ* om. E^{1} 32 *καὶ* om. S

[b] 1 *θλιβομένου* E^{1} 2 *αὔξεσθαι* S

renk ya da sesin aralığı olsa ne denecek: acaba boş mu, değil mi? Yoksa dokunulur bir cisim alabiliyorsa boştur, alamıyorsa değil, bu açık). Bir başka tarzda ise şöyle: boşluk, içinde ne belli bir nesne ne de cisimsel bir varlık bulunan şeydir. Bunun için bazı kişiler "boşluk cismin maddesidir" diyor (yerin de bu aynı şey olduğunu savunanlar bunlar), oysa dedikleri yerinde değil, çünkü madde nesnelerden ayrılamaz, boşluğu ise ayrı-başına bir şey olarak inceliyorlar.

Yer konusunda belirtmiştik: boşluk varsa onun cisimden bağımsız bir yer olması zorunlu; yerin bir anlamda varolduğunu bir anlamda ise varolmadığını da söylediydik. Buna göre şu çıkıyor: aynı şekilde boşluk da ne ayrılmış bir şey olarak ne de ayrılamayan bir şey olarak var, çünkü boşluk bir cisim değil, cisim aralığı, bu gerekiyor. Bunun için bir şey olmasını düşündüren nedenler yerinkiyle aynı. Nitekim yere göre devinim hem yerin, içinde bulunan cisimlerin dışında bir şey olduğunu ileri sürenler için destek, hem de boşluğun. Berikiler boşluğun, içinde devinim olan şey olduğu için devinim nedeni olduğuna inanıyor. Bu da yerin varolduğunu savunanların dayanağına benziyor. Oysa devinim varsa boşluğun da olması hiç zorunlu değil. Dahası Melissos'un da gözünden kaçan nedenden ötürü genelde her devinim hiçbir zaman [boşluğa] bağlı değil; nitekim 'dolu olan'ın nitelik değiştirmesi olası. Kaldı ki yere göre devinim de [boşluğa] bağlı değil, çünkü devinen nesnelerin dışında ayrı-başına hiçbir aralık bulunmaksızın nesnelerin aynı anda birlikte düşmesi olası. Bu sudaki girdap gibi sürekli nesnelerin dönüşlerinde de açık. Sıklaşma boşluğa doğru çekilmeyle değil, nesnenin içindeki bir şeyin basıncıyla da olabilir (tıpkı su basınca içerdeki havanın çıkması gibi), genleşme 214b
de yalnızca bir nesnenin içeri girmesiyle değil, bir nitelik değiştirmeyle

οἷον εἰ ἐξ ὕδατος γίγνοιτο ἀήρ. ὅλως δὲ ὅ τε περὶ τῆς αὐξήσεως λόγος καὶ τοῦ εἰς τὴν τέφραν ἐγχεομένου ὕδατος αὐτὸς αὑτὸν ἐμποδίζει. ἢ γὰρ οὐκ αὐξάνεται ὁτιοῦν, ἢ οὐ σώματι, ἢ ἐνδέχεται δύο σώματα ἐν ταὐτῷ εἶναι (ἀπορίαν οὖν κοινὴν ἀξιοῦσι λύειν, ἀλλ' οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν), ἢ πᾶν εἶναι ἀναγκαῖον τὸ σῶμα κενόν, εἰ πάντῃ αὐξάνεται καὶ αὐξάνεται διὰ κενοῦ. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς τέφρας. ὅτι μὲν οὖν ἐξ ὧν δεικνύουσιν εἶναι τὸ κενὸν λύειν ῥᾴδιον, φανερόν.

Ὅτι δ' οὐκ ἔστιν κενὸν οὕτω κεχωρισμένον, ὡς ἐνίοί φασι, λέγωμεν πάλιν. εἰ γὰρ ἔστιν ἑκάστου φορά τις τῶν ἁπλῶν σωμάτων φύσει, οἷον τῷ πυρὶ μὲν ἄνω τῇ δὲ γῇ κάτω καὶ πρὸς τὸ μέσον, δῆλον ὅτι οὐκ ἂν τὸ κενὸν αἴτιον εἴη τῆς φορᾶς. τίνος οὖν αἴτιον ἔσται τὸ κενόν; δοκεῖ γὰρ αἴτιον εἶναι κινήσεως τῆς κατὰ τόπον, ταύτης δ' οὐκ ἔστιν. ἔτι εἰ ἔστιν τι οἷον τόπος ἐστερημένος σώματος, ὅταν ᾖ κενόν, ποῦ οἰσθήσεται τὸ εἰστεθὲν εἰς αὐτὸ σῶμα; οὐ γὰρ δὴ εἰς ἄπαν. ὁ δ' αὐτὸς λόγος καὶ πρὸς τοὺς τὸν τόπον οἰομένους εἶναί τι κεχωρισμένον, εἰς ὃν φέρεται· πῶς γὰρ οἰσθήσεται τὸ ἐντεθὲν ἢ μενεῖ; καὶ περὶ τοῦ ἄνω καὶ κάτω καὶ περὶ τοῦ κενοῦ ὁ αὐτὸς ἁρμόσει λόγος εἰκότως· τὸ γὰρ κενὸν τόπον ποιοῦσιν οἱ εἶναι φάσκοντες· καὶ πῶς δὴ ἐνέσται ἢ ἐν [τῷ] τόπῳ ἢ ἐν τῷ κενῷ; οὐ γὰρ συμβαίνει, ὅταν ὅλον τεθῇ ὡς ἐν κεχωρισμένῳ τόπῳ καὶ ὑπομένοντι σῶμά τι· τὸ γὰρ μέρος, ἂν μὴ χωρὶς τιθῆται, οὐκ ἔσται ἐν τόπῳ ἀλλ' ἐν τῷ ὅλῳ. ἔτι εἰ μὴ τόπος, οὐδὲ κενὸν ἔσται.

συμβαίνει δὲ τοῖς λέγου-

8

---

[b] 3 γίγνοιτο EGIJP : γένοιτο FS 6 ἢ om. F 7 ἀξιοῦσι κοινὴν ΛS ὡς] ὡς εἰ fecit E 8 τὸ σῶμα ἀναγκαῖον ΛPS εἰ] ἢ fecit E¹ 10 ὅτι] οὕτω G τὸ κενὸν εἶναι ΛS 13 λέγομεν GIJ 15 εἴη αἴτιων Λ τῆς om. E 16 τὸ] κινήσεως τὸ IV 17 ἔστιν αἴτιον. ἔτι F 18 ἐστερημένος EFJPS : ἐστερημένον GI 19 ἐντεθὲν FIP 20 τὸν τόπον] τόπους G οἰομένους εἶναί τι EPS : εἶναί τι οἰομένους Λ 21 ὁ IP φέρεται τὸ φερόμενον. πῶς F γὰρ ΛVPS : om. E τεθὲν FGIAS 23 ὁ αὐτὸς ἁρμόσει λόγος EP : ὁ αὐτὸς λόγος ἁρμόσει F : ἁρμόσει ὁ αὐτὸς λόγος GIJ 24 δὴ E²FGIPS : δεῖ J : om. E¹ ἢ om. S τῷ seclusi, om. PS 25–7 οὐ . . . ὅλῳ ΠPT : om. γρ. S 25 ὅταν ὅλον τεθῇ om. F ὡς FGIS : om. EP : erasit J 26 τόπῳ ὅταν ὅλον τεθῇ καὶ F¹ σώμά τι PᵖSᵖ Pacius : σώματι ΠP¹Sᶜ 27 ἐν pr. EJPS : ἐν τῷ FGI 28 μηδὲ E²Λ οὐδὲν GI συμβαίνει . . . 215ª 1 διαφοράν om. γρ. A

de olabilir: sözgelişi sudan buharın oluşması. Kısaca genleşme ile ilgili ve süngerin aldığı suyla ilgili temellendirme aynı kapıya çıkıyor: ya nesnenin herhangi bir parçası genleşmiyor, ya bir cismin girmesiyle genleşmiyor ya aynı yerde iki cismin olması olası oluyor (bu durumda genel bir sorunu çözmüş oluyorlar ama boşluğun varolduğunu kanıtlamış olmuyorlar) ya da cisim her yanında genleşiyorsa ve boşluktan ötürü genleşiyorsa cismin bütününün boş olması zorunlu. Sünger konusunda da aynı temellendirme geçerli. Demek ki, boşluğun varolduğunu savunmak için kullanılan dayanakları çürütmek kolay, bu açık.

8 Kimilerinin ileri sürdüğü gibi bu biçimde ayrıbaşına boşluk olmadığını yineleyelim: yalın cisimlerden herbirinin yer değiştirmesi doğa gereği ise, diyesim ateşinki yukarı, toprağınki aşağı ve ortaya doğru ise, boşluk yer değiştirmenin nedeni olmaz, bu açık. Öyleyse boşluk hangi [devinimin] nedeni olacak? Yere göre devinimin nedeni olduğu düşünülüyor ama onun nedeni değil. Yine cisimden yoksun bir yer gibi bir şeyse, boşluk olduğu zaman onun içine konan cisim nereye doğru gidecek? Herhalde her yere doğru değil. Bu temellendirme yerin ona doğru gidilen ayrıbaşına bir şey olduğuna inananlara karşı da geçerli: içindeki nesne nasıl yer değiştirecek ya da duraduracak? Yukarı-aşağı ile ilgili aynı temellendirme elbette boşluk konusunda da geçerli olacaktır, çünkü boşluk olduğunu ileri sürenler onu bir yer olarak anlıyorlar. Bir nesne nasıl olacak da ya bir yerde ya da boşluk içinde olacak? 'Bütün', ayrıbaşına ve duraduran bir yerdeki bir cisim diye konuldukta bu sözkonusu olmuyor, çünkü parça ayrı olarak alınmadıkça bir yerde değil, bütünün içinde olacaktır. Yine yer yoksa boşluk da olmayacaktır.

İyi incelendikte "boşluğun varlığı devinimin varolması

7. 214[b] 3 — 8. 215[a] 22

σιν εἶναι κενὸν ὡς ἀναγκαῖον, εἴπερ ἔσται κίνησις, τοὐναντίον μᾶλλον, ἄν τις ἐπισκοπῇ, μὴ ἐνδέχεσθαι μηδὲ ἓν κινεῖ- 30
σθαι, ἐὰν μὴ κενόν· ὥσπερ γὰρ οἱ διὰ τὸ ὅμοιον φάμενοι τὴν γῆν ἠρεμεῖν, οὕτω καὶ ἐν τῷ κενῷ ἀνάγκη ἠρεμεῖν· οὐ γὰρ ἔστιν οὗ μᾶλλον ἢ ἧττον κινηθήσεται· ἢ γὰρ κενόν, οὐκ ἔχει διαφοράν. ἔπειθ' ὅτι πᾶσα κίνησις ἡ βίᾳ ἢ 215[a]
κατὰ φύσιν. ἀνάγκη δὲ ἄν περ ᾖ ⟨ἡ⟩ βίαιος, εἶναι καὶ τὴν κατὰ φύσιν (ἡ μὲν γὰρ βίαιος παρὰ φύσιν, ἡ δὲ παρὰ φύσιν ὑστέρα τῆς κατὰ φύσιν)· ὥστ' εἰ μὴ κατὰ φύσιν ἔστιν ἑκάστῳ τῶν φυσικῶν σωμάτων κίνησις, οὐδὲ τῶν 5
ἄλλων ἔσται κινήσεων οὐδεμία. ἀλλὰ μὴν φύσει γε πῶς ἔσται μηδεμιᾶς οὔσης διαφορᾶς κατὰ τὸ κενὸν καὶ τὸ ἄπειρον; ᾗ μὲν γὰρ ἄπειρον, οὐδὲν ἔσται ἄνω οὐδὲ κάτω οὐδὲ μέσον, ᾗ δὲ κενόν, οὐδὲν διάφορον τὸ ἄνω τοῦ κάτω (ὥσπερ γὰρ τοῦ μηδενὸς οὐδεμία ἔστι διαφορά, οὕτω καὶ τοῦ κενοῦ· 10
τὸ γὰρ κενὸν μὴ ὄν τι καὶ στέρησις δοκεῖ εἶναι). ἡ δὲ φύσει φορὰ διάφορος, ὥστε ἔσται φύσει διάφορα. ἡ οὖν οὐκ ἔστι φύσει οὐδαμοῦ οὐδενὶ φορά, ἢ εἰ τοῦτ' ἔστιν, οὐκ ἔστι κενόν. ἔτι νῦν μὲν κινεῖται τὰ ῥιπτούμενα τοῦ ὥσαντος οὐχ ἁπτομένου, ἢ δι' ἀντιπερίστασιν, ὥσπερ ἔνιοί φασιν, ἢ διὰ 15
τὸ ὠθεῖν τὸν ὠσθέντα ἀέρα θάττω κίνησιν τῆς τοῦ ὠσθέντος φορᾶς ἣν φέρεται εἰς τὸν οἰκεῖον τόπον· ἐν δὲ τῷ κενῷ οὐδὲν τούτων ὑπάρχει, οὐδ' ἔσται φέρεσθαι ἀλλ' ἢ ὡς τὸ ὀχούμενον. ἔτι οὐδεὶς ἂν ἔχοι εἰπεῖν διὰ τί κινηθὲν στήσεταί που· τί γὰρ μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα; ὥστε ἢ ἠρε- 20
μήσει ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι, ἐὰν μή τι ἐμποδίσῃ κρεῖττον. ἔτι νῦν μὲν εἰς τὸ κενὸν διὰ τὸ ὑπείκειν φέ-

[b] 30 *κινεῖσθαι μηδὲν* ΛΤ 33 *οὗ* om. G[1] *ἡ* FT et sup. lin. J : *καὶ* EGIJS *οὐκ* om. G[1] 215[a] 1 *ἔπειθ'* EIVST : *πρῶτον μὲν οὖν* FG et erasum in J *ὅτι* ΛS : *ὅτε ἡ* E *ἢ* pr. ΛVS : *πρῶτον μὲν ὅτι πᾶσα κίνησις ἡ* E *βία κινηθήσεται ἢ* F[1] 2 *ἡ* addidi : om. ΠΡΤ *τὴν* om. F 3 *ἡ . . . φύσιν* om. G *φύσιν ἐστίν, ἡ* E *ἡ δὲ παρὰ φύσιν* om. J[1] 5 *ἑκάστῳ* post *σωμάτων* F 6 *κινήσεων ἔσται* E 7 *τὸ* alt. om. E[1]T 8 *ᾗ* ΛPT : *εἰ* fecit E *ἄνω οὐδὲ κάτω* EV : *κάτω οὐδὲ ἄνω* Λ 9 *ᾗ* ΛPT : *εἰ* fecit E *διαφέρον* E[1] : *διαφέρει* F *τὰ* E *κάτω τοῦ ἄνω* Λ 10 *ἔστι* GJST : *ἔσται* FHI : om. E *κενοῦ* HPST : *μὴ ὄντος* EFGIJ 11 *γὰρ* HST : *δὲ* EFGIJP *καὶ* ΛPST : *καὶ ἡ* E 12 *φύσει* alt. E[1]V : *τὰ φύσει* E[2]ΛP 13 *ἔσται* I *φορὰ οὐδενί* F 14 *τὰ ῥιπτούμενα* om. EP[1]S[1] *οὐχ* ΛST : *μὴ* E 17 *εἰς*] *ἐπὶ* PT 18 *ὑπάρχει* EVST : *ἐνδέχεται ὑπάρχειν* Λ *ἔστι* FH 22 *ἔτι* EHPS : *ἔτι δὲ* FGIJ

koşuluyla zorunludur" diyenler için tam tersi sözkonusu oluyor, diyesim boşluk olsa tek bir nesne bile devinemez. Nasıl eşcinsliliğinden ötürü toprağın durağan olduğu söyleniyorsa aynı şekilde boşlukta da durağanlık zorunlu. Çünkü bir yerden çok başka bir yere doğru devinmek için bir neden yok, boş olduğundan ötürü ayırım taşımıyor. Kaldı ki her devinim ya bir zorla ya da doğa gereği. Zorla devinim varsa doğaya göre devinim de var, bu zorunlu (çünkü zorla devinim, doğaya aykırı devinimdir. Doğaya aykırı devinim doğaya göre olandan sonra gelir). Dolayısıyla doğal cisimlerin herbiri için doğaya göre bir devinim olmasa öteki devinimlerden hiçbiri de olmayacaktır. Ama aralarında hiçbir ayırım yoksa boşluktaki ve sonsuzluktaki doğa gereği [devinim] nasıl olacak? Çünkü biri 'sonsuz' olduğu için yukarısı, aşağısı, ortası olmayacak; öteki 'boş' olduğu için yukarısı ile aşağısının bir ayırımı olmayacak (çünkü 'hiçbirşey'in bir ayırımı yoksa 'boş'un da yok, boşluk varolmayan bir şey ve bir [varlık] yokluğu diye düşünülüyor). Doğa gereği yer değiştirmenin ise bir ayırıcı özelliği var, dolayısıyla ayırım doğa gereği. İmdi ya hiçbir nesne için hiçbir yerde doğa gereği yer değiştirme yok ya da bu varsa boşluk yok. Yine atılan nesneler, atan ona dokunmadığı halde devinmeyi [sürdürüyor]. Bu ya kimilerinin ileri sürdüğü gibi[31] bir tepki yüzünden ya da hava itildiği için atılan cismi kendi doğal yerine götüren devinimden daha hızlı bir devinimle itiyor, bundan. Oysa boşlukta bunlardan hiçbiri olmaz, orada hiçbir yer değiştirme olmayacaktır, meğer ki, bir başkasıyla birlikte alına! Yine niçin devindirilen cisim bir yerde duracak, bunu kimse söyleyemez: niçin şurada değil de burada [duracak]? Dolayısıyla ya cisim durağan kalacak ya da daha güçlü bir nesne engellemedikçe sonsuza değin yer değiştirecek, bu zorunlu. Yine çekiminden ötürü boşluğa doğru gittiği de

ρεσθαι δοκεῖ· ἐν δὲ τῷ κενῷ πάντῃ ὁμοίως τὸ τοιοῦτον, ὥστε
24 πάντῃ οἰσθήσεται.

24 ἔτι δὲ καὶ ἐκ τῶνδε φανερὸν τὸ λεγό-
25 μενον. ὁρῶμεν γὰρ τὸ αὐτὸ βάρος καὶ σῶμα θᾶττον φε-
ρόμενον διὰ δύο αἰτίας, ἢ τῷ διαφέρειν τὸ δι' οὗ, οἷον δι'
ὕδατος ἢ γῆς ἢ δι' ὕδατος ἢ ἀέρος, ἢ τῷ διαφέρειν τὸ φερόμενον,
ἐὰν τἆλλα ταὐτὰ ὑπάρχῃ, διὰ τὴν ὑπεροχὴν τοῦ βάρους ἢ τῆς
κουφότητος. τὸ μὲν οὖν δι' οὗ φέρεται αἴτιον, ὅτι ἐμποδίζει
30 μάλιστα μὲν ἀντιφερόμενον, ἔπειτα καὶ μένον· μᾶλλον δὲ
τὸ μὴ εὐδιαίρετον· τοιοῦτο δὲ τὸ παχύτερον. τὸ δὴ ἐφ' οὗ
215[b] Α οἰσθήσεται διὰ τοῦ Β τὸν ἐφ' ᾧ Γ χρόνου, διὰ δὲ τοῦ Δ
λεπτοτέρου ὄντος τὸν ἐφ' ᾧ Ε, εἰ ἴσον τὸ μῆκος τὸ τοῦ Β
τῷ Δ, κατὰ τὴν ἀναλογίαν τοῦ ἐμποδίζοντος σώματος. ἔστω
γὰρ τὸ μὲν Β ὕδωρ, τὸ δὲ Δ ἀήρ· ὅσῳ δὴ λεπτότερον
5 ἀὴρ ὕδατος καὶ ἀσωματώτερον, τοσούτῳ θᾶττον τὸ Α διὰ
τοῦ Δ οἰσθήσεται ἢ διὰ τοῦ Β. ἐχέτω δὴ τὸν αὐτὸν λόγον
ὃνπερ διέστηκεν ἀὴρ πρὸς ὕδωρ, τὸ τάχος πρὸς τὸ τάχος.
ὥστε εἰ διπλασίως λεπτόν, ἐν διπλασίῳ χρόνῳ τὴν τὸ Β δι-
εισιν ἢ τὴν τὸ Δ, καὶ ἔσται ὁ ἐφ' ᾧ Γ χρόνος διπλάσιος
10 τοῦ ἐφ' ᾧ Ε. καὶ ἀεὶ δὴ ὅσῳ ἂν ᾖ ἀσωματώτερον καὶ ἧττον
ἐμποδιστικὸν καὶ εὐδιαιρετώτερον δι' οὗ φέρεται, θᾶττον οἰ-
σθήσεται. τὸ δὲ κενὸν οὐδένα ἔχει λόγον ᾧ ὑπερέχεται ὑπὸ
τοῦ σώματος, ὥσπερ οὐδὲ τὸ μηδὲν πρὸς ἀριθμόν. εἰ γὰρ τὰ
τέτταρα τῶν τριῶν ὑπερέχει ἑνί, πλείονι δὲ τοῖν δυοῖν, καὶ
15 ἔτι πλείοσι τοῦ ἑνὸς ἢ τοῖν δυοῖν, τοῦ δὲ μηδενὸς οὐκέτι ἔχει

[a] 23 *πάντῃ* ΛP : *παντὶ* E 24 *πάντῃ* EFGHJS : *πάντῃ ὁμοίως* IT *δὲ* FHIJPST : om. EG 25 *τὸ . . . σῶμα*] *τι* vel *σῶμα* Laas *βάρος καὶ* EFGHJP : om. IT 26 *ἢ*] *ἢ εἰ τὸ αὐτὸ βάρος καὶ σχῆμα* Laas *τῷ* FGIJP : *τὸ* EH *διαφερουτι* G *δι'* alt. . . . 27 *ὕδατος* alt. EPT : *δι' ὕδατος ἢ γῆς* Λ : *διὰ γῆς ἢ δι' ὕδατος* S 27 *ἢ δι' ἀέρος* E *τῳ* E[1]FIJPT : *τὸ* E[2]GH 28 *ἢ* E[2]ΔP : om. E[1] 29 *οὖν* om. F 30 *καὶ*] *δὲ καὶ* Λ 31 *δὲ*] *δὴ* I

[b] 1 *ᾧ* EFGJP : *οὗ* HI 2 *λεπτοτέρου* EGST : *λεπτομερούς* FHIP : *λεπτομερ·στέρου* fecit J[1] *τὸν . . .* E om. FGJ[1]P et corr. E *εἰ* om. F : *εἰς* GH et corr. EJ[2] *τοῦ τοῦ* FGHIP : *τοῦ* J : *τῶν* corr. E 3 *τῷ τοῦ δ* H 4 *γαρ*] *μεν γὰρ* FHIJ *μεν* om. F *β τὸ ὕδωρ* H 7 *ἀήρ*] *ὁ ηηρ* FH *πρὸς τὸ ὕδωρ* H *πρὸς τὸ τέλος* G 8 *χρόνῳ* om. H 9 *ὁ* om. E *οὗ* H *διπλάσιον* F : *διπλασίων* H 10 *δὴ* om. F *ᾖ ἀσωματωτερον* ΛP : *ἀσωματώτερον ᾖ* E 11 *καὶ* Λ et fecit E : *ἀλλ* VP *ἀδιαιρετώτερον* I 13 *πρὸς τὸν* H 14 *πλειον* G *δὲ* ΛP : om. E 15 *τοῦ ἑνὸς πλείονι* Λ *δὲ* om. I : an *γε*?

söyleniyor, oysa boşlukta bu çekim her yerde aynı biçimde olacaktır, dolayısıyla her yana gidecektir.

Öte yandan söylediğimiz şey şunlardan da ortaya çıkıyor: görüyoruz ki, aynı ağırlık ve cisim iki nedenden ötürü daha hızlı gidebilir: ya içinden geçtiği nesnenin farklılığından ötürü (sözgelişi su-toprak ya da su-hava) ya da yer değiştiren nesne öteki koşullar aynı kalmasına karşın ağır ya da hafif olması açısından farklıdır, bundan. İçinden geçilen nesne bir neden, çünkü özellikle karşı devinimdeyse nesnenin devinimini engeller; kaldı ki durağan olsa yine engeller. İyi ayrılmamışsa, diyesim, daha sıkıyor [engel] daha çok. Diyelim ki A cismi B nesnesinin içinden C zamanında, daha seyrek D nesnesinin içindense E zamanında geçsin. B ile D aynı uzunlukta ise [zaman], engelleyen cisimlerin orantısına göredir. Nitekim B su, D hava olsun: hava sudan ne denli seyrek ve ne denli cisimden bağımsızsa A'nın D'den geçişi B'den geçişinden o denli hızlı olacaktır. Demek hızlar arasındaki oran hava ile su arasındaki oranın aynı olacaktır. Dolayısıyla seyreklik iki katsa cisim B'yi D'yi geçtiği zamandan iki kat zamanda geçecektir, diyesim C zamanı E zamanının iki katı olacaktır. Her zaman cisim, içinden geçtiği nesne ne denli cisimden bağımsız, ne denli az engelleyici, ne denli seyrekse o denli hızlı geçecektir. Oysa nasıl 'hiçbirşey' [sıfır]ın sayısal bir oranı yoksa boşlukta da cismin aşacağı bir oran yok ki! '4' '3'ten '1' büyükse, '2'den daha da büyükse ve '1'den büyüklüğü '2'den büyüklüğünden de çoksa, '4'ün 'hiçbirşeyi' [sıfırı]

8. 215ᵃ 23 — 216ᵃ 9

λόγον ᾧ ὑπερέχει· ἀνάγκη γὰρ τὸ ὑπερέχον διαιρεῖσθαι εἴς τε τὴν ὑπεροχὴν καὶ τὸ ὑπερεχόμενον, ὥστε ἔσται τὰ τέτταρα ὅσῳ τε ὑπερέχει καὶ οὐδέν. διὸ οὐδὲ γραμμὴ στιγμῆς ὑπερέχει, εἰ μὴ συγκειται ἐκ στιγμῶν. ὁμοίως δὲ καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα οἷόν τε ἔχειν λόγον, ὥστε οὐδὲ τὴν κίνησιν, ἀλλ' εἰ διὰ τοῦ λεπτοτάτου ἐν τοσῳδὶ τὴν τοσήνδε φέρεται, διὰ τοῦ κενοῦ παντὸς ὑπερβάλλει λόγου.

ἔστω γὰρ τὸ Ζ κενόν, ἴσον δὲ [τῷ μεγέθει]] τοῖς Β καὶ Δ. τὸ δὴ Α εἰ δίεισι καὶ κινηθήσεται ἐν τινὶ μὲν χρόνῳ, τῷ ἐφ' οὗ Η, ἐν ἐλάττονι δὲ τοῦ ἐφ' οὗ Ε, τοῦτον ἕξει τὸν λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες. ἀλλ' ἐν τοσούτῳ χρόνῳ ὅσος ἐφ' οὗ τὸ Η, τοῦ Δ τὸ Α δίεισι τὴν τὸ Θ. δίεισι δέ γε κἂν ᾗ τι λεπτότητι διαφέρον τοῦ ἀέρος ἐφ' ᾧ τὸ Ζ ταύτην τὴν ἀναλογίαν ἣν ἔχει ὁ χρόνος ἐφ' ᾧ Ε πρὸς τὸν ἐφ' ᾧ Η. ἂν γὰρ ᾖ τοσούτῳ λεπτότερον τὸ ἐφ' ᾧ Ζ σῶμα τοῦ Δ, ὅσῳ ὑπερέχει τὸ Ε τοῦ ΗΗ, ἀντεστραμμένως δίεισι τῷ τάχει ἐν τῷ τοσούτῳ ὅσον τὸ ΗΗ, τὴν τὸ Ζ τὸ ἐφ' οὗ Α, ἐὰν φέρηται. ἐὰν τοίνυν μηδὲν ᾖ σῶμα ἐν τῷ Ζ, ἔτι θᾶττον. ἀλλ' ἦν ἐν τῷ Η. ὥστ' ἐν ἴσῳ χρόνῳ δίεισι πλῆρές τε ὂν καὶ κενόν. ἀλλ' ἀδύνατον. φανερὸν τοίνυν ὅτι, εἰ ἔστι χρόνος ἐν ᾧ τοῦ κενοῦ ὁτιοῦν οἰσθήσεται, συμβήσεται τοῦτο τὸ ἀδύνατον· ἐν ἴσῳ γὰρ ληφθήσεται πλῆρές τε ὂν διεξιέναι τι καὶ κενόν· ἔσται γάρ τι ἀνάλογον σῶμα ἕτερον πρὸς ἕτερον ὡς χρόνος πρὸς χρόνον. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, δῆλον τὸ τοῦ συμβαίνοντος αἴτιον, ὅτι κινήσεως μὲν πρὸς κίνησιν πάσης ἔστι λόγος (ἐν χρόνῳ

ᵇ 16 διαιρεῖσθαι τὸ ὑπερέχον Λ 17 καὶ εἰς τὸ FGIJ περιεχόμενον G 19 ἐπεὶ I δὲ ΠΣS : δὴ ci. Cornford 22 ἔστω E²ΛPS : τὸ E¹ 23 δὲ] δὲ καὶ CG τῷ μεγέθει E²ΛP : om. E¹V 24 ἐν ... χρόνῳ EGHJP : μὲν ἐν τινὶ χρόνῳ F : ἐν τινὶ χρόνῳ μέν I ἐν om. E¹J¹ 25 τοῦ E¹S : ᾗ τῷ E²² : ᾗ τοῦ Λ ἀφ' I ᾧ G Ε] ε καὶ IJS 26 κενὸν ... πλῆρες ΛV/ : πλῆρες πρὸς τὸ κενόν ES ἀφ' I 27 του] τῆς E²GJP γε EFGIJJSP : om. HS¹ 28 ᾖ] εἰ G ταύτην τὴν] τὴν αὐτὴν H 29 ε EP : τὸ ε Λ τὴν GI ᾧ τὸ η Λ 30 τοῦ ΛP : τοῦ ἐφ' οὗ E 216ᵃ 1 τῷ om. FP, erasit J ὅσος E τὸ Ζ] ζ FGHIP 3 ἦν ΛPS : ᾗ E 4 τοίνυν] οὖν H ἔστι E¹JS : ἔστιι E²FGHIV χρόνος E¹S : τις χρόνος E²ΛVP 5 οἰσθήσεται ΛPS : οἰσθηναι E τι sup. lin. J : δὲ E : om. IS 6 συμβήσεται vel λειχθήσεται ci. Bonitz ὂν om. EPS γάρ ΛP : om. E 7 πρὸς ἕτερον FGHIP : om. EJ ὡς EIJP : ὡς ὁ FGH : ὥσπερ S 8 τοῦ om. E¹ αἴτιόν ἐστιν ὅτι FP

aşacağı bir oran yok. Çünkü 'aşan'ın 'aşan' ile 'aşılan'a ayrılması zorunlu, dolayısıyla '4', aşma oranı ile sıfırın (hiçbirşeyin) toplamı olacaktır. Bunun için çizgi de noktalardan biraraya gelmiş değilse noktayı aşıyor değildir. Aynı şekilde boşluğun da 'dolu' ile hiçbir oranı olamaz, dolayısıyla 'devinim'le de [ilgili değildir]. Ama en seyrek nesnenin içinde belli bir zamanda belli bir yol alınırsa boşluk içinden geçiş her tür oranı aşar.

Diyelim ki, F boşluğu, B ile D nesnelerine büyüklükçe eşit olsun. A [F] boşluğunu E zamanından kısa olan G zamanında geçecek olsa, bu oran [G ile E arasındaki oran] 'boş' ile 'dolu' arasındaki oran olacaktır. Ne ki bu G zamanı ne kadarsa o kadar zamanda A cismi D nesnesinin H parçasını geçer. İmdi havadan seyrek bir nesne varsa bu nesneyi A cismi E'nin G ile oranı kadar bir zamanda geçer. Çünkü E, G zamanını ne kadar aşıyorsa F cismi D cisminden o kadar daha seyrektir. Bu hız açısından bakıldıkta evrik: A cismi devinirse F nesnesini G zamanında geçecektir. Demek ki F nesnesi içinde hiçbir cisim yoksa, daha da çabuk. Oysa o G zamanı içindeydi. Dolayısıyla hem dolu olanı hem de boş olanı aynı zaman içinde geçecek. Bu ise olanaksız. Demek şu açık: herhangi bir nesnenin bir boşluk parçasını geçeceği bir zaman varsa şu olanaksızlık sözkonusu: bir şeyin eşit zaman içinde hem dolu olanı hem de boş olanı geçmesi kabul edilmiş olacak, çünkü bu cisimle bir başkası arasındaki orantı bir zamanla öteki zaman arasındaki orantının aynı olacak. Kısaca özetlemek gerekirse, sözkonusu olan bu durumun nedeni açık: her devinimin bir devinimle ilgisi var

γάρ ἐστι, χρόνου δὲ παντὸς ἔστι πρὸς χρόνου, πεπερασμένων ἀμφοῖν), κενοῦ δὲ πρὸς πλῆρες οὐκ ἔστιν.

ἦ μὲν οὖν διαφέρουσι δι' ὧν φέρονται, ταῦτα συμβαίνει, κατὰ δὲ τὴν τῶν φερομένων ὑπεροχὴν τάδε· ὁρῶμεν γὰρ τὰ μείζω ῥοπὴν ἔχοντα ἢ βάρους ἢ κουφότητος, ἐὰν τἆλλα ὁμοίως ἔχῃ [τοῖς σχήμασι], θᾶττον φερόμενα τὸ ἴσον χωρίον, καὶ κατὰ λόγον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα. ὥστε καὶ διὰ τοῦ κενοῦ. ἀλλ' ἀδύνατον· διὰ τίνα γὰρ αἰτίαν οἰσθήσεται θᾶττον; ἐν μὲν γὰρ τοῖς πλήρεσιν ἐξ ἀνάγκης· θᾶττον γὰρ διαιρεῖ τῇ ἰσχύϊ τὸ μεῖζον· ἢ γὰρ σχήματι διαιρεῖ, ἢ ῥοπῇ ἣν ἔχει τὸ φερόμενον ἢ τὸ ἀφεθέν. ἰσοταχῆ ἄρα πάντ' ἔσται. ἀλλ' ἀδύνατον.

ὅτι μὲν οὖν εἰ ἔστι κενόν, συμβαίνει τοὐναντίον ἢ δι' ὃ κατασκευάζουσιν οἱ φάσκοντες εἶναι κενόν, φανερὸν ἐκ τῶν εἰρημένων. οἱ μὲν οὖν οἴονται τὸ κενὸν εἶναι, εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις, ἀποκεκριμένον καθ' αὑτό· τοῦτο δὲ ταὐτόν ἐστι τῷ τὸν τόπον φάναι εἶναί τι κεχωρισμένον· τοῦτο δ' ὅτι ἀδύνατον, εἴρηται πρότερον.

καὶ καθ' αὑτὸ δὲ σκοποῦσιν φανείη ἂν τὸ λεγόμενον κενὸν ὡς ἀληθῶς κενόν. ὥσπερ γὰρ ἐὰν ἐν ὕδατι τιθῇ τις κύβον, ἐκστήσεται τοσοῦτον ὕδωρ ὅσος ὁ κύβος, οὕτω καὶ ἐν ἀέρι· ἀλλὰ τῇ αἰσθήσει ἄδηλον. καὶ αἰεὶ δὴ ἐν παντὶ σώματι ἔχοντι μετάστασιν, ἐφ' ὃ πέφυκε μεθίστασθαι, ἀνάγκη, ἂν μὴ συμπιλῆται, μεθίστασθαι ἢ κάτω αἰεί, εἰ κάτω ἡ φορὰ ὥσπερ γῆς, ἢ ἄνω, εἰ πῦρ, ἢ ἐπ' ἄμφω, [ἢ] ὁποῖον ἄν τι ᾖ τὸ ἐντιθέμενον· ἐν δὲ δὴ τῷ κενῷ τοῦτο μὲν ἀδύνατον (οὐδὲν γὰρ σῶμα), διὰ δὲ τοῦ κύβου τὸ ἴσον διάστημα διεληλυθέναι, ὅπερ ἦν καὶ πρότερον

[a] 11 κενὸν E^2 12 οὗ EFGHI φέρεται F 13 τάδε] ταῦτα I 14 τἆλλα ΠP^{1}S : om. P^p, secl. Laas τοῖς σχήμασι seclusi, om. S : habent ΠP 18 θᾶττον ἐξ ἀνάγκης E τῇ] τι E 19 σχῆμα E^2 20 ἔσται πάντα H ἀλλ'] ἅμα δὲ A 21 ἔσται I 22 ἁ I 23 ἔστιν H 24 ἀποκρινόμενον Bekker (errore preli) 26 ἀδύνατον EFHIS : ἀδύνατον εἶναι GJ καὶ ΛPST : om. E σκοποῦντι S 27 κενὸν om. F γὰρ ἐν ὕδατι ἂν θῇ Λ 28 ὅσον F 30 ᾧ FP 31 μεθίστασθαι pr. EFHIJ : συνίστασθαι P et sup. lin. J^1 32 ἢ] εἰ I 33 ἡ om. S γρ. P Prantl : habet ΠP ὅποι γρ. P : ὅσον ST εἴη FH 34 οὐδὲ FV κύβου] κενοῦ F 35 διεληλυθέναι] διεληλυθέναι δόξειεν E^2Λ : διεληλυθέναι δόξειεν ἄν Cornford

(çünkü [devinim] bir zaman içinde, herikisi de sınırlı olduğundan, hep bir başka zamanla oranı var) oysa boş ile dolu arasında [bir oran] yok.

Demek içinden geçilen nesnelerin farklı olması durumunda bunlar ortaya çıkıyor. Yer değiştiren nesnelerin [ağırlık-hafiflikçe] aşırılığı açısından bakıldıkta ise şunlar: görüyoruz ki, ağırlık ve hafiflikçe daha büyük bir ivme taşıyan cisimler, öteki koşullar biçimleri açısından aynı kalıyorsa, eşit yeri daha çabuk geçiyorlar, bu da büyüklükler arasındaki orantıya göre oluyor. Dolayısıyla boşluktan geçerken de [bu böyle olacaktır]. Ne ki bu olanaksız, çünkü hangi nedenle daha çabuk geçecek? Dolu nesnelerde bu zorunlu, çünkü gücü açısından daha büyük cisim daha çabuk ayırıp geçiyor; ya dış biçiminden ötürü ayırıyor ya yer değiştiren cismin taşıdığı ivmeden ötürü ya da fırlatıldığından ötürü. Oysa [boşlukta] bütün hızlar eşit olacaktır, bu ise olanaksız.

İmdi söylediklerimizden çıkan şu: boşluk varsa boşluk olduğunu ileri sürenlerin dediğinin tersi sözkonusu oluyor. Aslında yere göre devinim olması koşuluyla kendi başına ayrılmış boşluk olduğuna inanılıyor, bu da yerin ayrı-başına bir şey olduğunu ileri sürmekle aynı şey; bunun olanaksız olduğunu da daha önce söylemiştik.

'Kendinde' bakıldıkta da boş denen şey gerçekten boş gibi görünebilir. Çünkü nasıl suya bir zar atıldığında zar ne kadarsa o kadar su taşarsa havada da bu böyle, ama bu duyumla algılanamıyor. Yer değiştirebilen her cisimde, doğal olarak yer değiştirebildiği ölçüde geri itilmedikçe, ya yer değiştirme toprağınki gibi aşağıya ise hep aşağıya ya alevse yukarıya ya da içindeki şeyin niteliğine göre heriki yana gitmek zorunlu. Oysa boşlukta bu olanaksız (çünkü o hiçbir cisim değil); sanki su ya da hava tahta zar yüzünden taşmayıp onun içinden her yana yayılıyormuş gibi, zar

8. 216ª 10 — 9. 216ᵇ 27

ἐν τῷ κενῷ, ὥσπερ ἂν εἰ τὸ ὕδωρ μὴ μεθίστατο τῷ ξυλίνῳ 216ᵇ
κύβῳ μηδ' ὁ ἀήρ, ἀλλὰ πάντῃ διήεσαν δι' αὐτοῦ. ἀλλὰ
μὴν καὶ ὁ κύβος γε ἔχει τοσοῦτον μέγεθος, ὅσον κατέχει
κενόν· ὃ εἰ καὶ θερμὸν ἢ ψυχρόν ἐστιν ἢ βαρὺ ἢ κοῦφον,
οὐδὲν ἧττον ἕτερον τῷ εἶναι πάντων τῶν παθημάτων ἐστί, καὶ 5
εἰ μὴ χωριστόν· λέγω δὲ τὸν ὄγκον τοῦ ξυλίνου κύβου. ὥστ' εἰ
καὶ χωρισθείη τῶν ἄλλων πάντων καὶ μήτε βαρὺ μήτε κοῦ-
φον εἴη, καθέξει τὸ ἴσον κενὸν καὶ ἐν τῷ αὐτῷ ἔσται τῷ τοῦ
τόπου καὶ τῷ τοῦ κενοῦ μέρει ἴσῳ ἑαυτῷ. τί οὖν διοίσει τὸ τοῦ
κύβου σῶμα τοῦ ἴσου κενοῦ καὶ τόπου; καὶ εἰ δύο τοιαῦτα, διὰ 10
τί οὐ καὶ ὁποσαοῦν ἐν τῷ αὐτῷ ἔσται; ἐν μὲν δὴ τοῦτο ἄτοπον
καὶ ἀδύνατον. ἔτι δὲ φανερὸν ὅτι τοῦτο ὁ κύβος ἕξει καὶ
μεθιστάμενος, ὃ καὶ τὰ ἄλλα σώματα πάντ' ἔχει. ὥστ' εἰ
τοῦ τόπου μηδὲν διαφέρει, τί δεῖ ποιεῖν τόπον τοῖς σώμασιν
παρὰ τὸν ἑκάστου ὄγκον. εἰ ἀπαθὲς ὁ ὄγκος; οὐδὲν γὰρ [συμ- 15
βάλλεται, εἰ ἕτερον περὶ αὐτὸν ἴσον διάστημα τοιοῦτον εἴη.
[ἔτι δεῖ δῆλον εἶναι οἷον κενὸν ἐν τοῖς κινουμένοις. νῦν δ' οὐδα-
μοῦ ἐντὸς τοῦ κόσμου· ὁ γὰρ ἀὴρ ἔστιν τι, οὐ δοκεῖ δέ γε—οὐδὲ
τὸ ὕδωρ, εἰ ἦσαν οἱ ἰχθύες σιδηροῖ· τῇ ἁφῇ γὰρ ἡ κρίσις
τοῦ ἁπτοῦ.] ὅτι μὲν τοίνυν οὐκ ἔστι κεχωρισμένον κενόν, ἐκ τού- 20
των ἐστὶ δῆλον.

9 Εἰσὶν δέ τινες οἳ διὰ τοῦ μανοῦ καὶ πυκνοῦ οἴονται φα-
νερὸν εἶναι ὅτι ἔστι κενόν. εἰ μὲν γὰρ μὴ ἔστι μανὸν καὶ
πυκνόν, οὐδὲ συνιέναι καὶ πιλεῖσθαι οἷόν τε· εἰ δὲ τοῦτο μὴ
εἴη, ἢ ὅλως κίνησις οὐκ ἔσται, ἢ κυμανεῖ τὸ ὅλον, ὥσπερ 25
ἔφη Ξοῦθος, ἢ εἰς ἴσον ἀεὶ ⟨δεῖ⟩ μεταβάλλειν ἀέρα καὶ ὕδωρ
(λέγω δὲ οἷον εἰ ἐξ ὕδατος κυάθου γέγονεν ἀήρ, ἅμα ἐξ ἴσου

ᵇ 1 ἂν] γὰρ E 2 πάντῃ EHIJT : πάντα FG et sup. lin. J δι' om. E¹ 3 γε om. E²Λ 4 τὸ κενόν Λ καὶ EFIJ²P : om. GHJ¹ ἐστιν ἢ ψυχρόν Λ : καὶ ψυχρόν ἐστιν P 5 ἕτερον] ἕτερον ἀλλὰ καὶ μᾶλλον I τὸ F : τοῦ P 7 πάντων τῶν ἄλλων Λ 9 τῷ τοῦ om. E : τῷ I μέρει τῷ ἴσῳ H 11 κἂν E¹ ἐν om. F 14 τοῦτό που Bekker (err. prel.) 15 ἀπαθὴς H 16 περὶ ΠS et ut vid. P : an παρὰ ? 17–20 ἔτι . . . ἁπτοῦ om. PST, secl. Bekker : habent ΠV Averroes 17 ἔτι] ἄλλως ἔτι GH : ὅτι J δεῖ] δὲ aut δὴ J¹ 19 σιδηροῖ] ὑγροί Bonitz γὰρ ἁφῇ I 21 ἔσται I 23 εἶναι ΛSP : om. E ἔστι κενόν EGIJPS : κενόν ἐστι F : ἐστί τι κενόν H 24 οὐδὲν E οἷόν τε καὶ πιλεῖσθαι F πιλοῦσθαι EI μὴ om. JP 25 εἴη, ἢ] ἢ E : ἢ ἢ F : εἴη ὅλως ἢ G : εἴη I : ἢ JP 26 εἰς E²ΛVP : om. E¹ δεῖ Bonitz : om. ΠP 27 εἰ ΛP : om. E

aracılığıyla boşlukta öncekinin eşi bir aralık var gibi görünecek. Ne ki zar da en azından boşluğun taşıdığı büyüklük ne kadarsa o kadar büyük olacaktır. O ayrı başına olmasa bile, sıcak, soğuk, ağır ya da hafif olsun, varlık açısından bütün bu özelliklerinden hiç de az değişik bir şey değildir: kastettiğim tahta zarın kütlesi. Dolayısıyla zar bütün öteki özelliklerinden ayrılsa ve ne ağır ne de hafif olsa bile eşit boşluğu dolduracak, kendine eşit olan aynı yer ve boşluk parçasında bulunacaktır. İmdi zarın cismi ile ona eşit boşluk ya da yer arasında ne ayırım olacak? İki nesne böyle olabiliyorsa aynı yerde belli sayıda nesne niçin olmasın? Demek ki, bu bir tutarsızlık, bir olanaksızlık. Ayrıca şu da açık: zar kendi yerini değiştirse bile, öteki bütün cisimlerin de taşıdığı şeyi taşıyacaktır. Dolayısıyla bu, 'yer'den hiç de farklı değilse, kütle özelliklerinden bağımsız diye, niçin herbir nesnenin kütlesinin dışında nesneler için bir yer koymak gerek-sin? Kütlede bu tür eşit başka bir aralık olsa bile hiç farketmez. <Ayrıca devinen nesnelerde boşluk diye bir şeyin açıkça olması gerekir, oysa evren içinde hiçbir yerde yok! Nitekim hava görülmese de birşey. Balıklar demirden olsaydı onlar da suyu duyumsamazdı. Çünkü dokunulabilir olan nesne dokunma ile anlaşılır.> Demek ki ayrı-başına boşluğun varolmadığı bu dediklerimizden çıkıyor. 216b

9 Kimileri de var, bunlar 'seyrek' ile 'sık' var diye, boşluğun da olduğunun açık olduğuna inanıyor. Çünkü seyrekleşme ile sıklaşma olmasa birleşme ile sıkışma da olmaz, bu olmasa ya genelde devinim olmayacaktır ya Ksoutos'un[32] dediği gibi ya [evren] bütünü dalgalanacaktır ya su ile havanın hep eşit olarak birbirine dönüşmesi gerekecektir (dediğim gibi: sözgelişi bir bardak sudan hava olmuşsa, aynı anda

ἀέρος ὕδωρ τοσοῦτον γεγενῆσθαι), ἢ κενὸν εἶναι ἐξ ἀνάγκης· συμπιλεῖσθαι γὰρ καὶ ἐπεκτείνεσθαι οὐκ ἐνδέχεται ἄλλως. εἰ μὲν οὖν τὸ μανὸν λέγουσι τὸ πολλὰ κενὰ κεχωρισμένα ἔχον, φανερὸν ὡς εἰ μηδὲ κενὸν ἐνδέχεται εἶναι χωριστὸν ὥσπερ μηδὲ τόπον ἔχοντα διάστημα αὐτοῦ, οὐδὲ μανὸν οὕτως· εἰ δὲ μὴ χωριστόν, ἀλλ' ὅμως ἐνεῖναί τι κενόν, ἧττον μὲν ἀδύνατον, συμβαίνει δὲ πρῶτον μὲν οὐ πάσης κινήσεως αἴτιον τὸ κενόν, ἀλλὰ τῆς ἄνω (τὸ γὰρ μανὸν κοῦφον, διὸ 217ᵃ καὶ τὸ πῦρ μανὸν εἶναί φασιν), ἔπειτα κινήσεως αἴτιον οὐχ οὕτω τὸ κενὸν ὡς ἐν ᾧ, ἀλλ' ὥσπερ οἱ ἀσκοὶ τῷ φέρεσθαι αὐτοὶ ἄνω φέρουσι τὸ συνεχές, οὕτω τὸ κενὸν ἄνω φέρει. καίτοι πῶς οἷόν τε φορὰν εἶναι κενοῦ ἢ τόπον κενοῦ; κενοῦ γὰρ γίγνεται κενόν, εἰς ὃ φέρεται. ἔτι δὲ πῶς ἐπὶ τοῦ βαρέος ἀποδώσουσιν τὸ φέρεσθαι κάτω; καὶ δῆλον ὅτι εἰ ὅσῳ ἂν μανότερον καὶ κενώτερον ᾖ ἄνω οἰσθήσεται, εἰ ὅλως εἴη κενόν, τάχιστ' ἂν φέροιτο. ἴσως δὲ καὶ τοῦτ' ἀδύνατον κινηθῆναι· λόγος δ' ὁ αὐτός, ὥσπερ ὅτι ἐν τῷ κενῷ ἀκίνητα πάντα, οὕτω καὶ τὸ κενὸν ὅτι ἀκίνητον· ἀσύμβλητα γὰρ τὰ τάχη.

ἐπεὶ δὲ κενὸν μὲν οὐ φαμεν εἶναι, τὰ ἄλλα δ' ἠπόρηται ἀληθῶς, ὅτι ἢ κίνησις οὐκ ἔσται, εἰ μὴ ἔσται πύκνωσις καὶ μάνωσις, ἢ κυμανεῖ ὁ οὐρανός, ἢ αἰεὶ ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται καὶ ἀὴρ ἐξ ὕδατος (δῆλον γὰρ ὅτι πλείων ἀὴρ ἐξ ὕδατος γίγνεται· ἀνάγκη τοίνυν, εἰ μὴ ἔστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί που ἴσον μεταβάλλειν ἐξ ἀέρος ὕδωρ, ἵνα ὁ πᾶς ὄγκος τοῦ ὅλου ἴσος ᾖ, ἢ μηδὲν κινεῖσθαι· ἀεὶ γὰρ μεθισταμένου τοῦτο συμβήσεται, ἂν μὴ κύκλῳ περιίστηται· οὐκ ἀεὶ δ' εἰς τὸ κύκλῳ ἡ

ᵇ 28 τοσοῦτον ὕδωρ F γεγενῆσθαι ΛP : γίγνεσθαι E 29 συμπιλεῖσθαι EI ἐπεκτείνεσθαι E'S : συνεπεκτείνεσθαι E'Λ ἐνδέχεται EFIS : ἐνδέχεσθαι GHJ ἄλλως ante οὐκ F 31 μὴ GH εἶναι om. J 32 οὐδὲ F διάστημα ΛPST : διαστήματα E 35 αἴτιον] εἶναι F 217ᵃ 1 εἶναί om. F 2 αὐτὰ E 3 ἄνω φέρει] ἀνωφερές I : ἀνώφορον P 4 τόπου E 6 εἰ ὅτι I : ὅτι EGJ 7 καὶ κενώτερον om. G 9 ὅτι ὥσπερ] ὅτι F ἐν] καὶ ἐν IP 10 ὅτι om. E¹ 11 οὐ φαμεν om. G¹ 12 ὅτι EHS : om. FGIJ 13 ὕδωρ ἐξ ἀέρος ἴσον H 15 ἔστι E²ΛS : ἔσται E¹ 16 ποιεῖ E που τὸ ἴσον I 17 ὕδωρ EFVP : εἰς ὕδωρ GHIJST 19 ἂν . . . περιίστηται om. I περιίσταται H

eşit ölçüdeki havadan da o kadar su olması gerekecektir) ya da boşluk olması zorunlu; çünkü başkaca birleşmek ve ayrılmak olası değil. İmdi 'seyrek'ten kastedilen, içinde ayrı başına birçok boş nesne taşıyan şey ise şu açık: kendi aralığını, kendi ara-nesnesini taşıyan bir yer olamadığı gibi boşluk da ayrı başına varolamazsa, 'seyrek' de bu biçimde varolamaz. Ne ki ayrı-başına olmasa bile yine de [seyrek] içinde boş bir şey varsa bu daha da olanaksız. Ama bu durumda çıkan şu: ilkin boşluk her devinimin değil, salt yukarıya doğru olan devinimin nedenidir (çünkü 'seyrek' hafif bir şey, bunun için ateşin de seyrek olduğunu ileri sürüyorlar), ikincileyin boşluk, içinde devinim olan şey anlamında devinim nedeni değildir, hortum'un kendisi yukarı gittiğinden, sürekli olanı da yukarı götürmesi gibi boşluk da bu biçimde nesneleri yukarı götürür. Yine de boşluğun yer değiştirmesi ya da boşluğun bir yeri nasıl olanaklı? Çünkü bu durumda boşluğun ona doğru gittiği bir 'boşluk boşluğu' oluşacaktır. Kaldı ki ağır olanın aşağıya gitmesi nasıl açıklanacak? Şu da açık: bir nesne seyrek ve boş olduğu ölçüde yukarıya gidecekse, tümüyle boşluk varsa orada en hızlı gidecektir. Oysa aslında bu durumda devinmek olanaksız, nedeni de aynı: nasıl boşluk içinde bütün nesneler devinimsiz ise, aynı şekilde boşluk da devinimsiz, çünkü o devinse hızlar ölçülemez.[33]

Boşluk olmadığını ileri sürüyoruz ama aslında öteki sorunlar yerli yerinde duruyor: çünkü sıklık ile seyreklik yoksa, ya devinim olmayacak ya evren dalgalanacak ya her zaman eşit havadan eşit su, sudan da hava olacak (açık ki sudan olan havanın hacmi daha çoktur, dolayısıyla sıkışma olmazsa, ya bastırılan cismin basınçla en dıştaki cismi dalgalandırması zorunlu ya da bir başka yerde eşit hacimde hava su haline gelmeli ki tüm evrenin bütün kütlesi eşit kalsın! Ya da hiçbir şey devinmeyecek. Bir nesne değiştiğinde çembersel dönmüyorsa her zaman bu sözkonusu olacaktır. Oysa

9. 216b 28 — 217b 11

φορά, ἀλλὰ καὶ εἰς εὐθύ)· οἱ μὲν δὴ διὰ ταῦτα κενόν τι φαῖεν ἂν εἶναι, ἡμεῖς δὲ λέγομεν ἐκ τῶν ὑποκειμένων ὅτι ἔστιν ὕλη μία τῶν ἐναντίων, θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων τῶν φυσικῶν ἐναντιώσεων, καὶ ἐκ δυνάμει ὄντος ἐνεργείᾳ ὂν γίγνεται, καὶ οὐ χωριστὴ μὲν ἡ ὕλη, τὸ δ' εἶναι ἕτερον, καὶ μία τῷ ἀριθμῷ, εἰ ἔτυχε, χροιᾶς καὶ θερμοῦ καὶ ψυχροῦ.

ἔστι δὲ καὶ σώματος ὕλη καὶ μεγάλου καὶ μικροῦ ἡ αὐτή. δῆλον δέ· ὅταν γὰρ ἐξ ὕδατος ἀὴρ γένηται, ἡ αὐτὴ ὕλη οὐ προσλαβοῦσά τι ἄλλο ἐγένετο, ἀλλ' ὃ ἦν δυνάμει, ἐνεργείᾳ ἐγένετο, καὶ πάλιν ὕδωρ ἐξ ἀέρος ὡσαύτως, ὁτὲ μὲν εἰς μέγεθος ἐκ μικρότητος, ὁτὲ δ' εἰς μικρότητα ἐκ μεγέθους. ὁμοίως τοίνυν κἂν ὁ ἀὴρ πολὺς ὢν ἐν ἐλάττονι γίγνηται ὄγκῳ καὶ ἐξ ἐλάττονος μείζων, ἡ δυνάμει οὖσα ὕλη γίγνεται ἄμφω. ὥσπερ γὰρ καὶ ἐκ ψυχροῦ θερμὸν καὶ ἐκ θερμοῦ ψυχρὸν ἡ αὐτή, ὅτι ἦν δυνάμει, οὕτω καὶ ἐκ θερμοῦ μᾶλλον θερμόν, οὐδενὸς γενομένου ἐν τῇ ὕλῃ θερμοῦ ὃ οὐκ ἦν θερμὸν ὅτε ἧττον ἦν θερμόν, ὥσπερ γε οὐδ' ἡ τοῦ μείζονος κύκλου περιφέρεια καὶ κυρτότης ἐὰν γίγνηται ἐλάττονος κύκλου, ⟨ἡ⟩ ἡ αὐτὴ οὖσα ἢ ἄλλη, ἐν οὐθενὶ ἐγγέγονε τὸ κυρτὸν ὃ ἦν οὐ κυρτὸν ἀλλ' εὐθύ (οὐ γὰρ τῷ διαλείπειν τὸ ἧττον ἢ τὸ μᾶλλον ἔστιν)· οὐδ' ἔστι τῆς φλογὸς λαβεῖν τι μέγεθος ἐν ᾧ οὐ καὶ θερμότης καὶ λευκότης ἔνεστιν. οὕτω τοίνυν καὶ ἡ πρότερον θερμότης ⟨πρὸς⟩ τὴν ὕστερον. ὥστε καὶ τὸ μέγεθος καὶ ἡ μικρότης τοῦ αἰσθητοῦ ὄγκου οὐ προσλαβούσης τι τῆς ὕλης ἐπεκτείνεται, ἀλλ' ὅτι δυνάμει ἐστὶν ὕλη ἀμφοῖν· ὥστ' ἐστὶ τὸ αὐτὸ πυκνὸν καὶ μανόν, καὶ μία ὕλη αὐτῶν. ἔστι δὲ τὸ μὲν πυκνὸν βαρύ, τὸ

[a] 20 μὲν διὰ ταυτα F καινόν I 21 δὲ om. F λέγομεν FGHJPS: λέγωμεν EIV 23 ἐνεργεία E²AT: om. E¹ 24 τὸ EFGJT: τῷ HI 26 δὲ FHIPT: δ' εἰ E: δὴ GJ 27 ἀὴρ ἐξ ὕδατος I γένηται ΛPS: γίνηται E 28 ἄλλο τι Λ 30 σμικρότητος ὅτι G 31 τοίνυν] δὲ H ὁ EFST: om. GIJP 32 γίγνεται E¹: γένηται F οὖσα γίνεται ὕλη Λ: ὕλη οὖσα γίγνεται S 33 γὰρ E²AT: γε E¹V ἐκ θερμοῦ ψυχρὸν καὶ ἐκ ψυχροῦ θερμὸν H
[b] 1 μηδενὸς γινομένου F 2 γε EFIJPS: γὰρ GH οὐδ'] καὶ P 3 γένηται GHI 4 ἢ ἡ scripsi: habent ut vid. PPS: ἡ EFGHJP¹: ἢ I γέγονε FGH 6 οὐ γὰρ ἔστι F μεγεθός τι F οὐ om. G¹ λευκότης καὶ θερμότης ἐστὶν G 8 πρὸς τὴν scripsi, leg. fort. S: τῇ E¹GHIJ: της E²F καὶ pr. om. H 10 ἐστιν ἡ ὕλη Λ

yer değiştirme her zaman çembersel değil, düz yer değiştirme de var). De- 20
mek bunlar yüzünden boşluk olduğu ileri sürülebilir ama biz dayanaklarımızdan[34] yola çıkarak şunu savunuyoruz: karşıtların, sıcak-soğuk ve öteki doğal karşıtlıkların maddesi bir tektir. Olanak halinde varolan bir şeyden etkinlik halinde varolan bir şey oluşur, madde ayrı-başına değildir, varlığı değişik bir şeydir, sayıca da ister renge göre ister sıcak ile soğuğa 25
göre olsun, bir tektir.

Ne ki bir cisim küçük olsun büyük olsun, onun maddesi aynı. Şu açık: sudan hava oluştuğunda başka bir şey eklendiğinden ötürü değil, olanak halinde olan şey etkinlik haline geçtiğinden ötürü aynı maddede oluşma sözkonusu oluyor: yine havadan su oluştuğunda da bu böyle: bi- 30
rinde küçüklükten büyüklüğe doğru, ötekinde büyüklükten küçüklüğe doğru. Demek ki hava çok olmasına karşın daha küçük bir kütle haline geliyor, daha küçükken de daha büyük: madde olanak halinde olduğu için herikisi de oluyor. Nasıl olanak halinde olduğu için aynı madde soğukken sıcak, sıcakken soğuk oluyorsa, aynı şekilde madde de cisim daha
az sıcak iken, zaten sıcak olmayan bir sıcaklık oluşmaksızın daha sıcak ha- 217b
le gelir. Tıpkı şöyle: daha büyük bir çemberin yüzeyi ve bükümü daha küçük bir çemberin yüzeyi ya da bükümü haline gelirse, ister aynı olsun ister başka, hiçbirinde bükümlü değil de doğru olan şey bükümlü hale gelmiş değildir (çünkü 'daha az' ve 'daha çok' bütünüyle kalan şeyler değil). 5
İçinde sıcaklık ve ışık olmayan bir alev kütlesi kabul etmek olanaksız. Demek bu biçimde önceki sıcaklığın sonrakiyle bir ilgisi var. Dolayısıyla duyulur bir kütlenin büyüklüğü ve küçüklüğü de maddeye bir şey eklendiğinden ötürü değil, madde olanak halinde herikisi de olabildiği için sözkonu- 10
su olur. Demek ki sık ile seyrek de aynı, bu ikisinin maddesi tek. Ama

δὲ μανὸν κοῦφον. [ἔτι ὥσπερ ἡ τοῦ κύκλου περιφέρεια συναγομένη εἰς ἔλαττον οὐκ ἄλλο τι λαμβάνει τὸ κοῖλον, ἀλλ' ὃ ἦν συνήχθη, καὶ τοῦ πυρὸς ὅ τι ἂν τις λάβῃ πᾶν ἔσται θερμόν, οὕτω καὶ τὸ πᾶν συναγωγὴ καὶ διαστολὴ τῆς αὐτῆς ὕλης.] δύο γὰρ ἔστιν ἐφ' ἑκατέρου, τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ· τό τε γὰρ βαρὺ καὶ τὸ σκληρὸν πυκνὰ δοκεῖ εἶναι, καὶ τἀναντία μανὰ τό τε κοῦφον καὶ τὸ μαλακόν· διαφωνεῖ δὲ τὸ βαρὺ καὶ τὸ σκληρὸν ἐπὶ μολίβδου καὶ σιδήρου.

ἐκ δὴ τῶν εἰρημένων φανερὸν ὡς οὔτ' ἀποκεκριμένου κενὸν ἔστιν, οὐθ' ἁπλῶς οὔτ' ἐν τῷ μανῷ, οὔτε δυνάμει, εἰ μή τις βούλεται πάντως καλεῖν κενὸν τὸ αἴτιον τοῦ φέρεσθαι. οὕτω δ' ἡ τοῦ βαρέος καὶ κούφου ὕλη, ᾗ τοιαύτη, εἴη ἂν τὸ κενόν· τὸ γὰρ πυκνὸν καὶ τὸ μανὸν κατὰ ταύτην τὴν ἐναντίωσιν φορᾶς ποιητικά, κατὰ δὲ τὸ σκληρὸν καὶ μαλακὸν πάθους καὶ ἀπαθείας, καὶ οὐ φορᾶς ἀλλ' ἑτεροιώσεως μᾶλλον. καὶ περὶ μὲν κενοῦ, πῶς ἔστι καὶ πῶς οὐκ ἔστι, διωρίσθω τὸν τρόπον τοῦτον.

Ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν περὶ χρόνου· πρῶτον δὲ καλῶς ἔχει διαπορῆσαι περὶ αὐτοῦ καὶ διὰ τῶν ἐξωτερικῶν λόγων, πότερον τῶν ὄντων ἐστὶν ἢ τῶν μὴ ὄντων, εἶτα τίς ἡ φύσις αὐτοῦ. ὅτι μὲν οὖν ἢ ὅλως οὐκ ἔστιν ἢ μόλις καὶ ἀμυδρῶς, ἐκ τῶνδέ τις ἂν ὑποπτεύσειεν. τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστιν, τὸ δὲ μέλλει καὶ οὔπω ἔστιν. ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανόμενος χρόνος συγκειται. τὸ δ' ἐκ μὴ ὄντων συγκείμενον ἀδύνατον ἂν εἶναι δόξειε μετέχειν οὐσίας.

πρὸς δὲ τούτοις παντὸς μερι-

[b] 12–16 ἔτι . . . ὕλης ΠPS : om. T γρ. G γρ. S 14 ἦν sup. lin. E¹ καὶ] οὕτω καὶ Λ ἐστι GHI et post θερμόν F 15 συναγωγὴ καὶ διαστολὴ ES : συναγωγὴ καὶ διαστολῇ Λ 16 ἑφ' FGHJP : ἀφ' EIVS 17 γὰρ om. H¹ 19 τὸ alt. ΛP : om. E μολίβδου E¹FHIJPT : μολύβδου E²GS 20 ὡς ΔT : ὅτι E 21 οὔτ' ἐν ΛP : οὐθέν E 22 πάντως καλεῖν κενὸν ΛVT : καλεῖν τι κενὸν πάντως E 23 ἂν εἴη F 24 τὸ alt. om. E 27 διωρίσθω ΛST : διώρισται E 28 τοῦτον τὸν τρόπον FT 29 περὶ τοῦ χρόνου H 30 διαπορίσαι J 31 λόγων om. fort. S 32 αὐτῶν F ἢ pr. E¹S : om. E²Λ μόλις EST : μόγις Λ 33 τις ἂν GHIJVP : τις ἂν καὶ E : ἂν τις TS[a] : τις F 218[a] 2 ἂν εἶναι δόξειε EGHJS : δόξειεν ἂν F : εἶναι δόξειε I 3 μετέχειν E¹PHS : μετέχειν ποτὲ E²FGJ : ποτὲ μετέχειν I

'sık' ağır, 'seyrek' ise hafif <Ayrıca nasıl çemberin yüzeyi biraz küçülünce büküm başka bir şey almaz, zaten sahip olduğu şeye indirgenmiş olursa ve ateşten alınan her şey sıcak olursa, aynı şekilde "herşey" de aynı maddenin birleştirilmesi ve ayrılmasıdır>. Nitekim bu iki şey, ağırlık ile hafiflik öteki ikisine, sıklık ile seyrekliğe indirgenir, çünkü ağır ile sertin sık olduğu görünüyor, karşıtları hafif ile yumuşağın ise seyrek. Ne ki ağırlık ile sertlik kalayda ve demirde birbirine uymuyor.

Söylediklerimizden çıkan şu: ne gerek mutlak anlamda gerekse seyreklik anlamında ayrıbaşına bir boşluk var ne de olanak halinde: meğer ki, yer değiştirme nedenine ısrarla 'boşluk' adı verile! Bu anlamda ağırın ve hafifin maddesi böyle bir şey olmakla 'boşluk' olabilir. Çünkü sık ile seyrek bu karşıtlığa göre bir yer değiştirme yaratır, oysa sert ve yumuşak açısından bir etkilenim ya da etkilenimsizlik yaratır, diyesim yarattıkları bir yer değiştirme değil, daha çok bir başkalaşmadır. Boşluk üzerine de ne anlamda var, ne anlamda yok, bu biçimde belirleme yapmış olduk.

10 Dediklerimizi sonuçlandırdığımıza göre 'zaman' konusuna geçmemiz gerekiyor. Kamuya açık konuşmalarımızda onunla ilgili dediklerimizden de yararlanıp ilkin o varolanlardan mı, var olmayanlardan mı; ikincileyin doğası ne, buna bakmak yerinde olur. Ya hepten varolmadığı ya da kaygan-ele avuca gelmez bir şey olduğu şunlardan çıkartılabilir: zamanın bir parçası varolmuştur, [artık] yoktur: öteki parçası ise olacaktır, henüz yoktur. Hem sınırsız zaman hem de ele alınan her zaman bu parçalardan bileşiktir. Ne ki, varolmayanlardan bileşik olan bir şeyin varlıktan pay almasının olanaksız olduğu görülse gerek. 218a

Öte yandan parçalanabilen her nesne, varsa, varolduğu sürece

9. 217b 12 — 10. 218a 28

στοῦ, ἄνπερ ᾖ, ἀνάγκη, ὅτε ἔστιν, ἤτοι πάντα τὰ μέρη εἶναι ἢ ἕνια· τοῦ δὲ χρόνου τὰ μὲν γέγονε τὰ δὲ μέλλει, ἔστι δ' οὐδέν, ὄντος μεριστοῦ. τὸ δὲ νῦν οὐ μέρος· μετρεῖ τε γὰρ τὸ μέρος, καὶ συγκεῖσθαι δεῖ τὸ ὅλον ἐκ τῶν μερῶν· ὁ δὲ χρόνος οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν. ἔτι δὲ τὸ νῦν, ὃ φαίνεται διορίζειν τὸ παρελθὸν καὶ τὸ μέλλον, πότερον ἓν καὶ ταὐτὸν ἀεὶ διαμένει ἢ ἄλλο καὶ ἄλλο, οὐ ῥᾴδιον ἰδεῖν. εἰ μὲν γὰρ αἰεὶ ἕτερον καὶ ἕτερον, μηδὲν δ' ἐστὶ τῶν ἐν τῷ χρόνῳ ἄλλο καὶ ἄλλο μέρος ἅμα (ὃ μὴ περιέχει, τὸ δὲ περιέχεται, ὥσπερ ὁ ἐλάττων χρόνος ὑπὸ τοῦ πλείονος), τὸ δὲ νῦν μὴ ὂν πρότερον δὲ ὂν ἀνάγκη ἐφθάρθαι ποτέ, καὶ τὰ νῦν ἅμα μὲν ἀλλήλοις οὐκ ἔσται, ἐφθάρθαι δὲ ἀνάγκη ἀεὶ τὸ πρότερον. ἐν αὐτῷ μὲν οὖν ἐφθάρθαι οὐχ οἷόν τε διὰ τὸ εἶναι τότε, ἐν ἄλλῳ δὲ νῦν ἐφθάρθαι τὸ πρότερον νῦν οὐκ ἐνδέχεται. ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν, ὥσπερ στιγμὴν στιγμῆς. εἴπερ οὖν ἐν τῷ ἐφεξῆς οὐκ ἐφθαρται ἀλλ' ἐν ἄλλῳ, ἐν τοῖς μεταξὺ [τοῖς] νῦν ἀπείροις οὖσιν ἅμα ἂν εἴη· τοῦτο δὲ ἀδύνατον. ἀλλὰ μὴν οὐδ' αἰεὶ τὸ αὐτὸ διαμένειν δυνατόν· οὐδενὸς γὰρ διαιρετοῦ πεπερασμένου ἓν πέρας ἐστιν, οὔτε ἂν ἐφ' ἓν ἡ συνεχὲς οὔτε ἂν ἐπὶ πλείω· τὸ δὲ νῦν πέρας ἐστίν, καὶ χρόνον ἔστι λαβεῖν πεπερασμένον. ἔτι εἰ τὸ ἅμα εἶναι κατὰ χρόνον καὶ μήτε πρότερον μήτε ὕστερον τὸ ἐν τῷ αὐτῷ εἶναι καὶ ἑνὶ [τῷ] νῦν ἐστιν, εἰ τά τε πρότερον καὶ τὰ ὕστερον ἐν τῷ νῦν τῷδί ἐστιν, ἅμα ἂν εἴη τὰ ἔτος γενόμενα μυριοστὸν τοῖς γε-

a 4–5 ἤτοι . . . ἕνια EP : ἤτοι ἕνια ἢ πάντα τὰ μέρη εἶναι ΛSPT : ἢ πάντα τὰ μέρη ἢ ἕνια εἶναι Sc 6 μετρεῖ τε FH²ISP : μετρεῖται H¹JAPSc : μετρεῖ E²G : E¹ incertum 7 μέρος] μέρος, τὸ δὲ νῦν οὐ μετρεῖ F δεῖ EFGJPS : δὴ I : δοκεῖ H 8 οὐ om. F 9 διορίζειν E²ΛVS et ut vid. T : ὁρίζειν E¹ 10 ἢ ⟨ἀεὶ⟩ Torstrik οὐ] ὁ E 11 συνιδεῖν H 12 ὃ μὴ περιέχει ἅμα H 14 τό τε E¹HPS 15 καὶ . . . ἅμα E²ΛPS : om. E¹ οὐκ ἔσται ἀλλήλοις διεφθάρθαι H δὲ E²ΛPS : om. E¹ 16 ἀνάγκη . . . πρότερον E²ΛP' : ἀεὶ ἀνάγκη τὸ πρότερον S : ἀνάγκη E¹ οὖν om. I οὐχ] τὸ νῦν οὐχ H 17 οἷόν τ' ἀεὶ διὰ H : οἷονται διὰ J¹ τότε E²ΛVS : om. E¹ 18 ἔστω E²ΛPS : ἐστιν V : E¹ incertum 19 στιγμὴν EPST : στιγμὴ Λ 21 τοῖς seclusi : om. S et fort. P 24 ἂν om. F 26 καὶ ἑνὶ [τῷ] Diels, καὶ ἑνὶ fort. T : καὶ ἐν τῷ ΠSc : καὶ ἑνὶ τῷ ci. Bonitz : omittendum ci. Bonitz, fort. cum PS 27 γε H : om. S πρότερα καὶ τὰ ὕστερα F ἐν] γινόμενα ἐν S 28 τὰ εἰς ἔτος E²ΛS γενόμενα ΠPSPT : γενησόμενα Sc : γενησόμενα ἢ γενόμενα Diels μυριοστὸν ante γενόμενα F γινομένοις FPS

onun ya bütün parçaları ya da kimi parçaları vardır. Oysa zaman parçalanabilir olmasına karşın parçalarının biri olup bitmiş, biri olacak, hiçbiri yok. "Şimdiki an ise zamanın bir parçası değil, çünkü parçanın bir ölçüsü vardır, bütünün parçalardan kurulması gerekir, oysa zaman 'Şimdiki-an'lardan biraraya gelmiş gibi görünmüyor. Kaldı ki geçmiş ile geleceği ayırır gibi görünen 'şimdikian' acaba hep bir ve aynı mı kalıyor, yoksa hep başka, hep değişik bir şey mi, bunu görmek kolay değil. Hep değişik bir şey ise ve zamanın içindekiler içinde hep değişik olan hiçbir parça bir başka parçayla zamandaş olarak varolamazsa (kısa zamanın uzun zamana sarılması gibi, biri kuşatıyor öteki kuşatılıyor olmadıkça); 'an' daha önce varolmayan ve bir zaman zorunlu olarak ortadan kalkacak bir şey ise, 'an'lar birbiriyle zamandaş olmayacaktır; daha önceki 'an'ların hep ortadan kalkmış olması zorunlu. İmdi onun, o zamanki varlığından ötürü, kendi içinde ortadan kalkmış olması olanaklı değil; önceki 'an'ın başka bir 'an' içinde ortadan kalkması da olası değil. Nitekim nasıl bir nokta öteki noktayla sürekli olamazsa 'an'ların birbirine eklenmesi de olanaksız olsa gerek. Öyleyse 'an' bir sonraki içinde değil başka birinin içinde ortadan kalkmışsa sonsuz olan aradaki 'an'ların içinde zamandaş olarak bulunacaktır! Oysa bu olanaksız. Ne ki 'an'ın hep aynı kalması da olanaklı değil, çünkü sonlu olup da parçalara ayrılabilen hiçbir nesne tek sınır taşımaz: ister tek bir nesneye göre sürekli olsun ister daha çok nesneye göre, bu böyle. 'An' ise bir sınırdır, sınırlı bir zaman almak olanaklıdır.[35] Öte yandan 'zaman içinde zamandaş olmak' ile 'ne önce ne de sonra', "aynı ve tek 'an' içinde olmak" anlamına gelse, yine önce ve sonra olup bitenler şu belli 'şimdikian' içinde olsa, on bin yıl önce

νομένοις τήμερον, καὶ οὔτε πρότερον οὔτε ὕστερον οὐδὲν ἄλλο
30 ἄλλου.

30 περὶ μὲν οὖν τῶν ὑπαρχόντων αὐτῷ τοσαῦτ' ἔστω διη-
πορημένα· τί δ' ἐστὶν ὁ χρόνος καὶ τίς αὐτοῦ ἡ φύσις, ὁμοίως
ἔκ τε τῶν παραδεδομένων ἀδηλόν ἐστιν, καὶ περὶ ὧν τυγχά-
νομεν διειληλυθότες πρότερον. οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνη-
218b σιν εἶναί φασιν, οἱ δὲ τὴν σφαῖραν αὐτήν. καίτοι τῆς πε-
ριφορᾶς καὶ τὸ μέρος χρόνος τίς ἐστι, περιφορὰ δέ γε οὔ·
μέρος γὰρ περιφορᾶς τὸ ληφθέν, ἀλλ' οὐ περιφορά. ἔτι δ'
εἰ πλείους ἦσαν οἱ οὐρανοί, ὁμοίως ἂν ἦν ὁ χρόνος ἡ ὁτουοῦν
5 αὐτῶν κίνησις, ὥστε πολλοὶ χρόνοι ἅμα. ἡ δὲ τοῦ ὅλου
σφαῖρα ἔδοξε μὲν τοῖς εἰποῦσιν εἶναι ὁ χρόνος, ὅτι ἔν τε
τῷ χρόνῳ πάντα ἐστὶν καὶ ἐν τῇ τοῦ ὅλου σφαίρᾳ· ἔστιν δ'
εὐηθικώτερον τὸ εἰρημένον ἢ ὥστε περὶ αὐτοῦ τὰ ἀδύνατα
ἐπισκοπεῖν. ἐπεὶ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μετα-
10 βολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν ἑκάστου
μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον
ἐστίν, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον·
ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. ἔτι δὲ
μεταβολὴ μέν ἐστι θάττων καὶ βραδυτέρα, χρόνος
15 δ' οὐκ ἔστιν· τὸ γὰρ βραδὺ καὶ ταχὺ χρόνῳ ὥρισται, ταχὺ
μὲν τὸ ἐν ὀλίγῳ πολὺ κινούμενον, βραδὺ δὲ τὸ ἐν πολλῷ
ὀλίγον· ὁ δὲ χρόνος οὐχ ὥρισται χρόνῳ, οὔτε τῷ ποσός τις
εἶναι οὔτε τῷ ποιός. ὅτι μὲν τοίνυν οὐκ ἔστιν κίνησις, φανερόν·
μηδὲν δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ
20 μεταβολήν.

Ἀλλὰ μὴν οὐδ' ἄνευ γε μεταβολῆς· ὅταν γὰρ μηδὲν 11

[a] 29 ἄλλο ἄλλου οὐδέν H 30 ἔστω διηπορημένα EGIJPS : ἔσται διηπορημένα F : εἰρήσθω H 31 αὐτοῦ ἡ φύσις EGIJP : αὐτῷ ἡ φύσις F : ἡ φύσις αὐτοῦ HS 32 τε ΠP : om. S ἄδηλον ἥτις ἐστὶν E^1 [b] 3 μέρος . . . περιφορά om. I γὰρ] δὲ της sup. lin. J^1 λεχθὲν EV et sup. lin. J^1 δ' EGHIJP : om. FT 4 οἱ om. S ὁτιοῦν H 6 εἰποῦσιν ΛP : ἐπιοῦσιν E τε om. FP 7 χρόνῳ τὰ πάντα IP 8 ἢ om. H 9 κίνησίς τις εἶναι H 10 τοῦ τε ἂν σκεπτέον G 11 ἑαυτῷ H μόνον ἐστὶν EHPST : ἔστι μόνον FGIJ 13 καὶ pr. EFGIJT : om. HS δὲ E^2ΛPST : δέ καὶ E^1 14 ἐστι E^1PST : ἔστι πᾶσα E^2ΛV 15 βραδὺ καὶ τὸ ταχὺ I : τάχυ καὶ (καὶ τὸ P) βραδὺ VPST 19 δὲ ΛVP : om. E 21 ἀλλ' οὐ μὴν οὐδ' G γε om. S μηδὲν αὐτοῖ EGIJPS$^{c.l}$T : αὐτοῖ μηδὲν H : αὐτοῖ μηθὲν F : αὐτοῖ μὴ S^p

olanlar ile bugün olanlar zamandaş olacak, hiçbir nesne ötekinden daha önce, daha sonra olmayacaktır.

İmdi zamanla ilgili bunca sorun sözkonusu. Zaman ne, onun doğası ne, bu az önce üzerinde durduklarımızdan çıktığı gibi, bize aktarılanlara göre de belirsiz. Nitekim kimi, "zaman [evren] bütününün devinimidir"[36] diyor, kimi ise[37] zaman gökçemberin kendisi". Gerçi çembersel yer 218b
değiştirmenin bir parçası da bir zaman [gösterir] ama yer değiştirmenin kendisi zaman değil, çünkü parça çembersel yer değiştirmeden alınmış bir parçadır, çembersel yer değiştirmenin kendisi değil. Ayrıca çok sayıda gökçember olsaydı onların herbirinin devinimi zaman olur, dolayısıyla zamandaş birçok zaman olurdu. "Zaman bütün evrenin [dış] çemberidir" diyenler, herşey hem zaman içinde hem de evren bütününün çemberi içinde diye böyle düşünüyorlardı. Oysa bu görüş öyle zayıf ki, bu görüşle ilgili ortaya çıkan olanaksız şeylere bakmak yetiyor. Ama madem zaman bir devinim, bir değişme diye düşünülüyor, bunun üzerinde durmak gerekli. İmdi herbir nesnenin değişmesi ve devinimi salt o değişen nesnenin içindedir ya da o devinen, değişen nesnenin bulunduğu yerdedir. Oysa zaman hem her yerde hem de her nesnede aynı biçimde. Ayrıca değişme daha hızlı, daha yavaş olur, zaman ise öyle değil; çünkü hızlı ile yavaş aslında zaman ile belirleniyor, kısa zaman içinde çok devinen nesne hızlı, uzun zaman içinde az devinen nesne yavaştır. Zaman ise ne niceliği ne de niteliği açısından bir zamanla belirlenir. Demek ki zaman bir devinim değil, bu açık. Bizim için şu anda 'devinim' ya da 'değişme' demek arasında hiçbir ayırım yok.[38]

11 Ne ki değişmeden bağımsız da değil [zaman]. Nitekim

10. 218ª 29 — 11. 219ª 13

αὐτοὶ μεταβάλλωμεν τὴν διάνοιαν ἢ λάθωμεν μεταβάλλοντες, οὐ δοκεῖ ἡμῖν γεγονέναι χρόνος, καθάπερ οὐδὲ τοῖς ἐν Σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν, ὅταν ἐγερθῶσι· συνάπτουσι γὰρ τῷ πρότερον νῦν τὸ ὕστερον νῦν καὶ ἓν ποιοῦσιν, ἐξαιροῦντες διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. ὥσπερ οὖν εἰ μὴ ἦν ἕτερον τὸ νῦν ἀλλὰ ταὐτὸ καὶ ἕν, οὐκ ἂν ἦν χρόνος, οὕτως καὶ ἐπεὶ λανθάνει ἕτερον ὄν, οὐ δοκεῖ εἶναι τὸ μεταξὺ χρόνος. εἰ δὴ τὸ μὴ ο�ίεσθαι εἶναι χρόνον τότε συμβαίνει ἡμῖν, ὅταν μὴ ὁρίσωμεν μηδεμίαν μεταβολήν, ἀλλ' ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ φαίνηται ἡ ψυχὴ μένειν, ὅταν δ' αἰσθώμεθα καὶ ὁρίσωμεν, τότε φαμὲν γεγονέναι χρόνον, φανερὸν ὅτι οὐκ ἔστιν ἄνευ κινήσεως καὶ μεταβολῆς χρόνος. ὅτι μὲν οὖν οὔτε κίνησις οὔτ' ἄνευ κινήσεως ὁ χρόνος ἐστί, φανερόν· ληπτέον δέ, ἐπεὶ ζητοῦμεν τί ἐστιν ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεώς ἐστιν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου· καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν καὶ ὅταν γε χρόνος δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς τις δοκεῖ γεγονέναι. ὥστε ἤτοι κίνησις ἢ τῆς κινήσεώς τι ἐστιν ὁ χρόνος. ἐπεὶ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν.

ἐπεὶ δὲ τὸ κινούμενον κινεῖται ἔκ τινος εἴς τι καὶ πᾶν μέγεθος συνεχές, ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις· διὰ γὰρ τὸ τὸ μέγεθος εἶναι συνεχὲς καὶ ἡ κίνησίς ἐστιν συνεχής, διὰ δὲ τὴν κίνησιν ὁ χρόνος· ὅση γὰρ ἡ

ᵇ22 μεταβάλλωμεν EFGIJPS: μεταβάλωμεν H 23 χρόνος EJPST: ὁ χρόνος FGHI 24 ἐν FPT: ἐν τῇ GHIJ: om. E 25 τὸ . . . τῷ ΛST 26 τὸ μέσον I 27 ἀλλὰ E²ΛV: ἀλλὰ καὶ E¹ ἓν καὶ ταὐτόν H 28 χρόνος EGIJST: ὁ χρόνος FH ἐπεὶ λανθάνει G: ἐπιλανθάνει E 29 δὲ E² εἶναι om. EG, sup. lin. J 30 ὁρίσωμεν Λ et fort. S: ὁρίζωμεν E 31 ἐν om. H φαίνεται GH 32 δ' om. E¹ 33 ἄνευ . . . μεταβολῆς EFGJS: ἄνευ μεταβολῆς καὶ κινήσεως T: μεταβολῆς καὶ κινήσεως ἄνευ H: ἄνευ κινήσεως I 219ª 1 χρόνος pr.] ὁ χρόνος FI 2 ἐπεί E¹HS: ἐπειδὴ E²FGIJ τίς E¹· ὁ om. F 3 ἀρχόμενοι E¹P τι] εἴ τι Torstrik ἔσται E: ὁ χρόνος ἐστίν H: ἐστιν ὁ χρόνος P 6 δοκεῖ τις EGIJP: δοκεί τι F: τις δοκεῖ HS: δοκεῖ T 7 ὅταν καὶ S γε om. FHST δοκῇ γεγονέναι EGHJT: δοκῇ γενέσθαι I: γενέσθαι δοκῇ F 8 τις om. H δοκεῖ ET: φαίνεται ΛS 9–10 ἐστιν . . . τι om. G ἐπεὶ E¹HJ²S: ἐπειδὴ E²FGIJ¹ 10 εἶναί τι HS 12 τὸ alt. om. E²FGJ 13 διὰ . . . χρονος HVST: om. EFGIJ et ut vid. P

düşüncemizde hiçbir şey değişmediğinde ya da değişmeyi farketmediğimizde biz zamanın da geçmediğini düşünüyoruz. Sardenya'da uyanıkken uyudukları anlatılan kahramanlar için de bu böyle olsa gerek, çünkü onlar duyumsamadıklarından ötürü aradakini atıp önceki an ile sonraki anı birleştirip tek yaparlar. Nasıl ki 'an' değişik bir şey değil de aynı ve tek şey olsaydı zaman olmazdı, aynı şekilde değişik bir şey olduğundan ötürü duyumsanmadığı için aradaki 'ara-an'ın zaman olmadığı düşünülüyor. İmdi hiçbir değişme beklemediğimizde zaman geçmediğine inanıyor, ruhun tek ve bölünmez bir 'an-durumunda' kaldığını düşünüyorsak, bir değişme duyumsamadığımız ve belirlemediğimizde ise zaman geçmediğini söylüyorsak, bir devinme ve bir değişmeden bağımsız zaman yok, bu açık. Öyleyse yine açık ki, zaman hem bir devinim değil hem de devinimden bağımsız değil. Madem zamanın ne olduğunu inceliyoruz, buradan başlayıp "zaman devinimin neyi?", bunu ele almalıyız. İmdi biz devinim ile zamanı aynı anda algılıyoruz. Karanlıksa ve bedensel bir etkilenime uğramıyorsak bile ruhta bir devinim olduğunda hemen belli bir zaman da geçti diye düşünüyoruz. Ama belli bir zaman geçtiği düşünüldüğünde aynı anda bir devinim olduğu da düşünülür. Dolayısıyla zaman ya bir devinim ya da devinime ait bir şey. Demek madem bir devinim değil, devinime ait bir şey olması zorunlu.

Devinen nesne bir şeyden bir şeye doğru devindiği için ve her büyüklük sürekli olduğundan devinim büyüklüğü izliyor. Çünkü büyüklük sürekli olduğundan devinim de sürekli, devinim sürekli olduğundan ötürü de zaman [sürekli]: nitekim devinim ne denliyse

κίνησις, τοσοῦτος καὶ ὁ χρόνος αἰεὶ δοκεῖ γεγονέναι. τὸ δὴ πρότερον καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν. ἐνταῦθα μὲν δὴ τῇ θέσει· ἐπεὶ δ' ἐν τῷ μεγέθει ἔστι τὸ πρότερον καὶ ὕστερον, ἀνάγκη καὶ ἐν κινήσει εἶναι τὸ πρότερον καὶ ὕστερον, ἀνάλογον τοῖς ἐκεῖ. ἀλλὰ μὴν καὶ ἐν χρόνῳ ἔστιν τὸ πρότερον καὶ ὕστερον διὰ τὸ ἀκολουθεῖν ἀεὶ θατέρῳ θάτερον αὐτῶν. ἔστι δὲ τὸ πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει ὃ μέν ποτε ὂν κίνησις [ἐστιν]· τὸ μέντοι εἶναι αὐτῷ ἕτερον καὶ οὐ κίνησις. ἀλλὰ μὴν καὶ τὸν χρόνον γε γνωρίζομεν ὅταν ὁρίσωμεν τὴν κίνησιν, τῷ πρότερον καὶ ὕστερον ὁρίζοντες· καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν. ὁρίζομεν δὲ τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτά, καὶ μεταξύ τι αὐτῶν ἕτερον· ὅταν γὰρ ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον τὸ δ' ὕστερον, τότε καὶ τοῦτο φαμεν εἶναι χρόνον· τὸ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος εἶναι δοκεῖ· καὶ ὑποκείσθω. ὅταν μὲν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ ἧτοι ὡς πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει ἢ ὡς τὸ αὐτὸ μὲν προτέρου δὲ καὶ ὑστέρου τινός, οὐ δοκεῖ χρόνος γεγονέναι οὐδείς, ὅτι οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερον καὶ ὕστερον, τότε λέγομεν χρόνον· τοῦτο γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον.

οὐκ ἄρα κίνησις ὁ χρόνος ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις. σημεῖον δέ· τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλάττω χρόνῳ· ἀριθμὸς ἄρα τις ὁ χρόνος. ἐπεὶ δ' ἀριθμός ἐστι διχῶς (καὶ γὰρ τὸ ἀριθμούμενον καὶ τὸ ἀριθ-

[a] 14 καὶ ΛPS : om. E αἰεὶ om. S δὴ EHAPT : δὲ VS : δὲ δὴ FGIJ 16 ἐπειδὴ δὲ T : ἐπειδὴ S ἔστι ΛPST : om. E πρῶτον GJ[1] καὶ EFGIJS : καὶ τὸ HPT 17 καὶ alt.] καὶ τὸ H 18 ἐν] ἐν τῷ IP ἔστιν om. H 19 καὶ] καὶ τὸ HP 20 καὶ] καὶ τὸ GHIJP ἐν τῇ κινήσει om. P ἐν HST : αὐτῶν ἐν EFGIJ : τὸ ἐν Torstrik ποτε ὂν ΛPS : πρότερον E 21 ἐστιν seclusit Torstrik, om. S et ut vid. P[p] : habent Π[pc] 22 γε om. I 23 τῷ EFGV : τὸ HIJPT 25 τῷ] τῷ ἄλλο καὶ G 26 αὐτά] αὐτό EFGP 29 εἶναι alt. E[2]ΛP : om. E[1] 30 αἰσθανώμεθα τὸ νῦν F 31 τοι E : ἢ fecit J ὡς] ὡς τὸ GHIJ καὶ] καὶ τὸ H 32 μὲν EGIJ[1]PS : μὲν νῦ FJ[2] : μὴ H δὲ καὶ ὑστέρου ΛVPPS : καὶ ὑστέρου P[1] : om. E γεγονέναι χρόνος F 33 τὸ om. G

[b] 1 καὶ] καὶ τὸ E 2 τὸ om. JS 3 ᾗ ΠPT : ἡ ᾗ Torstrik 6 δ'] δ' ὁ E[2]GP ἔστι sup. lin. E[1] ἀριθμητὸν καὶ τὸ ἀριθμούμενον H τὸ ΠPS : secl. Jackson ἀριθμητὸν FGIJP : ἀριθμοῦν E

hep o denli zaman geçtiği düşünülüyor. Demek ki, 'önce' ile 'sonra' aslında bir yer içinde var, diziliş açısından orada. Büyüklükte 'önce' ile 'sonra' varolduğundan ötürü devinimde de büyüklüklerle orantılı bir 'önce' ile 'sonra' olması zorunlu. Ne ki birini hep öteki izlediğinden zamanda da 'önce' ile 'sonra' var. Ama devinimdeki 'önce' ile 'sonra' kimi öz devinimin kendisi, devinimle aynı şey; oysa onun varlığı değişik ve devinim değil. Devinimi 'önce' ile 'sonra' açısından belirleyerek saptadığımızda zamanı da anlıyoruz, diyesim devinimdeki 'önce' ile 'sonra'yı algıladığımızda zamanın geçtiğini söylüyoruz. Belirlememizi sağlayan şey, onları başka başka şeyler olarak kabul etmemiz ve arada onlardan farklı bir şey olduğuna inanmamız. Çünkü uçları ortadan değişik şeyler diye düşündüğümüzde, düşüncemizde iki 'an' var; "biri önce, öteki sonra" dediğimizde işte bunun zaman olduğunu ileri sürüyoruz: nitekim zamanın 'an' ile belirlenen şey olduğu düşünülüyor, dayanağımız bu olsun. Şimdi biz 'an'ı devinimdeki önce ile sonra olarak ya da öncenin sonu sonranın başı olan şey olarak değil de, 'tek şey' olarak algıladığımızda hiçbir zaman geçmemiş görünüyor, çünkü devinim de yok. Ama önce ile sonrayı algıladığımızda "zaman geçti" diyoruz. Aslında zaman şu: *önce ile sonraya göre devinim sayısı.* 219b

Demek ki devinim zaman demek değil, devinimin bir ölçüsü olduğu için bu böyle. Şurdan da belli: 'çok' ile 'az'ı sayı aracılığıyla seçiyoruz, devinimin çokluğunu ya da azlığını ise zaman aracılığıyla. Demek zaman bir tür sayı; ama sayının iki anlamı var (nitekim hem sayılan ile sayılabilir olana "sayı" deriz hem de onunla

11. 219ª 14 — 219ᵇ 28

μητὸν ἀριθμὸν λέγομεν, καὶ ᾧ ἀριθμοῦμεν), ὁ δὴ χρόνος ἐστὶν τὸ ἀριθμούμενον καὶ οὐχ ᾧ ἀριθμοῦμεν. ἔστι δ' ἕτερον ᾧ ἀριθμοῦμεν καὶ τὸ ἀριθμούμενον. καὶ ὥσπερ ἡ κίνησις αἰεὶ ἄλλη καὶ ἄλλη, καὶ ὁ χρόνος (ὁ δ' ἅμα πᾶς χρόνος ὁ αὐτός· τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτ' ἦν—τὸ δ' εἶναι αὐτῷ ἕτερον—τὸ δὲ νῦν τὸν χρόνον ὁρίζει, ᾗ πρότερον καὶ ὕστερον). τὸ δὲ νῦν ἔστι μὲν ὡς τὸ αὐτό, ἔστι δ' ὡς οὐ τὸ αὐτό· ᾗ μὲν γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἕτερον (τοῦτο δ' ἦν αὐτῷ τὸ νῦν ⟨εἶναι⟩), ὃ δέ ποτε ὂν ἐστι τὸ νῦν, τὸ αὐτό. ἀκολουθεῖ γάρ, ὡς ἐλέχθη, τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δ' ὁ χρόνος, ὥς φαμεν· καὶ ὁμοίως δὴ τῇ στιγμῇ τὸ φερόμενον, ᾧ τὴν κίνησιν γνωρίζομεν καὶ τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον. τοῦτο δὲ ὃ μέν ποτε ὂν τὸ αὐτό (ἡ στιγμὴ γὰρ ἡ λίθος ἢ τι ἄλλο τοιοῦτόν ἐστι), τῷ λόγῳ δὲ ἄλλο, ὥσπερ οἱ σοφισταὶ λαμβάνουσιν ἕτερον τὸ Κορίσκον ἐν Λυκείῳ εἶναι καὶ τὸ Κορίσκον ἐν ἀγορᾷ, καὶ τοῦτο δὴ τῷ ἄλλοθι καὶ ἄλλοθι εἶναι ἕτερον· τῷ δὲ φερομένῳ ἀκολουθεῖ τὸ νῦν, ὥσπερ ὁ χρόνος τῇ κινήσει (τῷ γὰρ φερομένῳ γνωρίζομεν τὸ πρότερον καὶ ὕστερον ἐν κινήσει, ᾗ δ' ἀριθμητὸν τὸ πρότερον καὶ ὕστερον, τὸ νῦν ἔστιν)· ὥστε καὶ ἐν τούτοις ὃ μέν ποτε ὂν νῦν ἐστι, τὸ αὐτό (τὸ πρότερον γὰρ καὶ ὕστερόν ἐστι τὸ ἐν κινήσει), τὸ δ' εἶναι ἕτερον (ᾗ ἀριθμητὸν γὰρ τὸ πρότερον καὶ ὕστερον, τὸ νῦν ἔστιν). καὶ

ᵇ 7 δὲ EHIJ 8 τὸ . . . οὐχ] οὐχ ὁ ἀριθμούμενος, ἀλλ' γρ. Aspasius ὃ G ἔστι . . . 9 ἀριθμούμενον post ᵇ 7 ἀριθμοῦμεν transp. Torstrik: ἔστι . . . ἀριθμοῦμεν om. J¹ 8 ᾧ om. E¹: οὐχ ᾧ Aspasius 9 καὶ pr.] ἀλλὰ Aspasius 10 καὶ ἄλλη EFHJ²PPSᵖ: om. GIJ¹P¹S¹ πᾶς χρόνος] πᾶς vel χρόνος πᾶς Torstrik τὸ] ὃ E² 11 ἦν] ὂν Torstrik 12 ὁρίζει Torstrik: μετρεῖ ΠVPS: διαιρεῖ Gottschlich: secl. Prantl: an μερίζει? ὕστερον ΛS: ὕστερον ὁρίζει EV Prantl 13 ἔστι . . . αὐτό om. G γὰρ om. H 14 καὶ ἄλλῳ om. G νῦν εἶναι vel εἶναι ci. Bonitz: habuit ut vid. P: νῦν Π ὃ . . . 15 νῦν E¹ incertum 14 ὃ GHIJ¹PS: ᾗ E²FJ² ποτε HJ²PS: ὅ ποτε E²F: ὁπότε GIJ¹ 15 ἐστι τὸ νυν] τὸ νῦν ἐστι S: ἐστι P ἀκολουθεί . . . 16 φαμεν secl. Torstrik (cf. 220ᵇ 24–6): habent ΠPST 15 ὥσπερ E²ΛP 17 τῇ στιγμῇ ΠPST: στιγμῃ E: secl. Torstrik 18 ταύτῃ H τὸ om. G δὴ E²FGHIJ² ὂν ἐστὶ τὸ H 20 τὸ ΛP: om. E 22 τοῦτον ut vid. P 24–5 ἐν . . . ὕστερον om. G 24 ἐν] ἐν τῇ HS 25 ᾗ ΛPS: εἰ E καὶ FGIJPS: καὶ τὸ EH τὸ FGHIPT: om. ES, erasit J 26 ὥστε . . . τοῦτοις om. F τὸ αὐτό ἐστι F τὸ alt. EHIP et sup. lin. J¹: om. FG 27 καὶ] ἡ FGIJP τὰ ΛP: om. EV ἐν] ἓν τῇ H τὸ FGIJP: τῷ H: om. E 28 τὸ νῦν ἔστιν GIJP: ἐστὶ τὸ νῦν F: νῦν ἐστι EH

saydığımız şeye). İmdi zaman onunla saydığımız şey değil, sayılan şey. Onunla saydığımız şeyle sayılan şeyse birbirinden değişik. Nasıl devinim de hep değişik ise, zaman da (ama zamandaş alınan her zaman noktası aynı, çünkü 'an', varlığı değişik olsa bile bir zaman ne idiyse aynı; zamanı öncelik sonralığı açısından belirleyen de 'an'). 'An' bir anlamda aynı, bir anlamda aynı değil, hep başka bir şey içinde olduğundan değişik (onun 'an' olması bu idi), hep 'an' olduğundan ötürü de aynı. Nitekim dediğimiz gibi devinim büyüklüğü izliyor, yine dediğimiz gibi devinimi de zaman. Aynı biçimde devinimi ve devinimdeki 'önce' ile 'sonra'yı onunla anladığımız yer değiştiren nesne de noktayı izler. Ne ki yer değiştiren nesne "bir zaman varolan şey" olarak aynı, (çünkü ya bir nokta ya bir taş ya da böyle başka bir şey) ama kavramca farklı -sofistlerin 'Okuldaki Koriskos' ile 'Çarşıdaki Koriskos'u farklı kabul etmeleri gibi. Öyleyse yer değiştiren nesne başka başka yerlerde olmakla farklı. Zamanın devinimi izlemesi gibi 'an' da yer değiştiren nesneyi izliyor (çünkü yer değiştiren nesne ile devinimdeki 'önce'yi, 'sonra'yı anlıyoruz, 'önce' ile 'sonra' sayılabilir olduğundan ötürü de 'an'ın varlığını). Dolayısıyla buna göre de 'an' bir zaman varolan şey olarak aynı (devinimdeki 'önce' ile 'sonra'), ama varlığı farklı (çünkü 'önce' ile 'sonra' sayılabilir olduğundan ötürü 'an' var).

γνώριμον δὲ μάλιστα τοῦτ' ἔστιν· καὶ γὰρ ἡ κίνησις διὰ τὸ
30 κινούμενον καὶ ἡ φορὰ διὰ τὸ φερόμενον· τόδε γάρ τι τὸ
φερόμενον, ἡ δὲ κίνησις οὔ. ἔστι μὲν οὖν ὡς τὸ αὐτὸ τὸ νῦν
αἰεί, ἔστι δ' ὡς οὐ τὸ αὐτό· καὶ γὰρ τὸ φερόμε-
33 νον.

33 φανερὸν δὲ καὶ ὅτι εἴτε χρόνος μὴ εἴη, τὸ νῦν οὐκ ἂν
220ª εἴη, εἴτε τὸ νῦν μὴ εἴη, χρόνος οὐκ ἂν εἴη· ἅμα γὰρ ὥσπερ
τὸ φερόμενον καὶ ἡ φορά, οὕτως καὶ ὁ ἀριθμὸς ὁ τοῦ φερο-
μένου καὶ ὁ τῆς φορᾶς. χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀρι-
θμός, τὸ νῦν δὲ ὡς τὸ φερόμενον, οἷον μονὰς ἀριθμοῦ. καὶ
5 συνεχής τε δὴ ὁ χρόνος τῷ νῦν, καὶ διήρηται κατὰ τὸ νῦν·
ἀκολουθεῖ γὰρ καὶ τοῦτο τῇ φορᾷ καὶ τῷ φερομένῳ. καὶ
γὰρ ἡ κίνησις καὶ ἡ φορὰ μία τῷ φερομένῳ, ὅτι ἕν (καὶ
οὐχ ὅ ποτε ὄν—καὶ γὰρ ἂν διαλίποι—ἀλλὰ τῷ λόγῳ)· καὶ
ὁρίζει δὲ τὴν πρότερον καὶ ὕστερον κίνησιν τοῦτο. ἀκολουθεῖ
10 δὲ καὶ τοῦτό πως τῇ στιγμῇ· καὶ γὰρ ἡ στιγμὴ καὶ συνέχει
τὸ μῆκος καὶ ὁρίζει· ἔστι γὰρ τοῦ μὲν ἀρχὴ τοῦ δὲ τελευτή.
ἀλλ' ὅταν μὲν οὕτω λαμβάνῃ τις ὡς δυσὶ χρώμενος τῇ μιᾷ,
ἀνάγκη ἵστασθαι, εἰ ἔσται ἀρχὴ καὶ τελευτὴ ἡ αὐτὴ στιγμή·
τὸ δὲ νῦν διὰ τὸ κινεῖσθαι τὸ φερόμενον αἰεὶ ἕτερον. ὥσθ' ὁ
15 χρόνος ἀριθμὸς οὐχ ὡς τῆς αὐτῆς στιγμῆς, ὅτι ἀρχὴ καὶ
τελευτή, ἀλλ' ὡς τὰ ἔσχατα τῆς γραμμῆς μᾶλλον—καὶ οὐχ
ὡς τὰ μέρη, διά τε τὸ εἰρημένον (τῇ γὰρ μέσῃ στιγμῇ ὡς
δυσὶ χρήσεται, ὥστε ἠρεμεῖν συμβήσεται), καὶ ἔτι φανερὸν

ᵇ 29 τοῦτ'] τὸ νῦν τοῦτ' H 31 ὡς τὸ] ὥστε E τὸ νῦν EVP : νῦν S : τὸ νῦν λεγόμενον FGJ : νυν λεγόμενον I : λεγόμενον τὸ νῦν H 32 αἰεὶ om: S τὸ alt. EFGHJSᵖ : καὶ τὸ IPS¹ 220ª 1 εἴη alt. ΛP : ἔσται E χρόνος EJP : ὁ χρόνος FGHI 2 ὁ pr. om. F 4 δὲ νῦν H 5 τῷ] τῶν E 6 καὶ pr. om. G, sup. lin. J¹ καὶ γὰρ . . . 7 φερομένῳ om. G 7 γάρ] γὰρ καὶ E καὶ alt. om. H 8 διαλείποι GIJP ἅμα ex ἀλλὰ fecerunt EJ τῷ] καὶ τῷ F 9 ὁρίζει δὲ scripsi, fort. habuit S : ὁρίζει δὴ HIP : γὰρ ὁρίζει FGJT et fecit E τὴν . . . κίνησιν GH²IJP et in lit. E : τὴν προτέραν καὶ ὑστέραν κίνησιν FT : τῇ πρότερον καὶ ὕστερον κινήσει H¹ τοῦτο] τοῦτο καὶ συνέχει Torstrik 10 καὶ γὰρ ἡ στιγμὴ E²ΛP : om. E¹ 12 ὡς FHIJ²P : om. EGJ¹ 13 ἔστιν J²P ἀρχὴ καὶ τελευτὴ FGHIP : ἡ ἀρχὴ καὶ τελευτὴ J : ἡ ἀρχὴ καὶ ἡ τελευτὴ E 14 αἰεὶ om. S 15 ὅτι ἡ ἀρχὴ J 16 τῆς γραμμῆς Pᵖ, Torstrik : τῆς αὐτῆς EFGHJP¹ : τῆς αυτης γραμμης T : τῆς I : an omittenda ? 17 τε ΛPS : om. E ὡς FHIPS et sup. lin. J : om. EG

En çok bilinebilir olan da 'an', çünkü devinim devinen nesne aracılığıyla, yer değiştirme yer değiştiren nesne aracılığıyla [bilinebilir]; nitekim devinim değil, yer değiştiren nesne belli bir nesnedir (tode ti). Demek ki 'an' bir anlamıyla aynı, bir anlamıyla da aynı değil; çünkü yer değiştiren nesne de öyle.

Şu da açık: zaman olmasa 'an' da olamaz; 'an' olmasa zaman da olamaz, çünkü nasıl yer değiştiren nesne ile yer değiştirme zamandaş ise, yer değiştiren nesnenin [ölçüm] sayısı ile yer değiştirmenin [ölçüm sayısı] da zamandaş. Zaman yer değiştirmenin [ölçüm] sayısı, 'an' ise yer değiştiren nesne gibi, bir biçimde bir sayı birimi. Öyleyse zaman hem 'an' aracılığıyla sürekli hem de 'an'a göre biliniyor, anlaşılıyor; zaman bu açıdan da yer değiştirmeyi ve yer değiştiren nesneyi izliyor: nitekim hem devinim hem de yer değiştirme, yer değiştiren nesne aracılığıyla birlik taşıyor, çünkü yer değiştiren nesne tek (tek olmadığında bile - çünkü [devinme] kesilebilecektir- bu kavramca öyle). Kaldı ki, devinimdeki 'önce' ile 'sonra'yı belirleyen bu, bu da bir biçimde noktayı izliyor; çünkü nokta da çizgiyi *hem sürekli kılıyor hem de sınırlıyor; bir parçanın başı, ötekinin sonudur.* Ne ki tek nokta bu biçimde iki olarak kullanıldıkta aynı nokta başlangıç ve son olacaksa, nesnenin durması zorunlu. Oysa 'an' yer değiştiren nesnenin devinmesinden ötürü hep değişik bir şey. Dolayısıyla zaman bir ölçme sayısı ama başı ile sonu olduğu için aynı noktanın sayısı gibi değil, daha çok sanki bir çizginin uç noktaları gibi; dediğimiz şeyden ötürü parçaları gibi de değil (çünkü ortadaki nokta ikiymiş gibi kullanılacak, sonuçta devinimde kesinti sözkonusu olacak). Ayrıca şu da açık: 'an'

11. 219b 29 — 12. 220b 7

ὅτι οὐδὲν μόριον τὸ νῦν τοῦ χρόνου, οὐδ' ἡ διαίρεσις τῆς κινήσεως, ὥσπερ οὐδ' ἡ στιγμὴ τῆς γραμμῆς· αἱ δὲ γραμμαὶ αἱ δύο τῆς μιᾶς μόρια. † ἡ μὲν οὖν πέρας τὸ νῦν, οὐ χρόνος, ἀλλὰ συμβέβηκεν· ἧ δ' ἀριθμεῖ, ἀριθμός †· τὰ μὲν γὰρ πέρατα ἐκείνου μόνον ἐστὶν οὗ ἐστιν πέρατα, ὁ δ' ἀριθμὸς ὁ τῶνδε τῶν ἵππων, ἡ δεκάς, καὶ ἄλλοθι. ὅτι μὲν τοίνυν ὁ χρόνος ἀριθμός ἐστιν κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον, καὶ συνεχής (συνεχοῦς γάρ), φανερόν.

12 Ἐλάχιστος δὲ ἀριθμὸς ὁ μὲν ἁπλῶς ἐστὶν ἡ δυάς· τὶς δὲ ἀριθμὸς ἔστι μὲν ὡς ἔστιν, ἔστι δ' ὡς οὐκ ἔστιν, οἷον γραμμῆς ἐλάχιστος πλήθει μέν ἐστιν αἱ δύο ἢ ἡ μία, μεγέθει δ' οὐκ ἔστιν ἐλάχιστος· ἀεὶ γὰρ διαιρεῖται πᾶσα γραμμή. ὥστε ὁμοίως καὶ χρόνος· ἐλάχιστος γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν ὁ εἷς ἢ οἱ δύο, κατὰ μέγεθος δ' οὐκ ἔστιν.

φανερὸν δὲ καὶ ὅτι ταχὺς μὲν καὶ βραδὺς οὐ λέγεται, πολὺς δὲ καὶ ὀλίγος καὶ μακρὸς καὶ βραχύς. ἧ μὲν γὰρ συνεχής, μακρὸς καὶ βραχύς, ἧ δὲ ἀριθμός, πολὺς καὶ ὀλίγος. ταχὺς δὲ καὶ βραδὺς οὐκ ἔστιν· οὐδὲ γὰρ ἀριθμὸς ᾧ ἀριθμοῦμεν ταχὺς καὶ βραδὺς οὐδείς.

καὶ ὁ αὐτὸς δὲ πανταχοῦ ἅμα· πρότερον δὲ καὶ ὕστερον οὐχ ὁ αὐτός, ὅτι καὶ ἡ μεταβολὴ ἡ μὲν παροῦσα μία, ἡ δὲ γεγενημένη καὶ ἡ μέλ-

---

a 19 οὐδὲν EGJAS Aspasius Porphyrius: οὐδὲ FHIPT μόριον . . . διαίρεσις EF^2GHIJT Porphyrius: μόριον τὸ χρόνου τῆς κινήσεως οὐδ' ἡ διαίρεσις F^1: μέρος ὁ χρόνος A Aspasius: μόριον ὁ χρόνος P τῆς κινήσεως om. F^1 20 ἡ στιγμὴ HA Aspasius: αἱ στιγμαὶ EFG1JT Porphyrius τῆς et 21 αἱ EGHIS: om. FJ 21 χρόνος ΠPS: χρόνου Torstrik 22 ἀριθμεῖ, ἀριθμός damnavit Torstrik ἀριθμεῖ EFGHIAPS^c: ἀριθμήσει J: ἀριθμεῖται ci. A ἀριθμός om. PS^c 23 μόνου G οὗ EFGJP: πέρατα οὗ HI δ'] γὰρ S ὁ om. EJPST: τῶν F 25 καὶ] καὶ τὸ I καὶ om. G 26 γὰρ] μὲν γὰρ F 27–8 δυάς . . . δ' ὡς supra lituram E^2 28 δὲ] δὲ ὁ G ἔστι μὲν ὡς ἔστιν IJP et in lit. E: ἔστιν, ἔστι μὲν ὡς F: ἔστι μὲν ὡς (ἔστιν sup. lin. addito in G) GHJ γραμμὴ J^1 29 πλήθει] ἀριθμὸς πλήθει H ἢ ἡ μία om. fort. T: ἡ om. F 31 καὶ] καὶ ὁ FH γὰρ κατὰ μέν] μὲν κατὰ I 32 ὁ ΛP: οἷον E^1V: οἷον ὁ E^2 οἱ om. E^1FP b 1 δὲ EFGHJS: δὴ V: δὲ δὴ I ὅτι EIS: διότι FGHJ βραδὺς μὲν καὶ ταχὺς H 2–3 ἧ . . . βραχύς om. G 2 γὰρ om. I 3 ἧ] ὁ G 4 δὲ om. G γὰρ E^2ΛPS: γὰρ ὁ E^1 ᾧ ἀριθμοῦμεν ΠP: om. T, secl. Torstrik 5 οὐδὲ εἷς H δὲ ΛST: δὴ EP 6 πρότερος δὲ καὶ ὕστερος GPT

zamanın hiçbir parçası değil, devinimin kesintisi de değil; nasıl ki nokta, çizginin parçası değil: çünkü çizginin parçaları [çizginin bölünmesiyle elde edilen] iki çizgidir. Öyleyse 'an' bir sınır olduğundan ötürü zaman değil, zamanın bir ilineği, ama sayı oluşturduğundan ötürü de bir sayı...[39] Sınırlar salt neyin sınırıysa onun sınırları, oysa şu atların sayısı 'on'; başka yerde de ['on' sayısı kullanılır]. İmdi şu açık: "zaman daha önce ile daha sonraya göre bir devinim [ölçme] sayısı ve sürekli" (çünkü sürekli olan bir şeye, [devinime] ait).

12 Genel anlamda alındıkta en küçük sayı 'iki'[40] ama bir nesne sayı olarak alındıkta [en küçük] bir anlamda var bir anlamda yok: sözgelişi bir çizginin çoklukça en küçüğü iki ya da bir, oysa büyüklükçe en küçüğü yok, çünkü her çizgi hep yeniden bölünür. Dolayısıyla zaman da böyle: sayı açısından en küçük zaman parçası bir ya da iki ama büyüklük açısından 'en küçük zaman' yok.

Şurdan da bu açık: [zamana] "hızlı" "yavaş" denmez; "çok", "az", "uzun", "kısa" denir, çünkü sürekli olduğundan ötürü "uzun", "kısa"; 220b
bir sayı olduğundan ötürü de "çok", "az"dır. Ama yavaş, hızlı değil. Onunla saydığımız hiçbir sayı da aslında "hızlı", "yavaş" değil.

Zaman zamandaş olarak alındıkta her yerde aynı, ama 'daha önce' ya da 'daha sonra' olarak aynı değil; çünkü değişme de varken bir, tek; geçmişte kalmışsa ya da gelecekte olacaksa değişik.

λουσα ἑτέρα, ὁ δὲ χρόνος ἀριθμός ἐστιν οὐχ ᾧ ἀριθμοῦμεν ἀλλ' ὁ ἀριθμούμενος, οὗτος δὲ συμβαίνει πρότερον καὶ ὕστερον ἀεὶ ἕτερος· τὰ γὰρ νῦν ἕτερα. ἔστι δὲ ὁ ἀριθμὸς εἷς μὲν καὶ ὁ αὐτὸς ὁ τῶν ἑκατὸν ἵππων καὶ ὁ τῶν ἑκατὸν ἀνθρώπων, ὧν δ' ἀριθμός, ἕτερα, οἱ ἵπποι τῶν ἀνθρώπων. ἔτι ὡς ἐνδέχεται κίνησιν εἶναι τὴν αὐτὴν καὶ μίαν πάλιν καὶ πάλιν, οὕτω καὶ χρόνον, οἷον ἐνιαυτὸν ἢ ἔαρ ἢ μετόπωρον.

οὐ μόνον δὲ τὴν κίνησιν τῷ χρόνῳ μετροῦμεν, ἀλλὰ καὶ τῇ κινήσει τὸν χρόνον διὰ τὸ ὁρίζεσθαι ὑπ' ἀλλήλων· ὁ μὲν γὰρ χρόνος ὁρίζει τὴν κίνησιν ἀριθμὸς ὢν αὐτῆς, ἡ δὲ κίνησις τὸν χρόνον. καὶ λέγομεν πολὺν καὶ ὀλίγον χρόνον τῇ κινήσει μετροῦντες, καθάπερ καὶ τῷ ἀριθμητῷ τὸν ἀριθμόν, οἷον τῷ ἐνὶ ἵππῳ τὸν τῶν ἵππων ἀριθμόν. τῷ μὲν γὰρ ἀριθμῷ τὸ τῶν ἵππων πλῆθος γνωρίζομεν, πάλιν δὲ τῷ ἐνὶ ἵππῳ τὸν τῶν ἵππων ἀριθμὸν αὐτόν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ χρόνου καὶ τῆς κινήσεως· τῷ μὲν γὰρ χρόνῳ τὴν κίνησιν, τῇ δὲ κινήσει τὸν χρόνον μετροῦμεν. καὶ τοῦτ' εὐλόγως συμβέβηκεν· ἀκολουθεῖ γὰρ τῷ μὲν μεγέθει ἡ κίνησις, τῇ δὲ κινήσει ὁ χρόνος, τῷ καὶ ποσὰ καὶ συνεχῆ καὶ διαιρετὰ εἶναι· διὰ μὲν γὰρ τὸ τὸ μέγεθος εἶναι τοιοῦτον ἡ κίνησις ταῦτα πέπονθεν, διὰ δὲ τὴν κίνησιν ὁ χρόνος. καὶ μετροῦμεν καὶ τὸ μέγεθος τῇ κινήσει καὶ τὴν κίνησιν τῷ μεγέθει· πολλὴν γὰρ εἶναί φαμεν τὴν ὁδόν, ἂν ἡ πορεία πολλή, καὶ ταύτην πολλήν, ἂν ἡ ὁδὸς [ᾖ] πολλή· καὶ τὸν χρόνον, ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν, ἂν ὁ χρόνος.

ἐπεὶ δ' ἔστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, μετρεῖ δ' οὗτος τὴν κίνησιν τῷ ὁρί-

b 9 συμβαίνει] συμβαίνει κατὰ τὸ IT ὕστερον καὶ πρότερον H 10 τὰ . . . ἔστι fecit E μὲν om. E¹ 11 καὶ ὁ τῶν] καὶ τῶν GI : τῶν τε H 12 δ'] δ' ὁ H οἱ ἵπποι τῶν ΛS : οἷον ἵππων καὶ E 14 χρόνον ἐνδέχεται οἷον ΛT 18 καὶ alt.] ἢ Λ χρόνον om. H 19 καὶ om. F ἀριθμῷ JP τὸν] ᾖ fecit J οἷον . . . 20 ἀριθμόν om. I 20–2 τῳ . . . αὐτόν om. H 21 ἐνὶ] ἑνὶ E¹ τὸν αὐτῶν ἀριθμόν. ὁμοίως EV 22 δὲ om. H τῆς F καὶ τῆς GHIJV : om. EF 25 μὲν EGHJPST : om. FI 27 τὸ alt. om. EFI εἶναι om. GH τοσοῦτον καὶ ἡ H 29 φαμεν εἶναι GHIJS : φαμεν T 30 ἡ EFGHSᵖT : ᾖ I : ᾖ ἡ JSᶜ καὶ . . . 31 πολλὴ om. G 30 ταύτην φαμὲν εἶναι πολλὴν H 31 ᾖ om. SᵖT 32 τὴν . . . χρόνος pr.] ὁ χρόνος τὴν κίνησιν A γρ. S ἐστιν post 221ᵃ 1 κινήσεως I 221ᵃ 1 αὐτως FGIJ ὡρίσθαι G

Zaman onunla saydığımız sayı değil, sayılan sayı; bu ise 'önce', 'sonra' hep değişik oluyor, çünkü 'an'lar değişik. Oysa sayı bir ve aynı, ister yüz atın sayısı olsun ister yüz insanın. Sayı neyin sayısı ise o nesneler değişik, diyesim atlar insanlardan değişik. Öte yandan nasıl bir devinim dönüşümlü olarak tek ve aynı olabilirse zaman da öyle: sözgelişi yıl, ilkbahar, sonbahar.

Yalnızca devinimi zamanla ölçmüyoruz, zamanı da devinimle ölçüyoruz, çünkü birbirlerince belirleniyorlar: nitekim zaman onun sayısı olduğu için devinimi belirliyor, devinimse zamanı. Zamanı devinimle ölçerken ona "çok", "az" diyoruz, tıpkı sayıyı sayılabilir olanla, sözgelişi bir atla atların sayısını ölçtüğümüz gibi. Nitekim sayı aracılığıyla atların çokluğunu biliyoruz, yine bir atla da atların sayısının kendisini. Zaman ile devinimde de bu böyle: zamanla devinimi, devinimle zamanı ölçüyoruz. Bu da akla uygun, çünkü belli nicelikte, sürekli ve ayrılabilir olmaları açısından büyüklüğü devinim, devinimi zaman izliyor. Nitekim büyüklük bu özellikleri taşıdığından devinim bu özellikleri yükleniyor, devinimden ötürü de zaman. Yine hem büyüklüğü devinimle hem de devinimi büyüklükle ölçüyoruz, yürüyüş uzun olduğunda yolun uzun olduğunu söyleriz, yine yol uzunsa yürüyüşün. Yine devinim öyleyse zamana, zaman öyleyse devinime de.

Madem zaman devinimin ve devinimin varlığının ölçüsü; madem o bütün devinimi ölçecek olan belli bir devinimi belirleyerek 221a

12. 220^{b} 8 — 221^{a} 26

σαι τινὰ κίνησιν ἢ καταμετρήσει τὴν ὅλην (ὥσπερ καὶ τὸ μῆκος ὁ πῆχυς τῷ ὁρίσαι τι μέγεθος ὁ ἀναμετρήσει τὸ ὅλον), καὶ ἔστιν τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαι τῷ χρόνῳ καὶ αὐτὴν καὶ τὸ εἶναι αὐτῆς (ἅμα γὰρ τὴν κί- 5
νησιν καὶ τὸ εἶναι τῆς κινήσεως μετρεῖ, καὶ τοῦτ' ἔστιν αὐτῇ τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῆς τὸ εἶναι), δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτ' ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. τὸ γὰρ ἐν χρόνῳ εἶναι δυοῖν ἐστιν θάτερον, ἐν μὲν τὸ εἶναι τότε ὅτε ὁ χρόνος ἔστιν, 10
ἐν δὲ ὥσπερ ἔνια λέγομεν ὅτι ἐν ἀριθμῷ ἐστιν. τοῦτο δὲ σημαίνει ἤτοι ὡς μέρος ἀριθμοῦ καὶ πάθος, καὶ ὅλως ὅτι τοῦ ἀριθμοῦ τι, ἢ ὅτι ἔστιν αὐτοῦ ἀριθμός. ἐπεὶ δ' ἀριθμὸς ὁ χρόνος, τὸ μὲν νῦν καὶ τὸ πρότερον καὶ ὅσα τοιαῦτα οὕτως ἐν χρόνῳ ὡς ἐν ἀριθμῷ μονὰς καὶ τὸ περιττὸν καὶ ἄρτιον (τὰ μὲν 15
γὰρ τοῦ ἀριθμοῦ τι, τὰ δὲ τοῦ χρόνου τί ἐστιν)· τὰ δὲ πράγματα ὡς ἐν ἀριθμῷ τῷ χρόνῳ ἐστίν. εἰ δὲ τοῦτο, περιέχεται ὑπὸ χρόνου ὥσπερ ⟨καὶ τὰ ἐν ἀριθμῷ ὑπ' ἀριθμοῦ⟩ καὶ τὰ ἐν τόπῳ ὑπὸ τόπου. φανερὸν δὲ καὶ ὅτι οὐκ ἔστιν τὸ ἐν χρόνῳ εἶναι τὸ εἶναι ὅτε ὁ χρόνος ἔστιν, ὥσπερ οὐδὲ τὸ ἐν κινήσει εἶναι οὐδὲ τὸ ἐν τόπῳ 20
ὅτε ἡ κίνησις καὶ ὁ τόπος ἔστιν. εἰ γὰρ ἔσται τὸ ἓν τινι οὕτω, πάντα τὰ πράγματα ἐν ὁτῳοῦν ἔσται, καὶ ὁ οὐρανὸς ἐν τῇ κέγχρῳ· ὅτε γὰρ ἡ κέγχρος ἔστιν, ἔστι καὶ ὁ οὐρανός. ἀλλὰ τοῦτο μὲν συμβέβηκεν, ἐκεῖνο δ' ἀνάγκη παρακολουθεῖν, καὶ τῷ ὄντι ἐν χρόνῳ εἶναί τινα χρόνον ὅτε κἀκεῖνο ἔστιν, καὶ τῷ ὄντι ἐν κινήσει 25
ὄντι εἶναι τότε κίνησιν. 26

ἐπεὶ δέ ἐστιν ὡς ἐν ἀριθμῷ τὸ ἐν χρόνῳ, 26

---

^{a} 2 καταμετρῆσαι I τὴν . . . 3 ἀναμετρήσει om. F 2 ὁ πῆχυς τὸ μῆκος HIJ 3 ὁ] καὶ G ὁρίσαι EGST: ὡρίσθαι FHIJ 4 τὸ alt.] τῷ G 5–7 τῷ . . . μετρεῖσθαι om. F 5 αὐτῆς E^{2}FGHIJ^{2}VST: αὐτὴν E^{1}: αὐτῇ J^{1}P 6 τῆς κινήσεως Torstrik, fort. AST: τῇ κινήσει Π μετρεῖ om. E αὐτῇ om. H 7 δῆλον AST Damascius: δῆλον δὲ EFGIJP: δὲ δῆλον H: δῆλον δὴ Bonitz 9 αὐτοῖς I 10 δυεῖν E: δυοῖν γὰρ G ὁ EGHT: om. FIJS 11 δὲ pr. EST: δὲ τὸ Λ 12 ἤτοι] τὸ ἢ E ὅτε G 13 δ'] δ' ἐστιν E 14 ὅσα] ὅσα ἄλλα H 15 μονὰς τε καὶ H καὶ τὸ ἄρτιον FH 16 τι] ὅτι E 17 τῷ χρόνῳ τι ἐστιν I: ἐν τῷ χρόνῳ ἐστίν, ὅτι τοῦ εἶναι αὐτῶν ὁ ἀριθμὸς ὁ χρόνος ἐστίν Torstrik: οἱ δεκα ἵπποι fort. PST ὑπὸ . . . 18 ἀριθμοῦ ex ST scripsi: ὑπ' (ὑπὸ τοῦ H) ἀριθμοῦ ὥσπερ Π: ὑπὸ χρόνου ὥσπερ Torstrik 18 ὑπὸ τοῦ τόπου ΛST 19 ὅτι καὶ G ὁ E^{2}ΛPPT: om. E^{1}P^{1}S 21 ὅτε] εἶναι ὅτε H ἡ om. E: γὰρ ἡ G^{1} 23 ἔστι post οὐρανός HI: om. F 25 χρόνῳ τὸ εἶναι H

bir devinimi ölçüyor (bir dirsek bütünü ölçecek olan bir büyüklüğü belirleyerek bir uzunluğu ölçer, tıpkı bunun gibi) ve madem devinim için 'zaman içinde olmak' hem onun hem de onun varlığının zamanla ölçülmesi demek (çünkü devinimi ve devinimin varlığını zamandaş olarak ölçer ve onun için zaman içinde olmak ile onun varlığının ölçülmesi aynı şeydir), şu açık: öteki nesneler için de 'zaman içinde olmak' ile onların varlığının ölçülmesi aynı şey. Nitekim 'zaman içinde olmak' şu iki şeyden biri: ya zaman olduğu sürece varolmak ya da kimi nesneler için "sayı içinde var" dediğimiz gibi, bu anlamda varolmak. Beriki ise şu anlama gelir: ya nesne sayının bir parçası, bir özelliği, kısaca sayının 'bir şeyi' ya da sayı ona ait bir şey. Ama madem zaman bir sayı: 'an', 'önce' ve bütün bu gibi şeylerin zaman içinde olması da tıpkı 'bir'in, 'tek'in, 'çift'in sayı içinde olması gibi demektir (çünkü berikiler sayının bir şeyi, ötekiler zamanın). Olup-bitenlerin zaman içinde olması da sayı içinde olması gibi. Bu böyleyse, sayı içindeki nesneler sayıca, yer içindeki nesneler yerce sarılırsa, zaman içindeki nesneler de zamanca sarılır, kuşatılır. Şu da açık: 'zaman içinde olmak' zaman olduğu sürece olmak demek değil; nasıl devinim içinde olmak ya da yer içinde olmak devinim olduğu sürece ya da yer olduğu sürece varolmak anlamına gelmez, tıpkı bunun gibi. Çünkü bir şey içinde olmak bu anlama gelecek olsa, bütün nesneler bir yerde olurdu ve gökyüzü de bir kap içinde olurdu. Kap olduğu sürece gökyüzü de olurdu. Oysa beriki bir rastlantı, ötekinin olması ise zorunlu, diyesim zaman içinde olan bir nesne için o nesne varolduğu sürece bir zaman var, devinim içinde olan bir nesne için de o nesne devinim içinde olduğu sürece bir devinim var.

Ama madem zaman içinde olmak sayı içinde olmak gibi,

ληφθήσεταί τις πλείων χρόνος παντὸς τοῦ ἐν χρόνῳ ὄντος· διὸ ἀνάγκη πάντα τὰ ἐν χρόνῳ ὄντα περιέχεσθαι ὑπὸ χρόνου, ὥσπερ καὶ τἆλλα ὅσα ἔν τινί ἐστιν, οἷον τὰ ἐν τόπῳ ὑπὸ τοῦ τόπου. καὶ πάσχει δή τι ὑπὸ τοῦ χρόνου, καθάπερ καὶ λέγειν εἰώθαμεν ὅτι κατατήκει ὁ χρόνος, καὶ γηράσκει πάνθ' ὑπὸ τοῦ χρόνου, καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον, ἀλλ' 221b οὐ μεμάθηκεν, οὐδὲ νέον γέγονεν οὐδὲ καλόν· φθορᾶς γὰρ αἴτιος καθ' ἑαυτὸν μᾶλλον ὁ χρόνος· ἀριθμὸς γὰρ κινήσεως, ἡ δὲ κίνησις ἐξίστησιν τὸ ὑπάρχον· ὥστε φανερὸν ὅτι τὰ αἰεὶ ὄντα, ᾗ αἰεὶ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ· οὐ γὰρ περιέχεται ὑπὸ χρόνου, οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου· σημεῖον δὲ τούτου ὅτι οὐδὲ πάσχει οὐδὲν ὑπὸ τοῦ χρόνου ὡς οὐκ ὄντα ἐν χρόνῳ. ἐπεὶ δ' ἐστὶν ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον [κατὰ συμβεβηκός]· πᾶσα γὰρ ἠρεμία ἐν χρόνῳ. οὐ γὰρ ὥσπερ τὸ ἐν κινήσει ὂν ἀνάγκη κινεῖσθαι, οὕτω καὶ τὸ ἐν χρόνῳ· οὐ γὰρ κίνησις ὁ χρόνος, ἀλλ' ἀριθμὸς κινήσεως, ἐν ἀριθμῷ δὲ κινήσεως ἐνδέχεται εἶναι καὶ τὸ ἠρεμοῦν. οὐ γὰρ πᾶν τὸ ἀκίνητον ἠρεμεῖ, ἀλλὰ τὸ ἐστερημένον κινήσεως πεφυκὸς δὲ κινεῖσθαι, καθάπερ εἴρηται ἐν τοῖς πρότερον. τὸ δ' εἶναι ἐν ἀριθμῷ ἐστιν τὸ εἶναί τινα ἀριθμὸν τοῦ πράγματος, καὶ μετρεῖσθαι τὸ εἶναι αὐτοῦ τῷ ἀριθμῷ ἐν ᾧ ἐστιν, ὥστ' εἰ ἐν χρόνῳ, ὑπὸ χρόνου. μετρήσει δ' ὁ χρόνος τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν, ᾗ τὸ μὲν κινούμενον τὸ δὲ ἠρεμοῦν· τὴν γὰρ κίνησιν αὐτῶν μετρήσει καὶ τὴν ἠρεμίαν, πόση τις. ὥστε τὸ κινούμενον οὐχ ἁπλῶς ἔσται μετρητὸν ὑπὸ χρόνου, ᾗ ποσόν τί ἐστιν, ἀλλ' ᾗ ἡ κίνησις αὐτοῦ ποσή. ὥστε ὅσα μήτε κινεῖται μήτ' ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ· τὸ μὲν γὰρ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαί ἐστι χρόνῳ, ὁ δὲ χρόνος κινήσεως

[a] 28 τὰ om. E ὑπὸ] ὑπὸ τοῦ FHI 29 ἔστω E 30 καὶ om. F πάσχει EGHVPS : πάσχειν FIJ καθάπερ . . . 31 εἰώθαμεν om. F 30 καὶ om. E¹ 32 πάνθ' ΛS : πᾶν E καὶ . . . χρόνου] οὐδὲ μετρεῖται τὸ εἶναι αὐτοῦ ὑπὸ τοῦ χρόνου F [b] 1 αἴτιος ΛPST : αἴτιον E 3 τὰ ΛST : om. E 4 ὑπὸ τοῦ χρόνου F 5 οὐδὲ . . . χρόνου om. G 6 τούτοις E 7 ἐν] ἓν τῷ I 8 κατὰ συμβεβηκός E²ΛPS : om. E¹VAT γρ. P 10 τὸ ἐν] ἐν τῷ I γὰρ] γὰρ ἡ I ἠρεμοῦν] ἠρεμεῖν F 15 αὐτοῦ ΛS : αὐτῷ E 16 εἰ . . . ὑπὸ ΛV : καὶ ἐν χρόνῳ τὸ ὑπὸ χρόνου καὶ μέρος E 18 μετρήσει om. S 19 ἐστιν E χρόνῳ F¹ : τοῦ χρόνου E²H 20 ᾗ . . . ἐστιν om. E¹V ᾗ ἡ] ἡ I : ᾗ S ποσή τις. ὥσθ' HS 21 μήτε EGIJP²S : μὴ FHP¹ οὐκ ΛPS : οὐδὲ E μὲν om. F 22 εἶναι . . . χρόνῳ E²ΛP : om. E¹ : εἶναι om. S ἐστι τὸ μετρεῖσθαι FGIJS : τὸ μετρεῖσθαι P

zaman içinde olanın bütününden daha büyük bir zaman da kabul edilecektir. Bunun için zaman içinde olan her şeyin zaman tarafından sarılması zorunlu, tıpkı bir şey içinde olan bütün öteki nesneler gibi, sözgelişi yer içinde olan her şeyin yerce sarılması gibi. Ayrıca nesneler zaman- 30
dan ötürü bir etkilenime de uğrayacaklardır. Bunun için de "zaman yitiyor", "herşey zamanla yaşlanıyor", "zaman yüzünden unutuluyor" demeye alışmışız. Oysa "zamandan ötürü öğrendi" "zaman sayesinde gençleşti", "zaman sayesinde güzelleşti" demeyiz, çünkü zaman kendi başına, [kendinde zaman], alındıkta daha çok bozulma, yokolma nedeni; çünkü 221b
o devinimin sayısı, devinim de olan durumu ortadan kaldırır. Dolayısıyla şu açık: hep varolanlar, hep varolduklarından ötürü zaman içinde değiller, çünkü zamanca sarılmıyorlar, onların varlığı da zamanla ölçülmü- 5
yor. Zaman içinde olmadıkları için zamandan bir etkilenime uğramamaları da bunu gösteriyor. Madem zaman devinim ölçüsü, durağanlığın da [ilineksel anlamda] ölçüsü olacaktır, çünkü her durağanlık bir zaman içinde: nitekim nasıl devinimin içinde olan nesnenin devinmesi zorunluysa, zamanın içinde olanın da öyle, çünkü zaman bir devinim değil 10
ama bir devinimin sayısı, [ölçüm sayısı], içinde durağanlığın da olması olası. Çünkü devinmeyen herşey değil, ancak doğal olarak devinebildiği halde devinimden yoksun olan nesne durağan kalabilir, duradurabilir, bunu daha önce de söyledik. Bir sayı içinde olmak demek nesnenin belli bir sayısının olması ve onun varlığının, içinde olduğu sayıyla ölçülür ol- 15
ması demektir. Dolayısıyla bir zaman içindeyse zamanca ölçülecektir. Demek ki zaman, biri devinen öteki duraduran nesneler varolduğu için hem devineni hem de duraduranı ölçecektir, çünkü onların devinimini ve durağanlığını bir nicelik olarak ölçecektir. Dolayısıyla devinen nesnenin kendisi bir nicelik olduğundan ötürü değil, onun devinimi bir nicelik olduğundan ötürü mutlak olarak zamanca ölçülebilir olacaktır. Sonuç: 'ne 20
devinen ne de duraduran nesneler' bir zaman içinde, çünkü zaman içinde olmak zamanla ölçülmek demek, zaman ise devinimin ve durağanlığın

12. 221ᵃ 27 — 13. 222ᵃ 15

καὶ ἠρεμίας μέτρον.

φανερὸν οὖν ὅτι οὐδὲ τὸ μὴ ὂν ἔσται πᾶν ἐν χρόνῳ, οἷον ὅσα μὴ ἐνδέχεται ἄλλως, ὥσπερ τὸ τὴν διάμετρον εἶναι τῇ πλευρᾷ σύμμετρον. ὅλως γάρ, εἰ μέτρον μέν ἐστι κινήσεως ὁ χρόνος καθ' αὑτό, τῶν δ' ἄλλων κατὰ συμβεβηκός, δῆλον ὅτι ὧν τὸ εἶναι μετρεῖ, τούτοις ἅπασιν ἔσται τὸ εἶναι ἐν τῷ ἠρεμεῖν ἢ κινεῖσθαι. ὅσα μὲν οὖν φθαρτὰ καὶ γενητὰ καὶ ὅλως ὁτὲ μὲν ὄντα ὁτὲ δὲ μή, ἀνάγκη ἐν χρόνῳ εἶναι (ἔστιν γὰρ χρόνος τις πλείων, ὃς ὑπερέξει τοῦ τε εἶναι αὐτῶν καὶ τοῦ μετροῦντος τὴν οὐσίαν αὐτῶν)· τῶν δὲ μὴ ὄντων ὅσα μὲν περιέχει ὁ χρόνος, τὰ μὲν ἦν, οἷον Ὁμηρός ποτε ἦν, τὰ δὲ ἔσται, οἷον τῶν μελλόντων τι, ἐφ' ὁπότερα περιέχει· καὶ εἰ ἐπ' ἄμφω, ἀμφότερα [καὶ ἦν καὶ ἔσται]· ὅσα δὲ μὴ περιέχει μηδαμῇ, οὔτε ἦν οὔτε ἔστιν οὔτε ἔσται. ἔστι δὲ τὰ τοιαῦτα τῶν μὴ ὄντων, ὅσων ταὐτικείμενα αἰεὶ ἔστιν, οἷον τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον ἀεὶ ἔστι, καὶ οὐκ ἔσται τοῦτ' ἐν χρόνῳ. οὐ τοίνυν οὐδὲ τὸ σύμμετρον· διὸ αἰεὶ οὐκ ἔστιν, ὅτι ἐναντίον τῷ αἰεὶ ὄντι. ὅσων δὲ τὸ ἐναντίον μὴ αἰεί, ταῦτα δὲ δύναται καὶ εἶναι καὶ μή, καὶ ἔστιν γένεσις καὶ φθορὰ αὐτῶν.

13 Τὸ δὲ νῦν ἐστιν συνέχεια χρόνου, ὥσπερ ἐλέχθη· συνέχει γὰρ τὸν χρόνον τὸν παρεληλυθότα καὶ ἐσόμενον, καὶ πέρας χρόνου ἐστίν· ἔστι γὰρ τοῦ μὲν ἀρχή, τοῦ δὲ τελευτή. ἀλλὰ τοῦτ' οὐχ ὥσπερ ἐπὶ τῆς στιγμῆς μενούσης φανερόν. διαιρεῖ δὲ δυνάμει. καὶ ᾗ μὲν τοιοῦτο, αἰεὶ ἕτερον τὸ νῦν, ᾗ δὲ συνδεῖ, αἰεὶ τὸ αὐτό, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν

ᵇ 23 καὶ] ἐστι καὶ H 24 μὴ om. E ἀλλ' E 25 ὅλως μὲν γὰρ H 26 μέν om. GJ²P ἐστι ὁ χρόνος κινήσεως FGIJ : κινήσεώς ἐστι ὁ χρόνος H 28 ἐστὶ F 29 γεννητὰ FI μή] μὴ ὄντα H 30 ὃς] ὅσων H ὑπάρξει I 30–31 τοῦ . . . καὶ om. S 30 τε om. ΛT 31 αὐτῶν alt. EVST : om. E²Λ 222ᵃ 1 οἷον E²ΛVPS: om. E¹ τι om. S 2 καὶ εἰ . . . ἔσται E²FGHIJP¹ (ἄμφω om. H) : om. E¹ : καὶ ἦν καὶ ἔσται seclusi, om. VP² ὅσα] ὧν E²GHIP 3 περιέχει E²ΛP : om. E¹ μηδὲν H : om. E¹ οὔτε ἔστιν om. I ἔστι] ἔτι T 4 μὴ sup. lin. E¹ 5 ἔσται H 6 σύμμετρον] σύμμετρον εἶναι H διὸ . . . ὅτι] διότι T, Torstrik 8 δὲ om. F καὶ pr. om. E μή] μὴ εἶναι E 11 τὸν χρόνον om. F παρεληλυθότα EGT : παρελθόντα FHIJ ἐρχόμενον χρόνον καὶ F 12 πέρας E¹V γρ. S : ὅρος ST : ὅλως πέρας E²Λ ἐστίν om. E¹

ölçüsü.

İmdi açık ki 'varolmayan' her nesne de, dediğim [varolmayan]dan başka biçimde olamayan nesneler de, zaman içinde değildir, sözgelişi 'köşegenin kenarla eşit ölçüde olması'. Kısaca zaman kendi başına devinimin ölçüsü, ilineksel olarak da başka şeylerin ölçüsü ise şu açık: ölçtüğü tüm nesnelerin varlığı ya duradurma ya da devinme içindedir. Demek ki ortadan kalkan ve oluşan nesnelerin, kısaca kimi kez varolan kimi kez varolmayan nesnelerin zaman içinde olması zorunlu (çünkü zaman onların varlığını ve onların tözünü aşan, daha büyük bir şey). Ne ki zamanın sardığı 'varolmayan' nesnelerin kimi vardı, sözgelişi Homeros bir zamanlar vardı; kimi de varolacak, sözgelişi zamanın öyle ya da böyle bir biçimde saracağı gelecekteki bir nesne. Heriki biçimde de sarıyorsa herikisi de geçerli, [hem vardı hem de olacak]. Ama zamanın hiçbir yerde sarmadığı nesneler ne vardı, ne var, ne de olacak. Karşıtları hep varolan 'varolmayan nesneler' içine girenler bu tür, sözgelişi 'köşegenin kenarla eşit ölçüde olmaması' hep geçerli ve [ölçülmesi] zaman içinde olmayacaktır. Bunun için hep yok, çünkü 'hep varolana' karşıt. Karşıtları her zaman olmayan nesnelerin ise olması da olanaklı, olmaması da; onlar için oluş ve yokoluş sözkonusu.

13 Dediğimiz gibi şimdiki 'an', zamanın sürekliliği, bağlantısı; çünkü geçmiş ile gelecek zamanı bağlıyor; ve zamanın sınırı, bir zamanın başı, ötekinin sonu. Ne ki bu duraduran noktadaki gibi açık değil; o olanak halinde ayırıyor; ayıran bir şey olduğundan ötürü 'an' hep değişik bir şey, yine bağlayan bir şey olduğundan ötürü de hep aynı, bu tıpkı geometrik çizgilerde olduğu gibi

γραμμῶν (οὐ γὰρ ἡ αὐτὴ αἰεὶ στιγμὴ τῇ νοήσει· διαιρούντων γὰρ ἄλλη καὶ ἄλλη· ἡ δὲ μία, ἡ αὐτὴ πάντῃ)—οὕτω καὶ τὸ νῦν τὸ μὲν τοῦ χρόνου διαίρεσις κατὰ δύναμιν, τὸ δὲ πέρας ἀμφοῖν καὶ ἑνότης· ἔστι δὲ ταὐτὸ καὶ κατὰ ταὐτὸ ἡ διαίρεσις καὶ ἡ ἕνωσις, τὸ δ' εἶναι οὐ ταὐτό. τὸ μὲν οὖν οὕτω λέγεται τῶν νῦν, ἄλλο δ' ὅταν ὁ χρόνος ὁ τούτου ἐγγὺς ᾖ. ἦξει νῦν, ὅτι τήμερον ἦξει· ἦκει νῦν, ὅτι ἦλθε τήμερον. τὰ δ' ἐν Ἰλίῳ γέγονεν οὐ νῦν, οὐδ' ὁ κατακλυσμὸς [γέγονε] νῦν· καίτοι συνεχὴς ὁ χρόνος εἰς αὐτά, ἀλλ' ὅτι οὐκ ἐγγύς. τὸ δὲ ποτέ χρόνος ὡρισμένος πρὸς τὸ πρότερον νῦν, οἷον ποτὲ ἑλήφθη Τροία, καὶ ποτὲ ἔσται κατακλυσμός· δεῖ γὰρ πεπεράνθαι πρὸς τὸ νῦν. ἔσται ἄρα ποσός τις ἀπὸ τουδὲ χρόνος εἰς ἐκεῖνο, καὶ ἦν εἰς τὸ παρελθόν. εἰ δὲ μηδεὶς χρόνος ὃς οὔ ποτε, πᾶς ἂν εἴη χρόνος πεπερασμένος. ἆρ' οὖν ὑπολείψει; ἡ οὔ, εἴπερ αἰεὶ ἔστι κίνησις; ἄλλος οὖν ἢ ὁ αὐτὸς πολλάκις; δῆλον ὅτι ὡς ἂν ἡ κίνησις, οὕτω καὶ ὁ χρόνος· εἰ μὲν γὰρ ἡ αὐτὴ καὶ μία γίγνεταί ποτε, ἔσται καὶ χρόνος εἷς καὶ ὁ αὐτός, εἰ δὲ μή, οὐκ ἔσται. ἐπεὶ δὲ τὸ νῦν τελευτὴ καὶ ἀρχὴ χρόνου, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τοῦ μὲν παρήκοντος τελευτή, ἀρχὴ δὲ τοῦ μέλλοντος, ἔχοι ἂν ὥσπερ ὁ κύκλος ἐν τῷ αὐτῷ πως τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὕτως καὶ ὁ χρόνος ἀεὶ ἐν ἀρχῇ καὶ τελευτῇ. καὶ διὰ τοῦτο δοκεῖ ἀεὶ ἕτερος· οὐ γὰρ τοῦ αὐτοῦ ἀρχὴ καὶ τελευτὴ τὸ νῦν· ἅμα γὰρ ἂν καὶ κατὰ τὸ αὐτὸ τἀναντία ἂν εἴη. καὶ οὐχ ὑπολείψει

[a] 16-17 οὐ . . . γὰρ] ᾗ μὲν ἓν, ταύτῃ ἀεὶ μία ἡ στιγμή, τῇ νοήσει δὲ διαιρούντων ἀεὶ γρ. P 16 οὐ γὰρ EGHIJ et in ras. F : ᾗ μὲν P αἰεὶ E^1HVP : μία ἀεὶ E^2F : ἀεὶ μια GIJ διαιρούντων γὰρ E^2AV : καὶ ἀεὶ διαιρούντων E^1 : διαιρούντων ἀεὶ P 17 καὶ ἄλλη FPT : om. EGHIJA πάντῃ om. G οὕτω δὲ καὶ H 19 ταὐτὸ alt. E^2FGIJPS : αὐτὸ E^1H 20 οὖν GHIJVST : om. EF 21 τὸ ex τῶν fecit E ἄλλα δ' ὅταν] τὸ δ' ἄλλως fecit E ὁ pr. om. GJ ᾗ] ᾗ ἐστιν fecit E 22 ἦξει γὰρ νῦν H ἦξει, καὶ ἦκει H ἦκε H 23 οὐ γεγονε S οὐδ' . . . νῦν om. EV : οὐδ' ὁ κατακλυσμός S γέγονε secl. Torstrik, om. T : ἔσται H 24 ὁ EPST : ἐστι H : om. FGIJ εἰς αὐτά] εἰς ὁ αὐτός H 25 πρότερον secl. Bonitz 26 ἡ τροία F 27 τοὐδε ὁ χρόνος F 28 εἰς pr. HP : καὶ εἰς EFIJ : om. G μηδεὶς EHJPS : μὴ εἷς F : μηδὲ εἷς GI 30 ὁ om. H 31 ὅτι] δ' ὅτι H : οὖν J ἂν εἴη ἡ F 32 καὶ alt. EVT : om. A 33 ἐπεὶ δὲ AP : ἐπειδὴ E : ἐπεὶ γὰρ T

[b] 1 ἀρχὴ τοῦ χρόνου F 3 τὸ alt. om. H 6 ἂν secl. Bonitz κατὰ om. S ταναντία ἂν EV et ut vid. PS : τὰ ἀντικείμενα AT

(nitekim düşünce açısından 'nokta' hep aynı değil, çizgiyi bölen kimseler için o hep değişik bir şey, ama tek olduğundan ötürü de her durumda aynı). 'Şimdikian' da böyle hem olanak halinde zamanı bölüyor hem de heriki yanın sınırı ve birliği. O aynı ve bölünme ile birlik bu aynılığa bağlı ama varlıkları aynı değil. İmdi 'an, şimdikian' böyle kullanılıyor. Bir başka biçimde ise 'an'ın zamanının yakın olması durumunda: bugün geleceği için "h'an'diyse gelecek", bugün geldiği için "şimdi geldi" deriz. Ama Troia'da olanlar "şimdikian"da olmadı, kıyamet de "şimdikian"da kopmayacak. Gerçi zaman bu olaylar için de bağlantı ama bunlar yakında olmadığından ötürü ["şimdikian"] denmez. "Bir zamanlar" terimi daha önceki ana ilişkin sınırlı bir zamanı gösterir, sözgelişi "Troia bir zamanlar ele geçti" ve "bir zaman [gelecek] kıyamet kopacak". Nitekim "şimdikian"a göre belirlenmiş olması gerekiyor. Demek ki şu andaki zamandan o andakine belli bir nicelikte zaman olacak ve geçmişteki ana göre de belli bir zaman vardı. Ne ki "bir zamanlar" denilemeyen hiçbir zaman olmasa her 'zaman' sınırlı olur. Öyleyse o bitecek mi? Yoksa devinim hep varsa bitmeyecek mi? İmdi zaman hep başka mı yoksa çoğu kez aynı mı? Şurası açık: devinim nasılsa zaman da öyle: aynı ve tek devinim oluştuğunda zaman da bir ve aynı olacak: devinim öyle değilse zaman da öyle olmayacak. İmdi madem 'an', bir zamanın sonu ve bir zamanın başlangıcı, aynı zamanın değil de geçmiş zamanın sonu, gelecek zamanın başlangıcı, şu çıksa gerek: nasıl çember kendi içinde içbükey ve dışbükey ise, aynı şekilde zaman da hep başta ve sonda; bu yüzden de hep değişik görünüyor, çünkü 'an', aynı şeyin sonu ve başlangıcı değil, yoksa aynı nesnede karşıt şeyler zamandaş olarak bulunurdu. Demek ki zaman bit-

13. 222ᵃ 16 — 14. 222ᵇ 31

δή· αἰεὶ γὰρ ἐν ἀρχῇ. 7

τὸ δ' ἤδη τὸ ἐγγύς ἐστι τοῦ παρόν- 7
τος νῦν ἀτόμου μέρος τοῦ μέλλοντος χρόνου (πότε βαδίζεις; ἤδη, ὅτι ἐγγὺς ὁ χρόνος ἐν ᾧ μέλλει), καὶ τοῦ παρελη-
λυθότος χρόνου τὸ μὴ πόρρω τοῦ νῦν (πότε βαδίζεις; ἤδη βε- 10
βάδικα). τὸ δὲ Ἴλιον φάναι ἤδη ἑαλωκέναι οὐ λέγομεν, ὅτι λίαν πόρρω τοῦ νῦν. καὶ τὸ ἄρτι τὸ ἐγγὺς τοῦ παρόντος νῦν [τὸ] μόριον τοῦ παρελθόντος. πότε ἦλθες; ἄρτι, ἐὰν ᾖ ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν. πάλαι δὲ τὸ πόρρω. τὸ δ' ἐξαίφνης τὸ ἐν ἀναισθήτῳ χρόνῳ διὰ μικρότητα ἐκστάν· 15
μεταβολὴ δὲ πᾶσα φύσει ἐκστατικόν. ἐν δὲ τῷ χρόνῳ πάντα γίγνεται καὶ φθείρεται· διὸ καὶ οἱ μὲν σοφώτατον ἔλεγον, ὁ δὲ Πυθαγόρειος Πάρων ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτῳ, λέγων ὀρθότερον. δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον ἔσται καθ' αὑτὸν αἴτιος ἢ γενέσεως, καθάπερ ἐλέχθη καὶ 20
πρότερον (ἐκστατικὸν γὰρ ἡ μεταβολὴ καθ' αὑτήν), γενέσεως δὲ καὶ τοῦ εἶναι κατὰ συμβεβηκός. σημεῖον δὲ ἱκανὸν ὅτι γίγνεται μὲν οὐδὲν ἄνευ τοῦ κινεῖσθαί πως αὐτὸ καὶ πράττειν, φθείρεται δὲ καὶ μηδὲν κινούμενον. καὶ ταύτην μάλιστα λέγειν εἰώθαμεν ὑπὸ τοῦ χρόνου φθοράν. οὐ μὴν ἀλλ' οὐδὲ ταύ- 25
την ὁ χρόνος ποιεῖ, ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίγνεσθαι καὶ ταύτην τὴν μεταβολήν. ὅτι μὲν οὖν ἔστιν ὁ χρόνος καὶ τί, καὶ ποσαχῶς λέγεται τὸ νῦν, καὶ τί τὸ ποτὲ καὶ τὸ ἄρτι καὶ τὸ ἤδη καὶ τὸ πάλαι καὶ τὸ ἐξαίφνης, εἴρηται.

14 Τούτων δ' ἡμῖν οὕτω διωρισμένων φανερὸν ὅτι πᾶσα 30
μεταβολὴ καὶ ἅπαν τὸ κινούμενον ἐν χρόνῳ. τὸ γὰρ θᾶττον

ᵇ 8 *βαδίσεις* GH : *ὀὴ βαδίζεις* F : *βαδίζει* T 9 *παρελθόντος* FGHIT 10 *βαδίζεις* EGIJS : *βαδίσεις* FH 11 *δὲ* FGIJST : *δὲ τὸ* EH 12 *λίαν πόρρω* EHT : *πόρρω λίαν* FGIJS 13 *τὸ* om. ST, Bonitz *ἦλθεν* G 14 *ἐγγὺς* ΛPST : *ὁ ἐγγὺς* E 15 *ἀναισθήτῳ* EFGIJT : *ἀνεπαισθήτῳ* HS *διὰ μικρότητα* E²ΛS : *διὰ σμικρότητα* PT *γρ.* S : om. E¹V *ἐκστάν* FG²IJPT *γρ.* S : om. EG¹HVS 16 *ἐκστατικὴ* F *πανθ'* ἃ Torstrik 18 *παρὼν* ci. S 20 *ἐστιν* ST *κατ' αὐτὸν* E 22 *ἱκανὸν γίνεται μὲν γὰρ οὐδὲν* H 23 *μηδὲν* G 24 *δὲ*] *γὰρ* G 25 *εἰώθαμεν* E²ΛT : *εἴωθα* E¹ *οὐ μὴν* E²ΛPT : om. E¹ 27 *καὶ τί* FGIJT : *καὶ τίς* E : om. H 28 *λέγεται* HT : *τί τε* E : *λεγομεν* FGIJ *τὸ* ult. ΛT : om. E 29 *τὸ* pr. EFJT : *τί τὸ* GHI *τὸ* alt. FHIT : om. EGJ 30 *ὧδε* H *διωρισμένων* HPT : *διηριθμημένων* FGJ et in lit. E : *διηρημένων* I *πασα μεταβολὴ* EPST : *ἅπασα ἡ μεταβολὴ* H : *ἅπασαν μεταβολὴν* FGIJ 31 *ἐν χρόνῳ* FV : *ἀνάγκη κινεῖσθαι ἐν χρόνῳ* ΛPT : *ἐν χρόνῳ ἐστὶν* S¹

meyecektir, çünkü hep başlangıç içindedir.

"Henüz" sözcüğü bölünmez şimdiki ana yakın bir gelecek zaman parçasını gösterir ("Ne zaman gezeceksin? -Henüz şimdi, [birazdan] gezeceğim": çünkü eylemin gerçekleşeceği zaman yakın); yine şimdikiana uzak olmayan geçmiş zaman parçasını da gösterir ("Ne zaman geziyorsun? - Henüz [demin] gezdim"). Ama İlion'un (Troia'nın), henüz ele geçtiğini söylemeyiz, çünkü 'şimdikian'dan çok uzak. "Az önce" sözcüğü ise 'şimdikian'a yakın geçmiş zaman parçasını gösterir. "Ne zaman geldin?" /aman şimdiki ana yakınsa yanıt: "Az önce geldim". "Eskiden" sözcüğü de uzak [geçmişi] gösterir. "Birdenbire" sözcüğü kısalığı yüzünden algılanamayan bir zaman içinde [kendinden] ortaya çıkmayı gösterir. Her değişme doğal olarak kendinden ortaya çıkan şey. Her nesne zaman içinde oluşur ve yokolur, bunun için kimi ona "en bilge şey" diyor[41]; Pythagorasçı Paron ise onu "en bilgisiz şey" diye adlandırıyor, çünkü 'unutma' onun içinde: tanımı da yerinde. İmdi şu açık: zaman kendi başına oluşun çok yokoluş nedeni, bunu daha önce de dedik (nitekim değişme kendi içinde, kendi içinden, çıkan bir şey); ilineksel olarak da oluşun ya da varolmanın nedeni. Şu kanıt da yeterli: bir biçimde devinmeden ya da eylemden bağımsız hiçbir şey oluşmuyor, nesne hiç devinmiyorsa yokoluyor. Buna biz zamanla ortadan kalkma diyegeliyoruz. Aslında bunu zaman yapıyor değil; değişmenin oluşması da ilineksel anlamda zaman içinde. Demek ki zamanın varlığını, ne olduğunu, kaç anlamda 'an'dan sözedildiğini; yine "bir zamanlar", "az önce", "henüz", "eskiden", "birdenbire" ne, bunları söylemiş olduk.

14 Bu belirlemelerimizden şu çıkıyor: her değişme ve her devinen nesne zaman içinde: nitekim her değişmede 'daha hızlı', 'daha

καὶ βραδύτερον κατὰ πᾶσάν ἐστιν μεταβολήν (ἐν πᾶσι γὰρ οὕτω φαίνεται)· λέγω δὲ θᾶττον κινεῖσθαι τὸ πρότερον μετα-
223ª βάλλον εἰς τὸ ὑποκείμενον κατὰ τὸ αὐτὸ διάστημα καὶ ὁμαλῆν κίνησιν κινούμενον (οἷον ἐπὶ τῆς φορᾶς, εἰ ἄμφω κατὰ τὴν περιφερῆ κινεῖται ἢ ἄμφω κατὰ τὴν εὐθεῖαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων). ἀλλὰ μὴν τό γε πρότερον ἐν χρόνῳ ἐστί·
5 πρότερον γὰρ καὶ ὕστερον λέγομεν κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν, τὸ δὲ νῦν ὅρος τοῦ παρήκοντος καὶ τοῦ μέλλοντος· ὥστ' ἐπεὶ τὰ νῦν ἐν χρόνῳ, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἔσται· ἐν ᾧ γὰρ τὸ νῦν, καὶ ἡ τοῦ νῦν ἀπόστασις. (ἐναντίως δὲ λέγεται τὸ πρότερον κατά τε τὸν παρεληλυθότα χρόνον
10 καὶ τὸν μέλλοντα· ἐν μὲν γὰρ τῷ παρεληλυθότι πρότερον λέγομεν τὸ πορρώτερον τοῦ νῦν, ὕστερον δὲ τὸ ἐγγύτερον, ἐν δὲ τῷ μέλλοντι πρότερον μὲν τὸ ἐγγύτερον, ὕστερον δὲ τὸ πορρώτερον.) ὥστε ἐπεὶ τὸ μὲν πρότερον ἐν χρόνῳ, πάσῃ δ' ἀκολουθεῖ κινήσει τὸ πρότερον, φανερὸν ὅτι πᾶσα μεταβολὴ
15 καὶ πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν.

ἄξιον δ' ἐπισκέψεως καὶ πῶς ποτε ἔχει ὁ χρόνος πρὸς τὴν ψυχήν, καὶ διὰ τί ἐν παντὶ δοκεῖ εἶναι ὁ χρόνος, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ. ἢ ὅτι κινήσεώς τι πάθος ἡ ἕξις, ἀριθμός γε ὤν, ταῦτα δὲ κινητὰ πάντα (ἐν τόπῳ
20 γὰρ πάντα), ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἅμα κατά τε δύναμιν καὶ κατ' ἐνέργειαν; πότερον δὲ μὴ οὔσης ψυχῆς εἴη ἂν ὁ χρόνος ἢ οὔ, ἀπορήσειεν ἄν τις. ἀδυνάτου γὰρ ὄντος εἶναι τοῦ ἀριθμήσοντος ἀδύνατον καὶ ἀριθμητόν τι εἶναι, ὥστε δῆλον ὅτι οὐδ' ἀριθμός. ἀριθμὸς γὰρ ἢ τὸ ἠριθμημένον ἢ τὸ
25 ἀριθμητόν. εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης, ἀλλ'

ᵇ 32 κατὰ] καὶ G ἐν ἁπάσαις H 223ª 2 οἷον E²ΛVP : om. E¹ εἰ] ἢ J 3 περιφέρειαν HP 4 γε EGHIJP : om. FT 7 καὶ τὸ] δηλονότι καὶ τὰ H καὶ] καὶ τὰ H 8 νῦν ἐστι καὶ H 9 τε om. J¹ χρόνον καὶ τὸν μελλοντα ΛPP : καὶ τὸν μέλλοντα χρόνον EP¹ 13 τὸ ΛP : om. E 15 πᾶσα om. H 17 δοκεῖ ἐν ἅπαντι H ὁ om. FGJP καὶ] οἷον καὶ H 18 ἐν alt. om. F ἐν om. FGJ ἢ E²FGHJP : om. E¹IT διότι I 19 κινεῖ τὰ fecit E 20 χρόνος EFGHJST : τόπος IP γρ. A ἡ om. J 21 ψυχῆς ET : τῆς ψυχῆς ΛS 22 εἶναι om. F 24 οὐδ'] οὐδ' ὁ G ἀριθμούμενον F : ἀριθμημένον J 25 ἀριθμεῖν ἢ ψυχὴ EHT : ἢ ψυχὴ ἀριθμεῖν FGIJ

yavaş' sözkonusu (bu, bütün değişmelerde görülüyor). Daha hızlı devindiğini söylediğim nesne şu: aynı uzaklıkta ve sabit hızda devinimle devinip de taşıyıcı [son]a doğru daha önce değişen şey (sözgelişi yer değiştirmede heriki devinim de çember biçiminde ya da heriki devinim de düz çizgi durumunda ise. Öteki devinim biçimlerinde de bu böyle). Ama 'daha önce' terimi 'zaman içinde'dir, çünkü 'şimdikiana' uzaklığına göre "daha önce", "daha sonra" deriz: 'şimdikian' ise geçmiş zaman ile gelecek zamanın sınırı. Madem 'an'lar zaman içinde, 'daha önce' ile 'daha sonra' da zaman içinde olacaktır, çünkü 'şimdikian' neye aitse, 'şimdiki an'ın uzaklığı da o şeye aittir ('daha önce' teriminin geçmiş zamanla ve gelecek zamanla ilgili kullanımı karşıt, geçmiş zamanda 'şimdiki an'a daha uzak olana 'daha önce', daha yakın olana 'daha sonra' deriz; gelecek zamanda ise daha yakın olana 'daha önce', daha uzak olana 'daha sonra' deriz). Dolayısıyla madem 'daha önce' zaman içinde ve her devinimi izliyor, şu açık: her değişme ve her devinim zaman içindedir. 223a

Öte yandan zamanın ruhla nasıl bir ilgisi var, niçin her şeyde, yerde, denizde, gökte zaman var diye düşünülüyor, bunlar incelenmeye değer. Zaman bir sayı, bir ölçü olmakla devinimin bir özelliği ya da devinime ait bir şey olduğundan ve bütün bunlar devinen nesneler olduğundan (çünkü hepsi bir yerde) acaba zaman ile devinim eş zamanlı olarak olanak ve etkinlik halinde mi? Acaba ruh olmasa zaman olabilir mi, olamaz mı? Bu sorulabilir. Sayı sayanın varlığı olanaksız oldukta, sayılabilir bir şeyin olması da olanaksız, dolayısıyla sayının da olmayacağı açık; çünkü sayı, sayılan ya da sayılabilir olan şey.[42] Ruh ve ruhtaki akıldan başka hiçbir şeyin sayması doğal değilse, ruh olmadıkta bir zaman

14. 222b 32 — 223b 13

ἡ τοῦτο ὃ ποτε ὂν ἔστω ὁ χρόνος, οἷον εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς. τὸ δὲ πρότερον καὶ ὕστερον ἐν κινήσει ἐστίν· χρόνος δὲ ταὐτ' ἐστὶν ᾗ ἀριθμητά ἐστιν.

ἀπορήσειε δ' ἄν τις καὶ ποίας κινήσεως ὁ χρόνος ἀριθμός. ἢ ὁποιασοῦν; καὶ γὰρ γίγνεται ἐν χρόνῳ καὶ φθείρεται καὶ αὐξάνεται καὶ ἀλλοιοῦται καὶ φέρεται· ᾗ οὖν κίνησίς ἐστι, ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός. διὸ κινήσεώς ἐστιν ἁπλῶς ἀριθμὸς συνεχοῦς, ἀλλ' οὐ τινός. ἀλλ' ἔστι νῦν κεκινῆσθαι καὶ ἄλλο· ὧν ἑκατέρας τῆς κινήσεως εἴη ἂν ἀριθμός. ἕτερος οὖν χρόνος ἔστιν, καὶ ἅμα δύο ἴσοι χρόνοι ἂν εἶεν· ἢ οὔ; ὁ αὐτὸς γὰρ χρόνος καὶ εἷς ὁ ἴσος καὶ ἅμα· εἴδει δὲ καὶ οἱ μὴ ἅμα· εἰ γὰρ εἶεν κύνες, οἱ δ' ἵπποι, ἑκάτεροι δ' ἑπτά, ὁ αὐτὸς ἀριθμός. οὕτω δὲ καὶ τῶν κινήσεων τῶν ἅμα περαινομένων ὁ αὐτὸς χρόνος, ἀλλ' ἡ μὲν ταχεῖα ἴσως ἡ δ' οὔ, καὶ ἡ μὲν φορὰ ἡ δ' ἀλλοίωσις· ὁ μέντοι χρόνος ὁ αὐτός, εἴπερ καὶ [ὁ ἀριθμὸς] ἴσος καὶ ἅμα, τῆς τε ἀλλοιώσεως καὶ τῆς φορᾶς. καὶ διὰ τοῦτο αἱ μὲν κινήσεις ἕτεραι καὶ χωρίς, ὁ δὲ χρόνος πανταχοῦ ὁ αὐτός, ὅτι καὶ ὁ ἀριθμὸς εἷς καὶ ὁ αὐτὸς πανταχοῦ ὁ τῶν ἴσων καὶ ἅμα.

ἐπεὶ δ' ἔστι φορὰ καὶ ταύτης ἡ κύκλῳ, ἀριθμεῖται δ' ἕκαστον ἑνί τινι συγγενεῖ,

---

a 27 ἡ FGHIJ²VP : ἀεὶ E : om. J¹ ὃν ΠP : om. S ὁ ΠP^cS : om. P¹ εἶναι om. F 28 δὲ] τε H 29 χρόνος ΛPS : ὁ χρόνος E 30 ἀριθμὸς ὁ χρόνος HS : ἀριθρός ἐστιν ὁ χρόνος P ποιασοῦν J 31 ἐν χρόνῳ om. I καὶ φθείρεται om. EFG : ante καὶ ἀλλοιοῦται H αὐξεται GH 32 καὶ EV : ἐν χρόνῳ καὶ Λ φθείρεται E¹ ᾗ] εἰ E 33 ἐστιν ἁπλῶς ἀριθμὸς EPS : ἁπλῶς ἀριθμὸς ἐστι Λ b 1 κινεἰσθαι GP^p : καὶ κινεῖσθαι HS ἄλλο E²F¹GPS : ἄλλα E¹HIJ : ἄλλως F² 2 ὧν . . . τῆς] ὥστε καὶ ἑτέρας Torstrik : an ὥσθ' ἑκατέρας τῆς (fort. P)? 3 χρόνοι ἴσοι H ἡ οὗ ΛV : om. corr. E αὐτὸς EFHS : ἅπας GIJ γρ. E 4 καὶ . . . ἴσος καὶ scripsi : καὶ ἴσος καὶ E¹ : καὶ ἴσος καὶ πᾶς E² : εἷς ὁμοίως καὶ FGIJ γρ. E : εἷς καὶ ἴσος καὶ πᾶς H : ὁ ἴσος καὶ πᾶς S^c : πᾶς καὶ εἷς ὁ ἴσος καὶ Torstrik : ὁ καὶ ἴσος καὶ Bywater : πᾶς ὁ ἴσος καὶ Carteron καὶ E²ΛPS : om. E¹ 5 εἶεν FGIJP : οἱ μὲν εἶεν E : εἶεν οἱ μὲν H 6 δὲ om. E¹H : δὴ Torstrik 9 ὁ ἀριθμὸς seclusi φορᾶς καὶ τῆς ἀλλοιώσεως H 11 πανταχῆ H 12 πανταχοῦ ΛPS : παντaχῆ E καὶ om. J¹ ἔστι] ἐστὶ τῶν κινησεων πρώτη ἡ Torstrik : πρώτη ἐστὶ Prantl 13 ἑνί E¹FGHP : ἓν E²IJ τινι E²ΛVP^p : om. E¹P¹T

olması olanaksız: meğer ki zaman, devinimin ruhtan bağımsız varolmasının olası olması gibi, bir tür varolan ola! Ama 'daha önce' ile 'daha sonra' bir devinim içinde var, bunların sayılabilir olması da zamanı oluşturuyor.

"Zaman hangi devinimin sayısı?" diye sorulabilir. Acaba her tür devinimin mi? Çünkü hem oluşma hem yokolma hem büyüme hem nitelik değiştirme hem de yer değiştirme zaman içinde. İmdi devinim ne denliyse herbir devinimin sayısı da o denli. Bunun için mutlak anlamda sayı belli bir devinime değil, sürekli devinime ait. Ama zamandaş olarak başka bir nesne de devinebilir, bunların herbirinin deviniminin de sayısı 223b olması gerek. Öyleyse değişik bir zaman var! İki eşit zaman zamandaş olarak varolabiliyor! Yoksa böyle değil mi? Nitekim eşit ve zamandaş zaman tek ve aynıdır, tür açısından zamanlar ise zamandaş olmaz. Nitekim diyelim ki köpekler ve atlar var, heriki öbeğin sayısı da 'yedi'. Oysa sayı aynı. Bu biçimde zamandaş olarak gerçekleşen devinimlerde de zaman aynı. Biri hızlı, öteki yavaş; biri yer değiştirme, öteki nitelik değiştirme olabilir. Aslında sayı eşit ve zamandaş ise hem nitelik değiştirmenin hem de yer değiştirmenin zamanı aynı. Bu yüzden de devinimler değişik ve ayrı, zaman ise her yerde aynı; çünkü eşit ve zamandaş nesnelerin sayısı her yerde tek ve aynı.

Madem [temel devinim] yer değiştirme ve temel yer değiştirme de çemberdir ve madem herbir nesne kendisiyle eşcinsli bir şeyle ölçülüyor, tek tek sayılar

μονάδες μονάδι, ἵπποι δ' ἵππῳ, οὕτω ⟨δὲ⟩ καὶ ὁ χρόνος χρόνῳ τινὶ ὡρισμένῳ, μετρεῖται δ', ὥσπερ εἴπομεν, ὅ τε χρόνος κινήσει καὶ ἡ κινήσις χρόνῳ (τοῦτο δ' ἐστίν, ὅτι ὑπὸ τῆς ὡρισμένης κινήσεως χρόνῳ μετρεῖται τῆς τε κινήσεως τὸ ποσὸν καὶ τοῦ χρόνου)—εἰ οὖν τὸ πρῶτον μέτρον πάντων τῶν συγγενῶν, ἡ κυκλοφορία ἡ ὁμαλὴς μέτρον μάλιστα, ὅτι ὁ ἀριθμὸς ὁ ταύτης γνωριμώτατος. ἀλλοίωσις μὲν οὖν οὐδὲ αὔξησις οὐδὲ γένεσις οὐκ εἰσὶν ὁμαλεῖς, φορὰ δ' ἔστιν. διὸ καὶ δοκεῖ ὁ χρόνος εἶναι ἡ τῆς σφαίρας κίνησις, ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις καὶ ὁ χρόνος ταύτῃ τῇ κινήσει. διὰ δὲ τοῦτο καὶ τὸ εἰωθὸς λέγεσθαι συμβαίνει· φασὶν γὰρ κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα, καὶ τῶν ἄλλων τῶν κίνησιν ἐχόντων φυσικὴν καὶ γένεσιν καὶ φθοράν. τοῦτο δέ, ὅτι ταὐτὰ πάντα τῷ χρόνῳ κρίνεται, καὶ λαμβάνει τελευτὴν καὶ ἀρχὴν ὥσπερ ἂν εἰ κατά τινα περίοδον. καὶ γὰρ ὁ χρόνος αὐτὸς εἶναι δοκεῖ κύκλος τις· τοῦτο δὲ πάλιν δοκεῖ, διότι τοιαύτης ἐστὶ φορᾶς μέτρον καὶ μετρεῖται αὐτὸς ὑπὸ τοιαύτης. ὥστε τὸ λέγειν εἶναι τὰ γιγνόμενα τῶν πραγμάτων κύκλον τὸ λέγειν ἐστὶν τοῦ χρόνου εἶναί τινα κύκλον· τοῦτο δέ, ὅτι μετρεῖται τῇ κυκλοφορίᾳ· παρὰ γὰρ τὸ μέτρον οὐδὲν 224ᵃ ἄλλο παρεμφαίνεται τῷ μετρουμένῳ, ἀλλ' ἢ πλείω μέτρα
2 τὸ ὅλον.

2 λέγεται δὲ ὀρθῶς καὶ ὅτι ἀριθμὸς μὲν ὁ αὐτὸς ὁ τῶν προβάτων καὶ τῶν κυνῶν, εἰ ἴσος ἑκάτερος, δεκὰς δὲ οὐχ ἡ αὐτὴ οὐδὲ δέκα τὰ αὐτά, ὥσπερ οὐδὲ τρίγωνα τὰ αὐτὰ
5 τὸ ἰσόπλευρον καὶ τὸ σκαληνές, καίτοι σχῆμά γε ταὐτό, ὅτι τρίγωνα ἄμφω· ταὐτὸ γὰρ λέγεται οὗ μὴ διαφέρει διαφορᾷ,

ᵇ 14 *μονάδες μονάδες μονάδι* J δ' om. H δὲ add. Torstrik *ὁ* ΛPST : om. E *ὡρισμένῳ τινὶ χρόνῳ* H 16 *ὑπὸ* E²ΛP^P *γρ.* S : om. E¹VAP^I S 17 *τε* GHIJP : δὲ E : om. F 18 *ἀπάντων* H 19 *ὁμαλὴ* I *ὁ* om. EPS 21 *ὁμαλῆς* E² 22 *ὁ* om. F *σφαίρας ἡ κίνησις* F. 27 *πάντα ταὐτα* P^P S : *πάντα* E¹VP^I T 29 *αὐτος* om. H *εἶναι* post *τις* F 30 *φορᾶς ἐστὶ* FGIJ *αὐτος*] *ὁ αὐτὸς* G 31 *τοιαύτης φορᾶς. ὡς τὸ* E 32 *τὸ . . . κύκλον* om. H *ἐστὶ τὸ τοῦ* F *τινα εἶναι* I 33 *τὸ μετρουν* F 224ᵃ 1 *τῷ μετρουμένῳ* Torstrik : *τὸ μετρούμενον* ΠP *ἢ* ⟨*ὅτι*⟩ Torstrik 2–15 *λέγεται . . . ἵπποι* secl. Cornford 2 *ὅτι* EGJS : *ὅτι ὁ* FHIP *ὁ* alt. ΛPS : om. E 3 *καὶ ὁ τῶν* H 4 *οὐδὲ . . . αὐτά* om. F 5 *τὸ* alt. ΛP : om. E *σκαληνές* GIJ¹P : *σκαληνόν* FHJ²S : *σκαληνες αλλα* E 6 *διαφερῃ* J

'bir' ile, atlar 'at' ile, aynı şekilde zaman da belli bir zamanla ölçülür ve dediğimiz gibi zaman devinimle, devinim de zamanla ölçülür (bu şundan: zamanla belirlenmiş bir devinimle hem devinimin hem de zamanın niceliği ölçülür); imdi en önemli şey bütün eşcinslilerin ölçüsü ise, sabit çembersel yer değiştirme en başta gelen ölçü olacaktır, çünkü onun sayısı en çok bilinir olan şey. Ne nitelik değiştirme ne büyüme ne de oluşma sabit, yalnızca yer değiştirme öyle. Bunun için zaman gökçemberin devinimi diye de düşünülüyor, çünkü öteki devinimler onunla ölçülüyor, zaman da bu devinimle ölçülüyor. Bundan ötürü de alışılagelmiş bazı deyişler var: insanların yapıp-etmelerinin çembersel olduğunu söylerler, bu doğal devinimleri olan, oluşup-yokolan nesneler için de geçerli sayılır. Böyle denir, çünkü bütün bunlar zamanla değerlendirilir ve sanki çembersel bir yoldalarmış gibi bir sonları ve başlangıçları var. Zamanın kendisi de bir çember diye düşünülüyor. Yine bunun nedeni de şu: zaman bu tür bir yer değiştirmenin ölçüsüdür ve o böyle bir yer değiştirme ile ölçülür. Dolayısıyla "nesnelerin oluşları bir çember oluşturuyorlar" demek, "zamanın çembersel bir akışı var" demektir. O çembersel yer değiştirmeyle ölçüldüğü için bu böyle. Nitekim ölçünün yanında, ölçülenle birlikte görünen başka hiçbir şey yok: meğer ki [evren] bütünü bir ölçü çokluğu ola![44]

Şöyle denmesi de yerinde: iki öbek sayısı da eşitse koyunlarla köpeklerin sayısı aynı ama 'on' aynı değil; 'on' nesne de aynı değil: tıpkı herikisi de üçgen olduğundan ötürü şekilleri aynı olsa bile eşkenarüçgen ile çeşitkenarüçgenin aynı üçgenler olmaması gibi. Çünkü ayırıcı özelliği açısından farklı olan değil, farklı olmayan

14. 223^b 14 — 1. 224^a 34

ἀλλ' οὐχὶ οὗ διαφέρει, οἷον τρίγωνον τριγώνου (τριγώνου) διαφορᾷ διαφέρει· τοιγαροῦν ἕτερα τρίγωνα· σχήματος δὲ οὔ, ἀλλ' ἐν τῇ αὐτῇ διαιρέσει καὶ μιᾷ. σχῆμα γὰρ τὸ μὲν τοιόνδε κύκλος, τὸ δὲ τοιόνδε τρίγωνον, τούτου δὲ τὸ μὲν τοιόνδε ἰσόπλευρον, τὸ δὲ τοιόνδε σκαληνές. σχῆμα μὲν οὖν τὸ αὐτό, καὶ τοῦτο τρίγωνον, τρίγωνον δ' οὐ τὸ αὐτό. καὶ ἀριθμὸς δὴ ὁ αὐτός (οὐ γὰρ διαφέρει ἀριθμοῦ διαφορᾷ ὁ ἀριθμὸς αὐτῶν), δεκὰς δ' οὐχ ἡ αὐτή· ἐφ' ὧν γὰρ λέγεται, διαφέρει· τὰ μὲν γὰρ κύνες, τὸ δ' ἵπποι. καὶ περὶ μὲν χρόνου καὶ αὐτοῦ καὶ τῶν περὶ αὐτὸν οἰκείων τῇ σκέψει εἴρηται.

E

Μεταβάλλει δὲ τὸ μεταβάλλον πᾶν τὸ μὲν κατὰ συμβεβηκός, οἷον ὅταν λέγωμεν τὸ μουσικὸν βαδίζειν, ὅτι ᾧ συμβέβηκεν μουσικῷ εἶναι, τοῦτο βαδίζει· τὸ δὲ τῷ τοῦτου τι μεταβάλλειν ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα λέγεται κατὰ μέρη (ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμὸς ἢ ὁ θώραξ, ταῦτα δὲ μέρη τοῦ ὅλου σώματος)· ἔστι δέ τι ὃ οὔτε κατὰ συμβεβηκὸς κινεῖται οὔτε τῷ ἄλλο τι τῶν αὐτοῦ, ἀλλὰ τῷ αὐτὸ κινεῖσθαι πρῶτον. καὶ τοῦτ' ἔστι τὸ καθ' αὑτὸ κινητόν, κατ' ἄλλην δὲ κίνησιν ἕτερον, οἷον ἀλλοιωτόν, καὶ ἀλλοιώσεως ὑγιαντὸν ἢ θερμαντὸν ἕτερον. ἔστι δὲ καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· τὸ μὲν γὰρ κατὰ συμβεβηκὸς κινεῖ, τὸ δὲ κατὰ μέρος τῷ τῶν τούτου τι, τὸ δὲ καθ' αὑτὸ πρῶτον, οἷον ὁ μὲν ἰατρὸς ἰᾶται, ἡ δὲ χεὶρ πλήττει. ἐπεὶ δ' ἔστι μέν τι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινού-

224^a 21–^{b} 1 = 1067^b 1–9

---

[a] 7 *τρίγωνον* om. E^1 (*τριγώνου*) Torstrik, fort. S *διαφορᾷ* F 8 *σχήματα* F : *σχῆμα* I *δε*] *δέ γε* E^2GHJ : *δε σχήματος* I 9 *γάρ ἐστι τό* H . 11 *σκαληνόν* FHJ^{2}S *μὲν* om. H 12 *τοῦτο τρίγωνον* scripsi, fort. hab. PS : *τὸ τρίγωνον* E : *τοῦτο, τρίγωνον γάρ* Λ *καὶ* FP : *καὶ ὁ* EGHIJ 13 *δὲ* HP 16 *εἴρηται μεταβάλλει δὲ τὸ μεταβάλλον* E

Tit. *φυσικῆς ἀκροάσεως τὸ ε.* *περὶ μεταβολης* E : *φυσικῶν πέμπτον* I 22 *οἷον ὅταν* fecit E : *ὅταν* S ante *τὸ* literas quatuor deletas E *τὸ* EFJMST : *τὸν* HI 23 *μουσικῷ εἶναι* E^2ΛS : *εἶναι μουσικῷ* T : *μουσικῷ* E^1 24 *τι* om. E^1 27 *δὴ* M : *δή* F : *δὲ δή* EHIJ 31 *κατὰ* ΛM : om. E 32 *κινοῦν* H *τῶν* om. F 33 *πλήσσει* FIJ

nesnelere "aynı" denir. Sözgelişi bir üçgen başka bir üçgenden üçgenin ayırıcı özellikleri açısından farklıdır, işte bu nedenle üçgenler değişiktir. Ayırım şekilde değil, aynı ve tek bölümleme içinde var; çünkü şekillerden biri çember öteki üçgen olsa bu sözkonusu, oysa burada biri eşkenarüçgen, öteki çeşitkenarüçgen. Demek şekil aynı ve bir üçgen ama üçgen aynı değil. Bunun için sayı da aynı[45] (çünkü 'on'ların sayısı "sayı"nın ayırıcı özelliği açısından farklı değil) ama 'on' aynı değil. Çünkü yüklendiği nesneler farklı: biri köpekler öteki atlar. İmdi zaman üzerine hem kendi başına hem de onunla ilgili olarak araştırmaya uygun olan şeyler üzerinde konuşmuş olduk.

Beşinci Kitap

1 Değişen-devinen herşey ya ilineksel anlamda değişir-devinir, sözgelişi eğitimli kişinin yürüdüğünü söylediğimizde yürüyen kişi için eğitimli olmak ilinekseldir; ya da kendisinin bir şeyi değişen nesnenin mutlak anlamda değiştiği söylenir, sözgelişi parçalar olarak söylenen şeyler (nitekim beden iyileşir, çünkü göz ya da göğüs iyileşmiştir, bunlar da bedenin tümünün parçaları). Ne ki bir şey de vardır, ne ilineksel anlamda devinir ne kendisindeki bir şey açısından; doğrudan kendisi devinim içindedir: işte bu *kendinde* devinendir, öteki tür devinimlere göre olandan sözgelişi nitelik değiştirenden farklıdır. Nitelik değiştirmede de iyileşen ya da ısınan şey farklı. Devindirenle ilgili olarak da bu böyle: ya ilineksel anlamda devindirir ya nesnenin bir şeyini parça olarak devindirir ya da *kendinde* dolaysız olarak: sözgelişi "hekim iyileştirir", "el vurur". Demek ki ilkin bir devindiren var bir de devindirilen, ayrıca

μενον, ἔτι ἐν ᾧ, ὁ χρόνος, καὶ παρὰ ταῦτα ἐξ οὗ καὶ εἰς
224b ὅ—πᾶσα γὰρ κίνησις ἔκ τινος καὶ εἴς τι· ἕτερον γὰρ τὸ πρῶτον κινούμενον καὶ εἰς ὃ κινεῖται καὶ ἐξ οὗ, οἷον τὸ ξύλον καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν· τούτων δὲ τὸ μὲν ὅ, τὸ δ' εἰς ὅ, τὸ δ' ἐξ οὗ—ἡ δὴ κίνησις δῆλον ὅτι ἐν τῷ ξύλῳ, οὐκ ἐν τῷ εἶδει· οὔτε γὰρ κινεῖ οὔτε κινεῖται τὸ εἶδος ἢ ὁ τόπος ἢ τὸ τοσόνδε, ἀλλ' ἔστι κινοῦν καὶ κινούμενον καὶ εἰς ὃ κινεῖται. μᾶλλον γὰρ εἰς ὃ ἢ ἐξ οὗ κινεῖται ὀνομάζεται ἡ μεταβολή. διὸ καὶ ἡ φθορὰ εἰς τὸ μὴ ὂν μεταβολή ἐστιν· καίτοι καὶ ἐξ ὄντος μεταβάλλει τὸ φθειρόμενον· καὶ ἡ γένεσις εἰς ὄν, καίτοι καὶ ἐκ μὴ ὄντος.

τί μὲν οὖν ἐστιν ἡ κίνησις, εἴρηται πρότερον· τὰ δὲ εἴδη καὶ τὰ πάθη καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἡ ἐπιστήμη καὶ ἡ θερμότης. καίτοι ἀπορήσειεν ἄν τις, εἰ τὰ πάθη κινήσεις, ἡ δὲ λευκότης πάθος· ἔσται γὰρ εἰς κίνησιν μεταβολή. ἀλλ' ἴσως οὐχ ἡ λευκότης κίνησις, ἀλλ' ἡ λεύκανσις. ἔστιν δὲ καὶ ἐν ἐκείνοις καὶ τὸ κατὰ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος καὶ [τὸ] κατ' ἄλλο καὶ τὸ πρώτως καὶ μὴ κατ' ἄλλο, οἷον τὸ λευκαινόμενον εἰς μὲν τὸ νοούμενον μεταβάλλει κατὰ συμβεβηκός (τῷ γὰρ χρώματι συμβέβηκε νοεῖσθαι), εἰς δὲ χρῶμα ὅτι μέρος τὸ λευκὸν τοῦ χρώματος (καὶ εἰς τὴν Εὐρώπην ὅτι μέρος αἱ Ἀθῆναι τῆς Εὐρώπης), εἰς δὲ τὸ λευκὸν χρῶμα καθ' αὑτό. πῶς μὲν οὖν καθ' αὑτὸ κινεῖται καὶ πῶς κατὰ συμβεβηκός, καὶ πῶς κατ' ἄλλο τι καὶ πῶς τῷ αὐτὸ πρῶτον, καὶ ἐπὶ κινοῦντος καὶ ἐπὶ κινουμένου, δῆλον, καὶ ὅτι ἡ κίνησις οὐκ ἐν τῷ εἴδει ἀλλ' ἐν τῷ κινουμένῳ καὶ κινητῷ κατ' ἐνέργειαν. ἡ μὲν οὖν κατὰ συμβεβηκὸς μεταβολὴ ἀφείσθω· ἐν ἅπασί τε γάρ ἐστι καὶ

224b 11–16 = 1067b 9–12

---

b 1 πρώτως H 4 δή HI γρ. A γρ. S : δὲ EFJS γρ. A 6 τὸ ΛS : om. E καὶ HIJ²S : om. EFJ¹ καὶ FHIS : om. EJ 7 εἰς ὁ om. E¹ 8 καὶ om. EHJ 9 καὶ om. F 10 ὄν] ὃ I καὶ alt. om. FIJT 11 ἡ om. F τὰ alt. ΛT : om. E 14 κίνησις E γὰρ] δὲ F κίνησιν ἡ μεταβολὴ H 15 ἀλλ' ἡ λεύκανσις E²ΛS : om. E¹ 16 ἔσται I 17 [τὸ] Bonitz κατ' . . . πρώτως] κατὰ πρῶτον E : πρώτως H καὶ τὸ μὴ EHIJ 18 ἄλλον E 23–4 καὶ alt. . . . τι om. E 24 καὶ . . . πρῶτον secl. Bonitz, om. fort. T τῷ Prantl : τὸ E²Λ : E¹ incertum 25 ἐπὶ om. E 27 ἅπασί ΠS^c : πᾶσί S^p γάρ τε EH

içinde olunan zaman, bunların yanında bir de neden-neye-, nitekim her devinim bir şeyden bir şeye. Demek ki asıl anlamda devinen ile ona doğru devinilen ve ondan devinilen şey farklı: sözgelişi tahta, sıcak, soğuk: bunlardan biri nesne, biri *ondan* biri de *ona*. İmdi açık ki devinim tahtada, biçimde değil. Nitekim biçim, yer ya da nicelik ne devinir ne de devindirilir, tersine devindiren, devindirilen ve ona doğru devinilen şey var. Değişme *ondan* yerine daha çok *ona* doğru olan şeye göre adlandırılır. Bunun için yokolma da, yokolan bir varolandan değişmesine karşın varolmayana doğru bir değişmedir. Oluş ise varolmayandan olmasına karşın varolana doğrudur.

İmdi devinim ne, bunu daha önce söylemiştik. Devinenlerin onlara doğru devindiği biçimler, duygulanımlar ve yer ise devinimsiz şeyler, sözgelişi bilim ile sıcaklık. Gerçi duygulanımların devinim olup olmadığı sorulabilir: aklık bir tür duygulanım, yani devinime doğru bir değişme olacak. Ama herhalde aklık bir devinim değil de aklaşma bir devinim. Bunlarda da *ilineksel anlamda, parça olarak, bir başkasına göre* ve bir başkasına göre değil, *asıl anlamda* sözkonusu. Sözgelişi aklaşan, ilineksel olarak akıllanmaya doğru değişebilir (renk açısından akıllanmak ilineksel bir şey), renge parça anlamında değişir, çünkü ak, rengin bir parçası ("Avrupa'ya" denir, çünkü Atina, Avrupa'nın bir parçası), ak renge ise kendinde değişme olur. Demek ki kendinde nasıl devinilir, ilineksel olarak, bir başka şeye göre nasıl devinilir, bunlar hem devindiren hem de devinen açısından açık. Şu da açık: devinim, biçimde değil, devinen nesnede ve devinebilir nesnede etkinlik halindedir. İlineksel anlamda değişmeyi bir yana bırakalım, çünkü o her yerde,

1. 224ᵃ 35 — 225ᵃ 17

αἰεὶ καὶ πάντων· ἡ δὲ μὴ κατὰ συμβεβηκὸς οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ τοῖς μεταξὺ καὶ ἐν ἀντιφάσει· τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. ἐκ δὲ τοῦ μεταξὺ μεταβάλλει· χρῆται γὰρ αὐτῷ ὡς ἐναντίῳ ὄντι πρὸς ἑκάτερον· ἔστι γάρ πως τὸ μεταξὺ τὰ ἄκρα. διὸ καὶ τοῦτο πρὸς ἐκεῖνα κἀκεῖνα πρὸς τοῦτο λέγεταί πως ἐναντία, οἷον ἡ μέση ὀξεῖα πρὸς τὴν ὑπάτην καὶ βαρεῖα πρὸς τὴν νητήν, καὶ τὸ φαιὸν λευκὸν πρὸς τὸ μέλαν καὶ μέλαν πρὸς τὸ λευκόν.

ἐπεὶ δὲ πᾶσα μεταβολή ἐστιν ἔκ τινος εἴς τι (δηλοῖ δὲ καὶ τοὔνομα· μετ' ἄλλο γάρ τι καὶ τὰ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον), μεταβάλλοι ἂν τὸ μεταβάλλον τετραχῶς· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον· λέγω δὲ ὑποκείμενον τὸ καταφάσει δηλούμενον. ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων τρεῖς εἶναι μεταβολάς, τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον. ἡ γὰρ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστιν μεταβολὴ διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν. ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ' ἀντίφασιν γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ τὶς τινός (οἷον ἡ μὲν ἐκ μὴ λευκοῦ εἰς λευκὸν γένεσις τούτου, ἡ δ' ἐκ τοῦ μὴ ὄντος ἁπλῶς εἰς οὐσίαν γένεσις ἁπλῶς, καθ' ἣν ἁπλῶς γίγνεσθαι καὶ οὐ τὶ γίγνεσθαι λέγομεν)· ἡ δ' ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκεί-

224ᵇ 28–30 = 1067ᵇ 12-14 225ᵃ 3—226ᵃ 16 = 1067ᵇ 14—1068ᵇ 15

ᵇ 28 *πάντων* ΛPS : *πάντως* E 29 *τοῖς* alt. FJS : *ἐν τοῖς* EHI : om. M 30 *μεταβάλλει*] *βάλλει* E¹ : *μεταβάλλει ὡς ἐξ ἐναντίου* H 31 *ὄντι*] *τινὶ* E² 33 *ὡς* E, fort. corr. *ὀξεῖα . . .* 34 *νήτην* E¹S : *βαρεῖα πρὸς τὴν νήτην καὶ ὀξεῖα πρὸς τὴν* (*τὴν* om. F) *ὑπάτην* E²Λ 225ᵃ 1 *πᾶσα* om. F¹ *ἐστιν* om. FS *δὲ* ΛS : *γὰρ* E 3 *ἂν*] *δ' ἂν* E¹ 4 *ἐξ*] *οὐκ ἐξ* HIJM : *ἐξ οὐχ* ST *μὴ* om. S : *οὐχ* ΛMT 5 *οὐκ* om. MST : *μὴ* FH *εἰς*] *εἰς οὐχ* FMS : *εἰς μὴ* T *οὐκ ἐξ* EMT : *ἐξ οὐχ* FS : *ἐξ* HIJ 6 *μὴ* om. MT : *οὐχ* S *δὲ* EMT : *δὲ τὸ* ΛS 10 *οὐκ ἐξ*] *μὴ ἐξ* Λ : *ἐξ οὐχ* M 11 *μὴ* pr. EM : *οὐχ* Λ 12 *οὔτε ἐν ἀντιφάσει* S *οὐκ ἐξ* EFJM : *ἐξ οὐχ* S : *ἐκ μὴ* H : *ἐξ* I 14 *ἐστιν* om. I *ἁπλῆ* om. S *τὶς τινός* ΠM : *τίς* S 15 *μὴ* pr. om. I 17 *τι* om. E²

her zaman, her şeyde sözkonusu. İlineksel anlamda olmayan devinimse her yerde değil, karşıtlarda, onların aralarında bir yerde ve çelişmede. Bu nasıl gidilerek gösterilebilir: değişme, aradaki durumda sözkonusu, çünkü o heriki yan açısından karşıt olarak kullanılır, nitekim aradaki, bir biçimde uç oluyor: bunun için aradakine karşıtlara göre, karşıtlara da ona göre bir biçimde karşıt denir: sözgelişi orta ses alçak sese göre yüksek, yüksek sese göre alçaktır; gri de karaya göre ak, aka göre karadır.

Değil mi ki, her değişme bir şeyden bir şeye (adı da -metabole, bunu gösteriyor: başka bir şeyden sonra bir şey, biri önce biri sonra ortaya çıkıyor), öyleyse değişen dört biçimde değişebilir: ya bir taşıyıcıdan bir taşıyıcıya, ya bir taşıyıcıdan bir 'taşıyıcı olmayan'a ya bir 'taşıyıcı olmayan'dan bir taşıyıcıya ya da bir 'taşıyıcı olmayan'dan 'taşıyıcı olmayan'a. Taşıyıcı dediğim, evetleme ile açıklanan şey. Dolayısıyla söylediklerimizden, üç değişme olması zorunlu: bir taşıyıcıdan bir taşıyıcıya, bir taşıyıcıdan bir 'taşıyıcı olmayan'a, bir 'taşıyıcı olmayan'dan bir taşıyıcıya. Çünkü çelişme olmadığından ötürü bir 'taşıyıcı olmayan'dan bir 'taşıyıcı olmayan'a değişme olmaz: nitekim bunlar ne karşıt şeyler ne de çelişme. İmdi "bir 'taşıyıcı olmayan'dan bir taşıyıcıya çelişmeye göre değişme" oluştur: mutlak anlamda ise mutlak anlamda oluş, belli bir şeyin değişmesi ise belli bir oluş (sözgelişi 'ak olmayan'dan aka değişme, bunun oluşu, 'varolmayan'dan mutlak anlamda 'varolmaya' değişme ise mutlak anlamda oluştur, ki buna göre bir şeyin oluşmasından değil, mutlak anlamda oluştan sözederiz). Bir taşıyıcıdan bir

μενον φθορά, ἁπλῶς μὲν ἡ ἐκ τῆς οὐσίας εἰς τὸ μὴ εἶναι, τὶς δὲ ἡ εἰς τὴν ἀντικειμένην ἀπόφασιν, καθάπερ ἐλέχθη καὶ ἐπὶ τῆς γενέσεως.

εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι μήτε τὸ κατὰ δύναμιν, τὸ τῷ ἁπλῶς κατ' ἐνέργειαν ὄντι ἀντικείμενον (τὸ μὲν γὰρ μὴ λευκὸν ἢ μὴ ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός, εἴη γὰρ ⟨ἂν⟩ ἄνθρωπος τὸ μὴ λευκόν· τὸ δ' ἁπλῶς μὴ τόδε οὐδαμῶς), ἀδύνατον [γὰρ] τὸ μὴ ὂν κινεῖσθαι (εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι· γίγνεται γὰρ τὸ μὴ ὄν· εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίγνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γιγνομένου ἁπλῶς)—ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. ταῦτά τε δὴ συμβαίνει δυσχερῆ [τῷ κινεῖσθαι τὸ μὴ ὄν] καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. οὐδὲ δὴ ἡ φθορὰ κίνησις· ἐναντίον μὲν γὰρ κινήσει ἡ κίνησις ἢ ἠρεμία, ἡ δὲ φθορὰ γενέσει ἐναντίον. ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δὲ αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' εἰσὶν αἱ κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν κίνησιν εἶναι μόνην. τὰ δ' ὑποκείμενα ἢ ἐναντία ἢ μεταξύ (καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον), καὶ δηλοῦται καταφάσει, τὸ γυμνὸν καὶ νωδὸν καὶ μέλαν.

εἰ οὖν αἱ κατηγορίαι διήρηνται οὐσίᾳ καὶ ποιότητι καὶ τῷ ποῦ [καὶ τῷ ποτὲ] καὶ τῷ πρός τι καὶ τῷ ποσῷ καὶ τῷ ποιεῖν ἢ πάσχειν, ἀνάγκη τρεῖς εἶναι κινήσεις, τήν τε τοῦ ποιοῦ καὶ τὴν τοῦ ποσοῦ καὶ τὴν κατὰ τόπον.

[a] 18 ἡ om. E 19 ἡ om. F 20 δὲ E^2 23 γὰρ om. H ἀγαθὸν ὂν ὅμως H 24 ἂν M(EJ) Bekker : om. ΠM(A^b) 25 γὰρ om. M(JT)T 26 εἶναι κίνησιν F 30 ταῦτά Jaeger τε om. I, erasit J : δὲ E, Jaeger δὴ EHM : δὴ πάντα FIJ τῷ . . . 31 ὄν om. EHJM 31 ἔστιν om. S 33 ἢ pr. IST : ἡ EH : om. FJM τῇ δὲ φθορᾷ γένεσις S [b] 1 εἰσὶν om. I αἱ FJM : καὶ EHI 2 μόνην EHMS : μόνον FIJ 4 καταφάσει ΛM : καταφυσιν E τὸ λευκὸν καὶ τὸ γυμνὸν καὶ τὰ μέλαν H γυμνὸν EFIJMST : ψυχρὸν vel τυφλὸν Bonitz 5 νωδὸν M(EJ) : λευκὸν EFIJM(A^b)S 6 τῷ ποῦ ΛS : τόπῳ EM καὶ τῷ ποτὲ om. EHMS : τῷ om. I 7 τῷ pr. om. EH 8 ποιοῦ EH (cf. M) : ποσοῦ FIJ τὴν om. I ποσοῦ EH (cf. M) : ποιοῦ FIJ

'taşıyıcı olmayan'a değişme ise yokoluş. Oluş üzerine de söylediğimiz gibi 'varlık'tan 'varolmamak'a dönme mutlak anlamda yokoluş, karşıt değillemeye dönme ise belli bir yokoluştur.

'Varolmayan' çok anlamda kullanılıyorsa ve birleştirme veya ayırma yoluyla devinmesi olası değilse; mutlak anlamda etkinlik halinde varolana karşıt olan olanak halinde varolanın devinmesi de olası değilse <nitekim yine de 'ak olmayan'ın ya da 'iyi olmayan'ın ilineksel anlamda devinmesi olası, (çünkü bir insan 'ak olmayan' olabilir); oysa mutlak anlamda belli bir nesne olmayan şey hiçbir zaman devinemez> 'varolmayan'ın devinmesi olanaksız: (Ne ki bu böyleyse oluşun bir devinim olması da olanaksız: çünkü 'varolmayan' oluşur, en çok ilineksel anlamda oluşsa bile yine de 'varolmayan'ın mutlak anlamda oluşma içinde sözkonusu olduğunu söylemek doğru olacak). Durağan kalmakta da bu böyle. Bu aykırı durumlar <'varolmayan'ın devinmesi durumunda> ve her devinen bir yerde ise, varolmayan da bir yerde değilse ortaya çıkıyor: <varolmayan bir yerde olamaz>, çünkü bu durumda herhangi bir yerde olurdu. Demek ki yokoluş da bir devinim değil. Çünkü devinime karşıt bir şey ya bir devinimdir ya da durgunluk; yokolma ise oluşa karşıt bir şey. Madem her devinim bir değişme, üç tür değişme var: bunlardan oluşa ve yokoluşa değişme, devinim değil; bunlar da karşıtlarda sözkonusu olan değişmeler, öyleyse şu zorunlu: yalnızca bir taşıyıcıdan bir taşıyıcıya değişme bir devinimdir. Taşıyıcılar ise ya karşıtlardır ya da aradaki bir durumdur (yoksunluk da bir karşıtlık olmalı) ve bir evetlemeyle açıklanırlar: sözgelişi 'çıplak', 'dişsiz', 'kara'.

[b] 25 καὶ] καὶ ἡ I 26 δ' E^2APS : om. E^1 ποιᾷ δὲ ποιά scripsi cum P : ποιᾷ δὲ ποία EFHIST : ποία δὲ ποίαι J οἷον] ἢ H 27 κατὰ τὸν τόπον J ἡ κατὰ τόπον E^2AS : om. E^1 νῦν] μὲν νῦν I 28 ἐνταῦθα scripsi : ἐνταυθοῖ Π : ἐνταυθί ci. Cornford ἡ om. E ἡ om. EF 29 ἐπειδὴ FH 29-30 ὑποκειμένοις ἡ κίνησις H 31 δὲ ἐναντίαι ἀλλήλαις H 32 αὗται sup. lin. E ἄτοπον ἡ κίνησις E^1 [230a] 2 ἡ om. IJ[1] ἐν alt. om. E^1 4 αὐτὸ EFHJS : ταὐτὸ IP 5 ἢ scripsi : ἡ Π γε om. E 6 δὲ om. E^1 ἡ pr. om. E^1 γ' om. H 7 μηδέν H ἐναντία E^1FIJA γρ. S : ἐναντίον E^2HS 8 τούτων Λ γρ. S : ὧν A γρ. S : om. E γρ. S 9-10 οἷον . . . ἔστιν om. H 9 εἰς τὸ μὴ ὂν E^1 καὶ om. EJA 10 καὶ εἰ μέν AS : om. E τι εἴη fecit E 11 ἡ E^2AS : οἷον η E^1 τῇ . . . 13 ἀμεταβλησία om. F 13 εἰ E^2FHIS : om. E^1J 15 καὶ] καὶ ἡ FH κινήσεις H

bir devinime karşıt olan şey bir devinimdir, ama durgunluk da devinime karşıttır (çünkü bir yoksunluktur, yoksunluğun da bir karşıt olarak adlandırılması sözkonusudur); ne ki belli biçimdeki devinime belli biçimdeki durgunluk karşıt, sözgelişi yere göre devinime yine yere göre durgunluk. Ancak bunu şimdi basitçe söylüyoruz, çünkü acaba belli bir yerdeki durgunluğa, 'o yerden' olan devinim mi yoksa 'o yere' olan devinim mi karşıt olur? İmdi şu açık: eğer devinim iki taşıyıcıda gerçekleştiğine göre, belli bir yerden karşıtına olan değer devinime, bu yerdeki durgunluk: karşıtından belli bir yere olan devinime ne ise karşıt yerdeki durgunluk karşıttır. Ne ki bu durgunluklar da aynı anda birbirlerine karşıt, çünkü devinimler karşıtsa, durgunlukların karşıt değer olmaması tutarsız olur. Bu, [durgunlukların] karşıt durumlarında var, sözgelişi sağlıktaki durgunluk hastalıktaki durgunluğa (yani devinim açısından 'hastalıktan sağlığa' doğru olana, çünkü [sağlıktaki durgunluğun] 'hastalıktan sağlığa' doğru olan devinime karşıt olması mantıksız; nitekim bir devinimin durduğu noktada bir durgunluk vardır, ya da devinimle aynı anda durgunluğun oluşması sözkonusu olur; oysa ya berikinin ya da ötekinin olması zorunlu): çünkü 'ak'taki durgunluk, 'sağlık'taki durgunluğa karşıt olamaz. Ne ki, karşıtları olmayan nesnelerde aynı nesneden gelip aynı nesneye giden karşıt bir değişme olur; sözgelişi 'varolan'dan olan değişme 'varolan'a doğru değişmeye karşıttır, ama bu devinim değildir. Bu nesnelerde durgunluk değil, değişmezlik vardır. Bir taşıyıcısı olsa, 'varolandaki' değişmezlik, 'varolmayandaki' değişmezliğe karşıt olurdu. Oysa 'varolmayan' diye birşey yoksa, 'varolandaki' değişmezliğin hangi değişmezliğe karşıt olduğu ve bir durgunluk olup olmadığı sorulabilir: bu sonuncusu doğruysa, ya her durgunluk bir devinime karşıt değildir ya da 'oluş' ile 'yokoluş' bir devinimdir. Açık ki, bunlar devinim değilse, durgunluktan değil, benzeri bir şeyden, değişmezlikten sözedilebilir. Değişmezlik de ya hiçbir şeye karşıt değildir, ya da 'varolmayandaki' değişmezliğe veya 'yokolmaya' karşıttır, çünkü 'yokolma', 'ondan'; 'oluş' ise 'ona doğru' olur.

Bir de şu soruulabilir; niçin yere göre değişmede yalnızca doğal

6. 229^{b} 25 — 230^{b} 12

διὰ τί ἐν μὲν τῇ κατὰ τόπον μεταβολῇ εἰσὶ καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν καὶ μοναὶ καὶ κινήσεις, ἐν δὲ ταῖς ἄλλαις οὔ, οἷον ἀλλοίωσις ἡ μὲν κατὰ φύσιν ἡ δὲ παρὰ φύσιν (οὐδὲν γὰρ μᾶλλον ἡ ὑγίανσις ἢ ἡ νόσανσις κατὰ φύσιν ἢ παρὰ φύσιν, οὐδὲ λεύκανσις ἢ μέλανσις)· ὁμοίως δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθίσεως (οὔτε γὰρ αὗται ἀλλήλαις ἐναντίαι ὡς φύσει ἡ δὲ παρὰ φύσιν, οὔτ' αὔξησις αὐξήσει)· καὶ ἐπὶ γενέσεως δὲ καὶ φθορᾶς ὁ αὐτὸς λόγος· οὔτε γὰρ ἡ μὲν γένεσις κατὰ φύσιν ἡ δὲ φθορὰ παρὰ φύσιν (τὸ γὰρ γηρᾶν κατὰ φύσιν), οὔτε γένεσιν ὁρῶμεν τὴν μὲν κατὰ φύσιν τὴν δὲ παρὰ φύσιν. ἢ εἰ ἔστιν τὸ βία παρὰ φύσιν, καὶ φθορὰ ἂν εἴη φθορᾷ ἐναντία ἡ βίαιος ὡς παρὰ φύσιν οὖσα τῇ κατὰ φύσιν; ἆρ' οὖν καὶ γενέσεις εἰσὶν ἔνιαι βίαιοι καὶ οὐχ εἱμαρμέναι, αἷς ἐναντίαι αἱ κατὰ φύσιν, καὶ αὐξήσεις βίαιοι καὶ φθίσεις, οἷον αὐξήσεις αἱ τῶν ταχὺ διὰ τρυφὴν ἡβώντων, καὶ οἱ σῖτοι οἱ ταχὺ ἀδρυνόμενοι καὶ μὴ πιληθέντες; ἐπὶ δ' ἀλλοιώσεως πῶς; ἢ ὡσαύτως; εἶεν γὰρ ἄν τινες βίαιοι, αἱ δὲ φυσικαί, οἷον οἱ ἀφιέμενοι μὴ ἐν κρισίμοις ἡμέραις, οἱ δ' ἐν κρισίμοις· οἱ μὲν οὖν παρὰ φύσιν ἠλλοίωνται, οἱ δὲ κατὰ φύσιν. ἔσονται δὴ καὶ φθοραὶ ἐναντίαι ἀλλήλαις, οὐ γενέσεσι. καὶ τί γε κωλύει ἔστιν ὡς; καὶ γὰρ εἰ ἡ μὲν ἡδεῖα ἡ δὲ λυπηρὰ εἴη· ὥστε οὐχ ἁπλῶς φθορὰ φθορᾷ ἐναντία, ἀλλ' ᾗ ἡ μὲν τοιαδὶ ἡ δὲ τοιαδὶ αὐτῶν ἐστιν.

ὅλως μὲν οὖν ἐναντίαι κινήσεις καὶ ἠρεμίαι τὸν εἰρημένον τρόπον εἰσίν, οἷον ἡ ἄνω τῇ κάτω· τόπου γὰρ ἐναντιώσεις αὗται. φέρεται δὲ τὴν μὲν ἄνω φορὰν φύσει τὸ

[a] 19 καὶ HIJS : om. EF κατὰ . . . 20 παρὰ] παρὰ φύσιν καὶ κατὰ H : κατὰ E 22 μᾶλλον] ἄλλο J ἡ utrumque om. F νόσωσις fort. E^{1} 24 γὰρ om. EIJ^{1} ἐναντίαι ἀλλήλαις H 25 ἡ δὲ E^{2}IJ^{1}ST : ἢ E^{1}FHJ^{2} 28 ἡ γὰρ γήρανσις EH γῆρας FS : γηράσκειν T γένεσιν ἢ γήρανσιν ὁρῶμεν H 29 ἢ εἰ] εἰ δὴ FI : εἰ δὲ JT 31 οὖν ΠPT : ὦ Gaye 32 αἱ κατὰ φύσιν ἐναντίαι F [b] 3 εἶεν ET : εἶησαν Λ 4 ἄν om. I τινες EHT : αἱ μέν τινες FIJ οἱ om. F 5 τ' E^{2}F οὖν om. Λ 6 δὴ HIJS : δὲ EFT καὶ φθοραὶ ἐναντίαι scripsi : αἱ φθοραὶ ἐναντίαι EP : ἐναντίαι αἱ φθοραὶ FIJ : ἐναντίαι φθοραὶ H : ἐναντίαι καὶ φθοραὶ T 7 οὐ EFIJP : καὶ T : καὶ οὐ H γενέσεσι Gaye : γενέσει EFIJPST : γενέσει μόνον H : γενέσεις Moreliana δὲ H ὡς E^{1}PS : γὰρ ὡς E^{2}Λ 9 ᾗ om. E^{1} ἡ pr. om. J^{1} 10 οὖν] οὖν αἱ H κίνησις ἠρεμίᾳ E^{1} 12 αὗται ΛST : αὗται. καθόλου δὲ πρώτως ταῦτα καὶ κυρίως ὑπάρχει EP (cf. [b] 21 adnot.) μὲν et φορὰν ΛS : om. E

değil, doğaya aykırı devinmeler de var, ama öteki değişmelerde bu yok? Sözgelişi doğaya göre ve doğaya aykırı nitelik değiştirme yok (çünkü iyileşme, hastalanmadan daha çok 'doğaya göre' ya da 'doğaya aykırı' değildir; aklaşma da karalaşmadan). Büyüme ile eksilmede de bu böyle (çünkü bunların karşıt olmaları, 'doğa gereği' ya da 'doğaya aykırı' olduklarından ötürü değildir; bir büyümenin başka bir büyümeye karşıtlığı da [aynı nedenden ötürü] değildir). Oluş ile yokoluşta da aynı temellendirme geçerli; oluş 'doğaya göre', 'yokoluş', 'doğaya aykırı' değil (çünkü yaşlanmak 'doğaya göre'); bir oluşu 'doğaya göre', bir başka oluşu 'doğaya aykırı' da görmüyoruz. Ya da 'zor ile' demek 'doğaya aykırı' anlamına geliyorsa, 'zor ile' olan yokolma da bir yokolmaya, sanki doğaya aykırı olanın doğaya göre olana karşıt olması gibi karşıt olacaktır. İmdi acaba karşıtları doğaya göre olup da, önceden tasarlanamayan, 'zor ile' olan kimi oluşlar yok mu? Zor ile olan büyümeler, eksilmeler, sözgelişi aşırı beslenme ile erken ergenlik, ya da kök salmadığı için çabuk olgunlaşan ürünler[49] yok mu? Nitelik değiştirmede bu nasıl? Acaba aynı şekilde mi? Kimi nitelik değiştirmeler 'zor ile', kimi de doğal. Sözgelişi yüksek ateş kimileyin 'belli gün' sonra; [kritik günler sonrası] düşüyor, kimileyin de düşmüyor. Demek ki, kimi doğaya aykırı nitelik değiştiriyor, kimi de doğaya göre. O halde yokolmalar da oluşlara değil, birbirlerine karşıt olacaklar! Böyle olmasına ne engel var? Nitekim kimi yokoluşlar hoş, kimi ise acılı olsa gerek. Dolayısıyla basitçe yokoluş yokoluşa karşıt değil, bunların kimi belli bir biçimde kimi de başka bir biçimde olduğundan ötürü karşıt olur.

İmdi aslında karşıt devinimler ile durgunluklar dediğimiz tarzda, sözgelişi 'yukarı' 'aşağıya' karşıt; çünkü yerin karşıtları bunlar. Alev doğa gereği yukarı giden bir yer değiştirme gerçekleştirir,

πῦρ, τὴν δὲ κάτω ἡ γῆ· καὶ ἐναντίαι γ' αὐτῶν αἱ φοραί. τὸ δὲ πῦρ ἄνω μὲν φύσει, κάτω δὲ παρὰ φύσιν· καὶ ἐναντία γε ἡ κατὰ φύσιν αὐτοῦ τῇ παρὰ φύσιν. καὶ μοναὶ δ' ὡσαύτως· ἡ γὰρ ἄνω μονὴ τῇ ἄνωθεν κάτω κινήσει ἐναντία. γίγνεται δὲ τῇ γῇ ἡ μὲν μονὴ ἐκείνη παρὰ φύσιν, ἡ δὲ κίνησις αὕτη κατὰ φύσιν. ὥστε κινήσει μονὴ ἐναντία ἡ παρὰ φύσιν τῇ κατὰ φύσιν τοῦ αὐτοῦ· καὶ γὰρ ἡ κίνησις ἡ τοῦ αὐτοῦ ἐναντία οὕτως· ἡ μὲν γὰρ κατὰ φύσιν [ἔσται] αὐτῶν, ἡ ἄνω ἢ ἡ κάτω, ἡ δὲ παρὰ φύσιν. ἔχει δ' ἀπορίαν εἰ ἔστιν πάσης ἠρεμίας τῆς μὴ αἰεὶ γένεσις, καὶ αὕτη τὸ ἵστασθαι. τοῦ δὴ παρὰ φύσιν μένοντος, οἷον τῆς γῆς ἄνω, εἴη ἂν γένεσις. ὅτε ἄρα ἐφέρετο ἄνω βίᾳ, ἵστατο. ἀλλὰ τὸ ἱστάμενον ἀεὶ δοκεῖ φέρεσθαι θᾶττον, τὸ δὲ βίᾳ τοὐναντίον. οὐ γενόμενον ἄρα ἠρεμοῦν ἔσται ἠρεμοῦν. ἔτι δοκεῖ τὸ ἵστασθαι ἢ ὅλως εἶναι τὸ εἰς τὸν αὐτοῦ τόπον φέρεσθαι ἢ συμβαίνειν ἅμα. ἔχει δ' ἀπορίαν εἰ ἐναντία ἡ μονὴ ἡ ἐνταῦθα τῇ ἐντεῦθεν κινήσει· ὅταν γὰρ κινῆται ἐκ τουδὶ καὶ ἀποβάλλῃ, ἔτι δοκεῖ ἔχειν τὸ ἀποβαλλόμενον, ὥστ" εἰ αὕτη ἡ ἠρεμία ἐναντία τῇ ἐντεῦθεν εἰς τοὐναντίον κινήσει, ἅμα ὑπάρξει τἀναντία. ἢ πῇ ἠρεμεῖ, εἰ ἔτι μένει, ὅλως δὲ ποῦ κινουμένου τὸ μὲν 231ᵃ ἐκεῖ, τὸ δ' εἰς ὃ μεταβάλλει; διὸ καὶ μᾶλλον κίνησις κινήσει ἐναντίον ἢ ἠρέμησις. καὶ περὶ μὲν κινήσεως καὶ ἠρεμίας, πῶς ἑκατέρα μία, καὶ τίνες· ἐναντίαι τίσιν, εἴρηται.

[ἀπορήσειε δ' ἄν τις καὶ περὶ τοῦ ἵστασθαι, εἰ καὶ ὅσαι

ᵇ 13 γ' E²HS : om. E¹FIJ αἱ E²ΛS :: om. E¹ διαφοραὶ J¹ 15 γε om. S καὶ] καὶ αἱ S 16 κάτω om. E 17 ἐκείνη ἡ ἄνω παρὰ H 18 αὐτῆ H : om. E¹ μονὴ E²ΛST : μόνον E¹ 18–19 ἡ κατὰ φύσιν τῇ τοῦ αὐτοῦ παρὰ φύσιν F 20 ἔσται om. S : post αὐτῶν FIJ 21 ἡ ἄνω ἢ κάτω S φύσιν] φύσιν. καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει E²H γρ. S (cf. ᵇ 12 adn.) 24 ὅτε ἄρα] ὁ γὰρ E¹ : ὅτε I τὸ] τὸ μὲν Λ 26 γιγνόμενον E² ἔσται τὸ ἠρεμοῦν E² ἔτι E²ΛS : τι E¹ : εἰ Prantl δοκεῖ λέγεσθαι τὸ I ἵσταμαι E¹FIJl¹ : ἵστασθαι κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν E²HAS, œtiam εἰς τὸν οἰκεῖον τόπον ἰόντος ἀλλ' (ἀλλ' om. S) οὐκ ἐπὶ τοῦ παρὰ φύσιν HAS 27 τὸ E²ΛP : τὸν E¹ συμβαίνειν E²ΛPS : συμβαίνει E¹ 28 ἡ μονὴ ἐνταῦθα F : μονὴ ἡ ἐνταῦθα E : ἡ ἐνταῦθα μονὴ HS ἐνταῦθα H¹ 29 τουδὶ ἢ καὶ FIJ ἀποβάλλῃ . . . 30 τὸ om. E¹ 30 εἰ om. E¹ αὕτη ἡ scripsi : αὐτὴ ἡ IJ : ἡ αὐτὴ EFH : αὐτὴ Morreliana 32 ἢ EFIJ²P : ᾗ J¹ : εἰ HS πῇ scripsi cum PS : πῇ Π εἰὶ E²FIP : ἢ HJ²S : ᾗ J¹ : E¹ incertum 231ᵃ 1 μεταβαλλει E²ΛS :: μετέβαλλεν E¹ 2 καὶ alt.] ἢ I 3 πῶς EIJS : καὶ πῶς FH ἑκατέρα ΛS : ἑκάτερον E 5–17 ἀπορήσειε . . . ἀντίκειται EFIJAS : om. H T γρ. A γρ. S Porphyrius

toprak ise aşağı. Bunların yer değiştirmeleri de karşıttır: işte alevin yukarı gitmesi doğa gereği, aşağı gitmesi doğaya aykırıdır; doğa gereği yer değiştirmesi doğaya aykırı olana karşıttır. Durmada da bu böyle, nitekim yukarıda durma, yukarıdan aşağıya devinmeye karşıttır. Toprak için yukarda durma doğaya aykırı oluşur, [yukardan aşağıya] devinimi ise doğaya göre. Dolayısıyla aynı nesnenin doğaya aykırı durması doğaya göre devinimine karşıt oluyor, çünkü aynı nesnenin devinimleri de bu şekilde karşıttır, nitekim bu devinimlerin biri -ister yukarı ister aşağı olsun- doğal olacak, öteki doğaya aykırı. Bir başka sorunsa, ebedi olmayan her durgunluğun (eremia) bir oluşu var mı, bu oluş da duragelmek mi (histasthai), bu. Sözgelişi yukardaki toprak gibi doğaya aykırı duran bir nesnenin bir oluşu olsa gerek. Demek ki 'zor ile' yukarı götürüldüğü zaman duragelmişti! Ne ki duragelen nesnenin kendi durduğu yerine hep hızlanarak gittiği, 'zor ile' götürülen nesnenin ise tersine [yavaşlayarak] gittiği görülmektedir. Demek ki o duragelmede oluşmadan önce, duragelen bir şey olacak! Ayrıca 'duragelmek' ya genelde "kendi yerine gitmek" demektir ya da onunla aynı anda sözkonusu olur. Yine başka bir sorun da belli bir yerde durma, oradan çıkan devinmeye mi karşıt, bu. Çünkü bir nesne şuradan devinip atıldığı zaman, atılan şeyi taşıdığı görülmektedir, dolayısıyla bu durgunluk, buradan ters yöndeki devinime karşıtsa, karşıtların aynı anda varlıkları sözkonusu olacaktır. Yoksa hem belli bir durgunluk içinde, hem de ayrıca dura mı geliyor, kısaca devinen nesnenin bir kısmı burada, bir kısmı da değişeceği şeye doğru mu? Bunun için bir devinim, durağanlıktan çok bir devinime karşıttır. İmdi devinim ve durgunluk konusunda, herikisi ne anlamda birlik taşır, hangisi hangisine karşıt, bunları söylemiş olduk.

<Ne ki yerleşmek konusunda da, doğaya aykırı devinimlerin

6. 230b 13 — 1. 231b 3

παρὰ φύσιν κινήσεις, ταύταις ἔστιν ἠρεμία ἀντικειμένη. εἰ μὲν οὖν μὴ ἔσται, ἄτοπον· μένει γάρ, βία δέ. ὥστε ἠρεμοῦν τι ἔσται οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι. ἀλλὰ δῆλον ὅτι ἔσται· ὥσπερ γὰρ κινεῖται παρὰ φύσιν, καὶ ἠρεμοίη ἄν τι παρὰ φύσιν. ἐπεὶ δ' ἔστιν ἐνίοις κίνησις κατὰ φύσιν καὶ παρὰ φύσιν, οἷον πυρὶ ἡ ἄνω κατὰ φύσιν ἡ δὲ κάτω παρὰ φύσιν, πότερον αὕτη ἐναντία ἢ ἡ τῆς γῆς; αὕτη γὰρ φέρεται κατὰ φύσιν κάτω. ἢ δῆλον ὅτι ἄμφω, ἀλλ' οὐχ ὡσαύτως, ἀλλ' ἡ μὲν κατὰ φύσιν ὡς κατὰ φύσιν οὖσης τῆς αὐτοῦ· ἡ δ' ἄνω τοῦ πυρὸς τῇ κάτω, ὡς ἡ κατὰ φύσιν οὖσα τῇ παρὰ φύσιν οὔσῃ. ὁμοίως δὲ καὶ ταῖς μοναῖς. ἴσως δ' ἠρεμία κίνησίς πῃ ἀντίκειται.]

Ζ.

Εἰ δ' ἐστὶ συνεχὲς καὶ ἁπτόμενον καὶ ἐφεξῆς, ὡς διώρισται πρότερον, συνεχὴ μὲν ὧν τὰ ἔσχατα ἕν, ἁπτόμενα δ' ὧν ἅμα, ἐφεξῆς δ' ὧν μηδὲν μεταξὺ συγγενές, ἀδύνατον ἐξ ἀδιαιρέτων εἶναί τι συνεχές, οἷον γραμμὴν ἐκ στιγμῶν, εἴπερ ἡ γραμμὴ μὲν συνεχές, ἡ στιγμὴ δὲ ἀδιαίρετον. οὔτε γὰρ ἓν τὰ ἔσχατα τῶν στιγμῶν (οὐ γάρ ἐστι τὸ μὲν ἔσχατον τὸ δ' ἄλλο τι μόριον τοῦ ἀδιαιρέτου), οὔθ' ἅμα τὰ ἔσχατα (οὐ γάρ ἐστιν ἔσχατον τοῦ ἀμεροῦς οὐδέν· ἕτερον γὰρ τὸ ἔσχατον καὶ οὗ ἔσχατον). ἔτι δ' ἀνάγκη ἤτοι συνεχεῖς εἶναι τὰς στιγμὰς ἢ ἁπτομένας ἀλλήλων, ἐξ ὧν ἐστι τὸ συνεχές· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν ἀδιαιρέτων. συνεχεῖς μὲν δὴ οὐκ ἂν εἶεν διὰ τὸν εἰρημένον λόγον· ἅπτεται δ' ἅπαν ἢ ὅλον ὅλου ἢ μέρος μέρους ἢ ὅλου μέρος. ἐπεὶ δ' ἀμερὲς τὸ ἀδιαίρετον, ἀνάγκη ὅλον ὅλου ἅπτεσθαι.

---

[a] 6 καὶ παρὰ E 9 ἠρεμοίη E²IS : ἠρεμοῖ FHJ : E¹ incertum 10 κίνησις ἐνίοις F 11 πῦρ J 12 αὕτη pr.] αὐτῆς E 14 μὲν] μὲν ὡς FJ² ὡς om. FJ οὖσα F τῆς αὐτοῦ· ἡ δ' scripsi, legit ut vid. S : τῆσδ' αὐτοῦ· ἡ (ἢ J, om. E) Π 15 ὡς ἡ ΛS : ουσ E τῇ ΛS : om. E 17 πῃ om. E¹ post ἀντίκειται add. Λ 230b 29—231a 3 ὅταν . . . εἴρηται : add. S [a]2–3 περὶ . . . εἴρηται : om. EV Tit. περὶ κινήσεως τῶν εἰς γ τὸ β—ζῃ E : φυσικῶν ἕκτον I 21 εἰ EFHJKS¹ : ἐπεὶ IS[c] 24 ἀδύνατον ἐξ om. F¹ γραμμὴ E¹ 25 μὲν γραμμὴ H δὲ στιγμὴ H 28 ἔσχατον οὐδὲν (vel οὐθὲν) τοῦ ἀμερους ΚΛ : οὐδὲν ἔσχατον τοῦ ἀμεροῦς T 29 οὗ E²ΚΛS : οὐκ E¹ δ' om. FJ¹KS 30 τὰ E [b] 2 μέρος alt.] μέρους F

hepsi için karşıt bir durgunluk var mı, diye sorulabilir. İmdi bu olmayacak olsa, saçma olacak. Çünkü 'zor ile' bile olsa [nesne] durmaktadır. Dolayısıyla oluşmadan bağımsız her zaman durgun olmayan bir nesne var! Ama açık ki şöyle olacak: bir nesne nasıl doğaya aykırı deviniyorsa, doğaya aykırı olarak durgunlaşır da. Ayrıca kimi nesneler için hem doğaya göre hem de doğaya aykırı devinme varsa, sözgelişi alev için doğa gereği yukarıya, doğaya aykırı olarak aşağıya devinme varsa, acaba karşıt devinim, bu 'doğaya aykırı' devinim mi olacak, yoksa toprağın devinimi mi? Çünkü toprak doğa gereği aşağı gider. Ya da şu açık mı: herikisi de karşıttır, ama bu karşıtlık aynı şekilde değildir: [toprağın] doğaya göre olan devinimi [alevin] doğaya göre olan devinimine karşıttır. Oysa alevin yukarı devinimi aşağı devinimine karşıt, çünkü doğaya göre olan, doğaya aykırı olana karşıttır. Durmada da bu böyle. Ama devinim durgunluğa herhalde bir biçimde karşıt >[50]

Altıncı Kitap

1 'Sürekli', 'bitişik', 'ardıl', daha önce tanımladığımız gibiyse, diyelim kenarları bir olan nesneler 'sürekli', kenarları birlikte olan nesneler 'bitişik', aralarında eşcinsten hiçbir şey bulunmayan nesneler 'ardıl' ise, sürekli bir nesnenin bölünmez şeylerden [oluşması] olanaksız: sözgelişi, madem çizgi sürekli, nokta ise bölünmeyen bir şey, bir çizginin noktalardan [oluşması] olanaksız; çünkü ne noktaların kenarları bir (bölünmez bir nesnenin bir kenarı, bir başka parçası olmaz) ne de kenarları birlikte (parçasız bir şeyin kenarı diye bir şey olmaz, çünkü kenar ile o kenarın ait olduğu şey değişik şeyler olur). Ayrıca kendilerinden süreklilik oluşan noktaların ya sürekli olması ya da birbirlerine bitişik olması zorunlu. Bölünmez bütün nesneler için de aynı temellendirme geçerli. Demek, dediğimiz nedenlerden ötürü sürekli olamazlar. Her nesne ya bütün bütüne ya parça parça ya da bütünün parçası olarak bitişir. Madem 'bölünmez' nesne parçasız, bütün bütüne birleşmesi zorunlu,

ὅλον δ' ὅλου ἁπτόμενον οὐκ ἔσται συνεχές. τὸ γὰρ συνεχὲς ἔχει τὸ μὲν ἄλλο τὸ δ' ἄλλο μέρος, καὶ διαιρεῖται εἰς οὕτως ἕτερα καὶ τόπῳ κεχωρισμένα. ἀλλὰ μὴν οὐδὲ ἐφεξῆς ἔσται στιγμὴ στιγμῇ ἢ τὸ νῦν τῷ νῦν, ὥστ' ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον· ἐφεξῆς μὲν γάρ ἐστιν ὧν μηθέν ἐστι μεταξὺ συγγενές, στιγμῶν δ' αἰεὶ [τὸ] μεταξὺ γραμμὴ καὶ τῶν νῦν χρόνος. ἔτι διαιροῖτ' ἂν εἰς ἀδιαίρετα, εἴπερ ἐξ ὧν ἐστιν ἑκάτερον, εἰς ταῦτα διαιρεῖται· ἀλλ' οὐθὲν ἦν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν. ἄλλο δὲ γένος οὐχ οἷόν τ' εἶναι μεταξὺ [τῶν στιγμῶν καὶ τῶν νῦν οὐθέν]. ἢ γὰρ [ἔσται, δῆλον ὡς ἤτοι] ἀδιαίρετον ἔσται ἢ διαιρετόν, καὶ εἰ διαιρετόν, ἢ εἰς ἀδιαίρετα ἢ εἰς ἀεὶ διαιρετά· τοῦτο δὲ συνεχές. φανερὸν δὲ καὶ ὅτι πᾶν συνεχὲς διαιρετὸν εἰς αἰεὶ διαιρετά· εἰ γὰρ εἰς ἀδιαίρετα, ἔσται ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον· ἐν γὰρ τὸ ἔσχατον καὶ ἅπτεται τῶν συνεχῶν.

τοῦ δ' αὐτοῦ λόγου μέγεθος καὶ χρόνον καὶ κίνησιν ἐξ ἀδιαιρέτων συγκεῖσθαι, καὶ διαιρεῖσθαι εἰς ἀδιαίρετα, ἢ μηθέν. δῆλον δ' ἐκ τῶνδε. εἰ γὰρ τὸ μέγεθος ἐξ ἀδιαιρέτων σύγκειται, καὶ ἡ κίνησις ἡ τούτου ἐξ ἴσων κινήσεων ἔσται ἀδιαιρέτων, οἷον εἰ τὸ ΑΒΓ ἐκ τῶν ΑΒΓ ἐστὶν ἀδιαιρέτων, ἡ κίνησις ἐφ' ἧς ΔΕΖ, ἣν ἐκινήθη τὸ Ω ἐπὶ τῆς ΑΒΓ, ἕκαστον τὸ μέρος ἔχει ἀδιαίρετον. εἰ δὴ παρούσης κινήσεως ἀνάγκη κινεῖσθαί τι, καὶ εἰ κινεῖταί τι, παρεῖναι κίνησιν, καὶ τὸ κινεῖσθαι ἔσται ἐξ ἀδιαιρέτων. τὸ μὲν δὴ Α ἐκινήθη τὸ Ω τὴν τὸ Δ κινούμενον κίνησιν, τὸ δὲ Β τὴν τὸ Ε, καὶ τὸ Γ ὡσαύτως τὴν τὸ Ζ. εἰ δὴ ἀνάγκη τὸ κινούμενον ποθέν ποι μὴ ἅμα κινεῖσθαι καὶ

b 4 ἔστι K 6 ἕτερα E^1FJKS: διαιρετὰ E^2HIP 7 στιγμῇ E^2S^p: στιγμῆς E^1ΚΛS^1 τῷ EFIJKT: τῶν H: τοῦ Camotiana 8 μηθέν τι ἐστι F 9 τὸ seclusi: om. S 10 διαιροῖτ' ΚΛS: δὲ διαιροῖντ' E 13 τῶν . . . οὐθέν om. E et ut vid. S ἢ E et ut vid. S: εἰ ΚΛ ἔσται . . . ἤτοι om. E et ut vid. S 14 ἀδιαίρετον ἢ διαιρετὸν ἔσται F: διαιρετὸν ἢ ἀδιαίρετον ἔσται HIJK εἰ . . . εἰς] ἢ E ἀδιαίρετα fecit E 15 ἢ . . . διαιρετά E^2F^2HIJKPS^p: om. S^1: ἀεὶ om. E^1F^1 16 ἀδιαίρετα] ἀδιαίρετον F: ἀδιαίρετα διαιροῖτο (διαιροῖντο E^1) τὸ συνεχές EHJ^1 18 λόγου EIS: λόγου καὶ FHJK 19 κίνησιν καὶ χρόνον HS 22 ἢ ⟨ἐπὶ⟩ Bywater, fort. ST τὸ μὲν α F γ μέγεθος ἐκ H 23 ἐστὶν] ἐστὶν μερῶν EH ἢ] καὶ ἡ FK Δ] ἢ δ EHJ 24 Γ] γ διαστάσεως EFH τὸ om. E^2ΚΛ 25 δὴ EHIJKP: δὲ F 27 τὸ ult. om. E^1 28 β δὲ F τὸ ult. om. IJ

bütün bütüne birleşen şeyse sürekli olmayacaktır, çünkü sürekli şeyin bir parçası başka, öteki parçası başkadır ve ancak bu biçimde birbirinden değişik ve yerce ayrı olan şeylere bölünebilir. Ama bir nokta bir başka noktanın ya da bir 'an', bir başka 'an'ın ardılı da değildir ki, bunlardan uzunluk ya da zaman oluşsun! Çünkü aralarında eşcinsten hiçbir şey bulunmayan nesneler 'ardıl', oysa noktaların arasında hep bir çizgi, 'an'ların arasında hep bir zaman var. Ayrıca herikisi de nelerden oluştuysa onlara bölünebilse, 'sürekli nesne', bölünmeyenlere bölünebilir, oysa sürekli nesnelerden hiçbiri parçasız nesnelere bölünemez. [Noktaların ve anların] arasında başka cins bir şeyin bulunması da olanaklı değil: öyle olsa açık ki şöyle olacak: ya bölünmez ya da bölünür bir şey olacak; bölünebilir bir nesne olsa ya bölünmez nesnelere bölünecek ya da hep [yeniden] bölünür nesnelere bölünecek. Ama o zaman 'sürekli' olurdu. Her sürekli nesnenin hep [yeniden] bölünebilir nesnelere bölünebildiği de açık, çünkü bölünemeyecek şeylere bölünse, bölünmez bir nesne ile bölünmez başka bir nesne bitişik olacaktır, çünkü sürekli nesnelerin uçları birdir, bitişir.

Büyüklük, zaman, devinim de bölünmez şeylerden oluşacak ve bölünmez şeylere mi bölünecek ya da hiçbiri böyle değil mi, bu da aynı temellendirmenin kapsamında: bu şuradan açıkça görülüyor: büyüklük bölünmez şeylerden oluşmuşsa üzerindeki devinim de bölünmeyen eşit devinimlerden oluşacaktır: sözgelişi ABC büyüklüğü bölünmeyen A, B, C'lerden oluşursa, Z nesnesinin ABC üzerindeki DEF devinimi de herbiri bölünmez olan bir parça taşır. İmdi bir devinim varolduğunda bir nesnenin devinmesi, bir nesne devindiğinde de bir devinimin varolması zorunluysa, 'devinmek' de bölünmez parçalardan oluşacaktır. Demek Z nesnesi A'yı D devinimiyle, B'yi E, C'yi de aynı şekilde F devinimiyle geçer. Madem bir yerden bir yere devinen nesnenin devindiği sırada, aynı anda

1. 231[b] 4 — 2. 232[a] 23

κεκινῆσθαι οὗ ἐκινεῖτο ὅτε ἐκινεῖτο (οἷον εἰ Θήβαζέ τι βα- 30
δίζει, ἀδύνατον ἅμα βαδίζειν Θήβαζε καὶ βεβαδικέναι
Θήβαζε), τὴν δὲ τὸ Α τὴν ἀμερῆ ἐκινεῖτο τὸ Ω, ᾗ ἡ τὸ Δ 232[a]
κίνησις παρῆν· ὥστ' εἰ μὲν ὕστερον διεληλύθει ἢ διήει, διαιρετὴ
ἂν εἴη (ὅτε γὰρ διήει, οὔτε ἠρέμει οὔτε διεληλύθει, ἀλλὰ
μεταξὺ ἦν), εἰ δ' ἅμα διέρχεται καὶ διελήλυθε, τὸ βαδίζον,
ὅτε βαδίζει, βεβαδικὸς ἐκεῖ ἔσται καὶ κεκινημένον οὗ κινεῖ- 5
ται. εἰ δὲ τὴν μὲν ὅλην τὴν ΑΒΓ κινεῖταί τι, καὶ ἡ κίνη-
σις ἣν κινεῖται τὰ ΔΕΖ ἐστι, τὴν δ' ἀμερῆ τὴν Α οὐθὲν κι-
νεῖται ἀλλὰ κεκίνηται, εἴη ἂν ἡ κίνησις οὐκ ἐκ κινήσεων
ἀλλ' ἐκ κινημάτων καὶ τῷ κεκινῆσθαί τι μὴ κινούμενον· τὴν
γὰρ Α διελήλυθεν οὐ διεξιόν. ὥστε ἔσται τι βεβαδικέναι μη- 10
δέποτε βαδίζον· ταύτην γὰρ βεβάδικεν οὐ βαδίζον ταύτην.
εἰ οὖν ἀνάγκη ἢ ἠρεμεῖν ἢ κινεῖσθαι πᾶν, ἠρεμεῖ καθ'
ἕκαστον τῶν ΑΒΓ, ὥστ' ἔσται τι συνεχῶς ἠρεμοῦν ἅμα καὶ
κινούμενον. τὴν γὰρ ΑΒΓ ὅλην ἐκινεῖτο καὶ ἠρέμει ὁτιοῦν μέ-
ρος, ὥστε καὶ πᾶσαν. καὶ εἰ μὲν τὰ ἀδιαίρετα τῆς ΔΕΖ 15
κινήσεις, κινήσεως παρούσης ἐνδέχοιτ' ἂν μὴ κινεῖσθαι ἀλλ'
ἠρεμεῖν· εἰ δὲ μὴ κινήσεις, τὴν κίνησιν μὴ ἐκ κινήσεων εἶναι.
ὁμοίως δ' ἀνάγκη τῷ μήκει καὶ τῇ κινήσει ἀδιαίρετον εἶναι
τὸν χρόνον, καὶ συγκεῖσθαι ἐκ τῶν νῦν ὄντων ἀδιαιρέτων· εἰ
γὰρ πᾶσα διαιρετός, ἐν τῷ ἐλάττονι δὲ τὸ ἰσοταχὲς δίεισιν 20
ἔλαττον, διαιρετὸς ἔσται καὶ ὁ χρόνος. εἰ δ' ὁ χρόνος διαι-
ρετὸς ἐν ᾧ φέρεταί τι τὴν Α, καὶ ἡ τὸ Α ἔσται διαιρετή.

2 Ἐπεὶ δὲ πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν (δέδεικται

[b] 30 οὗ ἐκινεῖτο EIJ[2]ST : om. FJ[1]K et in lacuna H ὅτε ἐκι-
νεῖτο EFHJKP : om. IST τις F : ἔτι K 232[a] 1 δὴ HIK
ᾗ . . . Δ om. E : ἡ om. J[1]K 2 διεληλύθει Bonitz, fort. ST :
διῆλθεν Π 3 διήει] διήει οὔτε γὰρ διήει E[1] 4 ελήλυθε F
βαδίζον, ὅτε βαδίζει] βαδίζει vel βαδίζειν H 5 ἔσται ἐκεῖ HK
6 κινῆται E[1] 7 τὰ] ἡ E[2]H 8 ειτ' ἂν E οὐκ . . . 9 ἀλλ' KAS :
om. E 8 κινήσεως H 9 τῷ scripsi : τὸ EJKP : τῶν S : τοῦ T :
om. FHI κεκινῆσθαι E[2]ΛST : κινεῖσθαι E[1]K 10 A om. E[1]
βεβαδικέναι τι H 12 ἡ pr. om. I : ἅπαν ᾗ F πᾶν om. FIJ[1]K
καθ' E[2]FJKT : δὲ καθ' E[1]HI 15 τῆς] τὰς E[1] : τὰ E[2]HK
16 κίνησις E[1] 17 κινήσεις E[2]FHJKS : κίνησις E[1] : κινήσεις
εἰσὶ I 19 τὸν] καὶ τὸν E[2]HI 20 πᾶσα διαίρετος E[2]HI[2]K
γρ. S : πᾶς διαίρετος E[1]J : ἅπας διαίρετος γρ. I γρ. J A γρ. S : πᾶσα
ἀδιαίρετος FI[1] : πᾶς ἀδιαιρετος γρ. I Aspasius : πᾶσ' ἡ A διαιρετός
ci. Cornford ἐν . . . δὲ] καὶ ἐν τῷ ἐλάττονι K 21 καὶ ὁ χρόνος
ἔσται διαιρετὸς K 22 ἐν EHKS : ἔσται ἐν FIJ τι om. S
23 μεγέθη HIKS : μέγεθος EFJ

ona göre devindiği devinimi tamamlamamış olması zorunlu (sözgelişi bi- 30
ri Thebai'ye gitmekteyse, aynı anda hem Thebai'ye gitmekte olup hem de
Thebai'ye gitmiş olması olanaksız), D deviniminin varlığından ötürü Z 232a
nesnesi parçası olmayan A büyüklüğü üzerindeki geçişini tamamlıyor ol-
duktan sonra, geçişini tamamlamışsa, devinim bölünüyor demektir (çün-
kü geçiyor olduğu sırada, ne durmaktaydı ne de geçmişti, orada idi), ama
aynı anda hem yürüyor hem de yürümüş bulunuyorsa yürüyen yürümek- 5
te iken oraya yürümüş olacaktır ve devinmekte olduğu yerde 'devinmiş
olan nesne' olacaktır. Öte yandan bir nesne tüm ABC uzunluğunu geçi-
yorsa, devinim de DEF ise ve parçası olmayan A'yı geçmemekteyse, geç-
miş bulunuyorsa; devinim, devinimlerden değil, [devinim aşamalarından
değil], devinim sonuçlarından olsa gerek! Diyesim devinmiş olan bir nes-
nenin devinmeyen bir şey olması! Çünkü A'yı geçmeden geçmiş bulun- 10
maktadır. Dolayısıyla biri, hiç yürümeden yürüyüşü tamamlanmış olacak-
tır, çünkü o uzaklığı yürümeden yürümüş bulunmaktadır. İmdi her nes-
nenin ya durgun olması ya da devinmesi zorunluysa, nesne A B C'lerin
her birinde durmaktadır, dolayısıyla sürekli olarak aynı anda hem dur-
gunlukta olan hem de devinen bir nesne olacaktır. Çünkü ABC'nin bü-
tününü geçmekte idi ve de bu uzunluğun her ne pahasına olursa olsun
parçasında durmaktaydı, öyleyse hepsinde de durmaktaydı. DEF'nin bö- 15
lünmez parçaları devinimler iseler, devinim varken devinmek değil, dur-
mak olası olacak. Parçalar devinimler değilseler, devinim 'devinim olma-
yanlardan' oluşacaktır. Büyüklükle ve devinimle aynı şekilde zamanın da
bölünmez olması ve bölünmez olan 'an'lardan oluşması, biraraya gelme-
si zorunlu olacaktır. Her büyüklük bölünebilirse, eş hızda bir nesne daha 20
az uzunluğu daha az zamanda geçerse, zaman da bölünür olacaktır. Yine
bir nesnenin A uzunluğunu geçtiği süre olan zaman bölünebilirse, A da
bölünebilir olacaktır.

2 Her büyüklük büyüklüklere bölündüğünden ötürü (sürekli

γὰρ ὅτι ἀδύνατον ἐξ ἀτόμων εἶναί τι συνεχές, μέγεθος δ' ἐστὶν ἅπαν συνεχές), ἀνάγκη τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον καὶ ἐν τῷ ἐλάττονι ἴσον καὶ ἐν τῷ ἐλάττονι πλεῖον κινεῖσθαι, καθάπερ ὁρίζονταί τινες τὸ θᾶττον. ἔστω γὰρ τὸ ἐφ' ᾧ Α τοῦ ἐφ' ᾧ Β θᾶττον. ἐπεὶ τοίνυν θᾶττόν ἐστιν τὸ πρότερον μεταβάλλον, ἐν ᾧ χρόνῳ τὸ Α μεταβέβληκεν ἀπὸ τοῦ Γ εἰς τὸ Δ, οἷον τῷ ΖΗ, ἐν τούτῳ τὸ Β οὔπω ἔσται πρὸς τῷ Δ, ἀλλ' ἀπολείψει, ὥστε ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον δίεισιν τὸ θᾶττον. ἀλλὰ μὴν καὶ ἐν τῷ ἐλάττονι πλεῖον· ἐν ᾧ γὰρ τὸ Α γεγένηται πρὸς τῷ Δ, τὸ Β ἔστω πρὸς τῷ Ε τὸ βραδύτερον ὄν. οὐκοῦν ἐπεὶ τὸ Α πρὸς τῷ Δ γεγένηται ἐν ἅπαντι τῷ ΖΗ χρόνῳ, πρὸς τῷ Θ ἔσται ἐν ἐλάττονι τούτου· καὶ ἔστω ἐν τῷ ΖΚ. τὸ μὲν οὖν ΓΘ, ὃ διελήλυθε τὸ Α, μεῖζόν ἐστι τοῦ ΓΕ, ὁ δὲ χρόνος ὁ ΖΚ ἐλάττων τοῦ παντὸς τοῦ ΖΗ, ὥστε ἐν ἐλάττονι μείζον δίεισιν. φανερὸν δὲ ἐκ τούτων καὶ ὅτι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισιν τὸ ἴσον. ἐπεὶ γὰρ τὴν μείζω ἐν ἐλάττονι διέρχεται τοῦ βραδυτέρου, αὐτὸ δὲ καθ' αὑτὸ λαμβανόμενον ἐν πλείονι χρόνῳ τὴν μείζω τῆς ἐλάττονος, οἷον τὴν ΛΜ τῆς ΛΞ, πλείων ἂν εἴη ὁ χρόνος ὁ ΠΡ, ἐν ᾧ τὴν ΛΜ διέρχεται, ἢ ὁ ΠΣ, ἐν ᾧ τὴν ΛΞ. ὥστε εἰ ὁ ΠΡ χρόνος ἐλάττων ἐστὶν τοῦ Χ, ἐν ᾧ τὸ βραδύτερον διέρχεται τὴν ΛΞ, καὶ ὁ ΠΣ ἐλάττων ἔσται τοῦ ἐφ' ᾧ Χ· τοῦ γὰρ ΠΡ ἐλάττων, τὸ δὲ τοῦ ἐλάττονος ἔλαττον καὶ αὐτὸ ἔλαττον. ὥστε ἐν ἐλάττονι κινήσεται τὸ ἴσον. ἔτι δ' εἰ πᾶν ἀνάγκη ἢ ἐν ἴσῳ ἢ ἐν ἐλάττονι ἢ ἐν πλείονι κινεῖσθαι, καὶ τὸ μὲν ἐν πλείονι βραδύτερον, τὸ δ' ἐν ἴσῳ ἰσοταχές, τὸ δὲ θᾶττον οὔτε ἰσοταχὲς οὔτε βραδύτερον, οὔτ' ἂν

[a] 24 συνεχές] μέγεθος E^1HI μέγεθος . . . 25 συνεχές om. J^1 26 ἐν $E^2KΛS$: om. E^1 ἴσον . . . ἐλάττονι om. FJKS πλέον IS 27 ᾧ τὸ α IJK 28 ἐφ' ᾧ] ἐφ' ᾧ τὸ H : om. E^1 30 τῷ pr.] τὸ J : ἐν τῷ E^2FI 32 πλέον FHJK : τὸ πλεῖον E : πλεῖον τούτου I 33–[b]1 τὸ . . . Δ om. K 33 ἔσται FJ τὸ om. E ὂν om. FIJS [b] 2 ἔστω E^2FHJKS : ἔσται E^1I 3 θ EHIJS : δ FK Α om. E^1 : πρῶτον J^1 ἐστι om. K 5 μείζον δίεισιν ES : δίεισι μείζον ΚΛ δὴ E 6 ἐπειδὴ FIJK τὴν om. E^1 ἐν om. I 11–12 τοῦ . . . ἔσται om. K 11 χ E^1J^1 et ut vid. S : πχ E^2FHIJ^2K 12 Χ] πχ FK τὸ E^2 13 αὐτὸ $E^2KΛS$: αὐτοῦ E^1 14 κινηθήσεται ΚΛ 15 ἢ] μέν ἢ Λ : μέρος ἢ K ἴσῳ χρόνῳ ἢ Aldina ἐν alt. om. EJ 16 καὶ om. I ἰσοταχές ΚΛPST : ὁμοταχές E 17–18 ἐν ἴσῳ ἂν ΚΛ

bu nesnenin bölünmeyen şeylerden oluşmasının olanaksız olduğunu, büyüklüğün de tümüyle sürekli olduğunu gösterdik), şu zorunlu: daha hızlı bir nesne eşit zamanda daha büyük bir uzunluğu, daha az bir zamanda eşit bir uzunluğu, diyesim kimilerinin 'daha hızlı'yı belirledikleri biçimde, daha az zamanda daha çok uzunluğu geçer. Diyelim ki, A B'den hızlı olsun: hızlı olan daha önce değişeceği için, A'nın C'den D'ye değiştiği zaman süresinde, diyelim FG zamanında B, D'ye ulaşmamış, geride kalmış olacaktır, dolayısıyla eşit zaman içinde, hızlı olan daha çok yol alacaktır. Ama daha az zaman içinde de daha çok, çünkü: A'nın D'ye vardığı zaman içinde B daha yavaş olduğu için E'de olsun; A, D'ye bütün FG zamanı içinde vardığına göre, H'nın yanına bundan daha az bir zaman içinde, diyelim FK zamanında varacaktır. A'nın geçtiği CH uzunluğu CE'den uzundur, FK zamanı da tüm FG zamanından kısadır, dolayısıyla daha kısa zamanda daha uzun yol almıştır. Bunlarda daha hızlı olanın eşit uzunluğu daha az zamanda alacağı da açık. Nitekim daha yavaş olana göre daha az zamanda daha uzun yol alacağına göre, kendi başında alındıkta o, daha uzun zamanda daha kısa yolla karşılaştırıldıkta daha uzun yol alır, sözgelişi LO'yla karşılaştırıldıkta LM uzunlukları: onun LM'yi geçtiği PR zamanı, LO'yu geçtiği PS zamanından uzun olsa gerek. Dolayısıyla PR zamanı daha yavaş olanın LO'yu geçtiği T zamanından daha kısa ise, PS de T zamanından kısa olacaktır. PR'den daha az idi, daha azdan da daha az olan şeyin kendisi de daha azdır. Dolayısıyla eşit yolu daha az zamanda alacaktır. Öte yandan her şeyin ya eşit zamanda ya daha az zamanda ya da daha çok zamanda devinmesi zorunlu ise, daha yavaş daha çok zamanda, eşhızdaki eşit zamanda; daha hızlı olan ise ne eş hızlı ne de daha yavaş olduğundan

25 30 232b 5 10 15

2. 232ᵃ 24 — 233ᵃ 14

ἐν ἴσῳ οὔτ' ἐν πλείονι κινοῖτο τὸ θᾶττον. λείπεται οὖν ἐν ἐλάττονι, ὥστ' ἀνάγκη καὶ τὸ ἴσον μέγεθος ἐν ἐλάττονι χρόνῳ διιέναι τὸ θᾶττον.

ἐπεὶ δὲ πᾶσα μὲν κίνησις ἐν χρόνῳ καὶ ἐν ἅπαντι χρόνῳ δυνατὸν κινηθῆναι, πᾶν δὲ τὸ κινούμενον ἐνδέχεται καὶ θᾶττον κινεῖσθαι καὶ βραδύτερον, ἐν ἅπαντι χρόνῳ ἔσται τὸ θᾶττον κινεῖσθαι καὶ βραδύτερον. τούτων δ' ὄντων ἀνάγκη καὶ τὸν χρόνον συνεχῆ εἶναι. λέγω δὲ συνεχὲς τὸ διαιρετὸν εἰς αἰεὶ διαιρετά· τούτου γὰρ ὑποκειμένου τοῦ συνεχοῦς, ἀνάγκη συνεχῆ εἶναι τὸν χρόνον. ἐπεὶ γὰρ δέδεικται ὅτι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισιν τὸ ἴσον, ἔστω τὸ μὲν ἐφ' ᾧ Α θᾶττον, τὸ δ' ἐφ' ᾧ Β βραδύτερον, καὶ κεκινήσθω τὸ βραδύτερον τὸ ἐφ' ᾧ ΓΔ μέγεθος ἐν τῷ ΖΗ χρόνῳ. δῆλον τοίνυν ὅτι τὸ θᾶττον ἐν ἐλάττονι τούτου κινήσεται τὸ αὐτὸ μέγεθος· καὶ κεκινήσθω ἐν τῷ ΖΘ. πάλιν δ' ἐπεὶ τὸ θᾶττον ἐν τῷ ΖΘ διεληλύθεν τὴν ὅλην τὴν ΓΔ, τὸ βραδύτερον ἐν τῷ αὐτῷ χρόνῳ τὴν ἐλάττω δίεισιν· ἔστω οὖν ἐφ' ἧς ΓΚ. ἐπεὶ δὲ τὸ βραδύτερον τὸ Β ἐν τῷ ΖΘ χρόνῳ τὴν ΓΚ διεληλύθεν, τὸ θᾶττον ἐν ἐλάττονι δίεισιν, ὥστε πάλιν διαιρεθήσεται ὁ ΖΘ χρόνος. τούτου δὲ διαιρουμένου καὶ τὸ ΓΚ μέγεθος διαιρεθήσεται κατὰ τὸν αὐτὸν λόγον. εἰ δὲ τὸ μέγεθος, καὶ ὁ χρόνος. καὶ ἀεὶ τοῦτ' ἔσται μεταλαμβάνουσιν ἀπὸ τοῦ θάττονος τὸ βραδύτερον καὶ ἀπὸ τοῦ βραδυτέρου τὸ θᾶττον, καὶ τῷ ἀποδεδειγμένῳ χρωμένοις· διαιρήσει γὰρ τὸ μὲν θᾶττον τὸν χρόνον, τὸ δὲ βραδύτερον τὸ μῆκος. εἰ οὖν αἰεὶ μὲν ἀντιστρέφειν ἀληθές, ἀντιστρεφομένου δὲ αἰεὶ γίγνεται διαίρεσις, φανερὸν ὅτι πᾶς χρόνος ἔσται συνεχής. ἅμα δὲ δῆλον καὶ ὅτι μέγεθος ἅπαν ἐστὶ συνεχές· τὰς αὐτὰς γὰρ καὶ τὰς ἴσας διαιρέσεις ὁ χρόνος διαιρεῖται καὶ τὸ μέγεθος.

ἔτι δὲ καὶ ἐκ τῶν εἰωθότων λόγων λέγεσθαι φανερὸν ὡς εἴπερ ὁ χρόνος ἐστὶ συνεχής, ὅτι καὶ τὸ μέγεθος, εἴπερ ἐν

b 18 ἐν alt. om. F 19 ὥστ' . . . ἐλάττονι om. K¹ 20 δὲ εἰ πᾶσα K 22 καὶ pr. om. H ἐν . . . 23 βραδύτερον om. I¹ 23 ἔξεστι H 26 εἶναι om. H 27 τὸ pr. om. E¹H τὸ ult. om. IJ¹ 28 κινεῖσθω IST 30 κινηθήσεται E²ΚΛST 31–2 πάλιν . . . ΖΘ om. I 31 ἐπὶ E² 33 ἔστω EHIJST: ἔσται FK 233ᵃ 1 ἧς τὸ γκ E ἐπὶ E² 11 ὅτι καὶ S 12 διαιρέσεις E²ΚΛS: αἱρέσεις E¹ ὅ τε χρόνος καὶ τὸ μέγεθος διαιρεῖται ΚΛS 14 ἐν ΚΛΤ: καὶ ἐν E

olunu; eşit zamanda da daha çok zamanda da devinemez: demek ki, daha az zamanda devinir, geriye kalan bu. Dolayısıyla daha hızlı olanın eşit büyüklüğü de daha az zamanda geçmesi zorunlu.

Madem her devinim bir zaman içinde ve her 'zaman' içinde devinmek olanaklı, her devindirilenin ise hem daha hızlı hem de daha yavaş devinmesi olası, demek ki, her 'zaman' içinde 'daha hızlı' ile 'daha yavaş' devinmek olanaklı olacaktır. Bunlar böyle ise, zamanın sürekli olması da zorunlu: 'sürekli'yi "hep bölünebilir olan şeylere bölünebilen" diye tanımlıyorum. Bu 'sürekli', taşıyıcı olarak alındıkta zamanın sürekli olması zorunlu olur, çünkü şunu göstermiştik: 'daha hızlı', eş uzaklığı daha az zamanda gidiyor. Diyelim ki, A, 'daha hızlı', B, 'daha yavaş' olsun ve 'daha yavaş', CD uzunluğunu FG zamanında geçsin. Açık ki, 'daha hızlı', aynı uzunluğu bundan daha az zamanda geçecektir: FH zamanında geçmiş olsun. Yine 'daha hızlı', FH zamanında tüm CD uzunluğu geçtiğine göre, 'daha yavaş' aynı zaman içinde daha kısa, diyelim CK uzunluğunu geçmiştir. Madem daha yavaş olan B, FH zamanında CK uzunluğu geçti, 'daha hızlı' [bu uzunluğu] daha az zamanda geçecektir. Dolayısıyla 233a
FH zamanı yeniden bölünecektir. Zaman bölüneceğine göre, CK uzunluğu da aynı oranda bölünecektir. Büyüklük bölündüğünde zaman da. 'Daha hızlıdan daha yavaş', 'daha yavaştan daha hızlı' birlikte alındıkta, kanıtlamamız kullanılırsa, bu hep böyle olacak. Çünkü 'daha hızlı', zamanı; 'daha yavaş', ise büyüklüğü bölecektir. Demek bu evrilince de hep doğruysa, evrilince de hep bölünme meydana geliyorsa, açık ki her 'zaman' sürekli olacaktır. Aynı zamanda her büyüklüğün sürekli olduğu açık, çünkü hem zaman hem de büyüklük aynı ve eşit bölünmelerle bölünüyor.

Ayrıca alışılagelmiş temellendirmelerden yola çıkarak konuşuldukta da açık ki, zaman sürekliyse ve yarı zamanda yarı uzunluk

τῷ ἡμίσει χρόνῳ ἥμισυ διέρχεται καὶ ἁπλῶς ἐν τῷ ἐλάττονι ἔλαττον· αἱ γὰρ αὐταὶ διαιρέσεις ἔσονται τοῦ χρόνου καὶ τοῦ μεγέθους. καὶ εἰ ὁποτερονοῦν ἄπειρον, καὶ θάτερον, καὶ ὡς θάτερον, καὶ θάτερον, οἷον εἰ μὲν τοῖς ἐσχάτοις ἄπειρος ὁ χρόνος, καὶ τὸ μῆκος τοῖς ἐσχάτοις, εἰ δὲ τῇ διαιρέσει, τῇ διαιρέσει καὶ τὸ μῆκος, εἰ δὲ ἀμφοῖν, ἀμφοῖν καὶ τὸ μέγεθος.

διὸ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. διχῶς γὰρ λέγεται καὶ τὸ μῆκος καὶ ὁ χρόνος ἄπειρον, καὶ ὅλως πᾶν τὸ συνεχές, ἤτοι κατὰ διαίρεσιν ἢ τοῖς ἐσχάτοις. τῶν μὲν οὖν κατὰ τὸ ποσὸν ἀπείρων οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ, τῶν δὲ κατὰ διαίρεσιν ἐνδέχεται· καὶ γὰρ αὐτὸς ὁ χρόνος οὕτως ἄπειρος. ὥστε ἐν τῷ ἀπείρῳ καὶ οὐκ ἐν τῷ πεπερασμένῳ συμβαίνει διιέναι τὸ ἄπειρον, καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις, οὐ τοῖς πεπερασμένοις. οὔτε δὴ τὸ ἄπειρον οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν, οὔτ' ἐν ἀπείρῳ τὸ πεπερασμένον· ἀλλ' ἐάν τε ὁ χρόνος ἄπειρος ᾖ, καὶ τὸ μέγεθος ἔσται ἄπειρον, ἐάν τε τὸ μέγεθος, καὶ ὁ χρόνος. ἔστω γὰρ πεπερασμένον μέγεθος ἐφ' οὗ AB, χρόνος δὲ ἄπειρος ἐφ' ᾧ Γ· εἰλήφθω δέ τι τοῦ χρόνου πεπερασμένον, ἐφ' ᾧ ΓΔ. ἐν τούτῳ οὖν δίεισί τι τοῦ μεγέθους, καὶ ἔστω διεληλυθὸς ἐφ' ᾧ BE. τοῦτο δὲ ἢ καταμετρήσει τὸ ἐφ' ᾧ AB, ἢ ἔλλειψει, ἢ ὑπερβαλεῖ· διαφέρει γὰρ οὐθέν· εἰ γὰρ ἀεὶ τὸ ἴσον τῷ BE μέγεθος ἐν ἴσῳ χρόνῳ δίεισιν, τοῦτο δὲ καταμετρεῖ τὸ ὅλον, πεπερασμένος ἔσται ὁ πᾶς χρόνος ἐν ᾧ διῆλθεν· εἰς ἴσα γὰρ διαιρεθήσεται καὶ τὸ μέγεθος. ἔτι δ' εἰ μὴ πᾶν μέγεθος ἐν

[a] 18 καὶ θάτερον om. E^1 τοῖς EHJKPS : ἐν τοῖς FI 20 τῇ διαιρέσει E^2KΛS : om. E^1T ἀμφοῖν E^1T : ἀμφοῖν ὁ χρόνος E^2KΛ 21 τὸ μῆκος F 22 διελεῖν E^1 24–7 διχῶς . . . χρόνῳ om. F 24 καὶ pr. om. H ὁ χρόνος καὶ τὸ μῆκος HK ἄπειρος E 25 ἤτοι] ἢ τῷ FK : ἢ τὸ HI 26 τὸ ΚΛΤ : om. E 29 τὰ ἄπειρα F 31 οὔτε E^2ST : οὐδὲ E^1ΚΛ δὴ οὖν τὸ F 32 οὔτ' ST : οὐδ' Π 33–4 μέγεθος . . . τὸ om. K^1 35 οὗ I δὲ ET : δὴ ΚΛ πεπερασμένου τοῦ χρόνου F

[b] 2 ᾧ] ᾧ τὸ E δὲ EFHKPS : δὴ IJ 3 ὑπερβάλλη E^2 : ὑπερβάλλει J 4 τὸ E 5 καταμετρήσει H τὸ ΠPST : τι Prantl 6 χρόνος πᾶς F εἰς E^2ΚΛST : om. E^1 7 καὶ E^1AT Aspasius : ὡς καὶ E^2ΚΛS^1 ἔτι . . . 11 χρόνος ΠST : secl. Prantl

geçiliyorsa, kısaca daha az zamanda daha az uzunluk geçiliyorsa, büyük- 15
lük de sürekli, çünkü zamanın ve büyüklüğün bölünmeleri aynı olacak-
tır. Yine ikisinden biri sonsuzsa öteki de sonsuz olacak; biri ne şekilde
ise öteki de öyle: sözgelişi zaman uçları açısından sonsuzsa, büyüklük de
uçları açısından; bölünme açısından sonsuzsa, büyüklük de öyle; heriki 20
açısından sonsuzsa uzam da herikisi açısından sonsuz olur.

Bunun için Zenon'un "sonsuz şeylere gitmenin ya da sonsuz şeyle-
rin herbirinin sınırlı zaman içinde bitişmesinin olası olmadığı" yollu savı
da bir yanlışlık taşıyor. Çünkü büyüklük ile zamana, genelde sürekli olan
herşeye iki anlamda "sonsuz" denir: ya bölme açısından ya da uçları açı-
sından. İmdi, nicelikce sonsuz olan nesnelerin sınırlı bir zaman içinde 25
bitmemesi olası değil, oysa bölme açısından sonsuz olanlar için bu olası:
nitekim zamanın kendisi bu biçimde sonsuz. Dolayısıyla sınırlı olan için-
de değil, sonsuz olan içinde sonsuz olana gitmek sözkonusu; yine sonsuz
olan nesnelerin sınırlı nesnelerle değil, sonsuz nesnelerle bitişmesi sözko- 30
nusu. Demek ki ne sınırlı bir zamanda sonsuz olana gidilebilir ne de son-
suz olan bir zamanda sınırlı olana. Zaman sonsuzsa büyüklük de sonsuz
olacaktır; büyüklük sonsuzsa zaman da öyle. Diyelim ki, sınırlı büyüklük
AB, sonsuz zaman ise C. Zamanın sınırlı bir parçası olarak da CD alın- 35
mış olsun. Bu sınırlı zaman içinde bir nesne, büyüklüğün bir parçasını 233b
geçecektir, bu geçilen parça da BE olsun. Bu [BE] parçası ya AB ile aynı
ölçüde ya ondan eksik ya da ondan fazla olacaktır, bu hiç önemli değil;
çünkü büyüklük BE ile eşitse hep eşit zamanda geçilecektir; bu büyüklük
bütünle aynı ölçüdeyse geçişin gerçekleştiği zamanın tümü sınırlı olacak- 5
tır, nitekim o, büyüklüğün de bölündüğü eşit parçalara ayrılmış olacaktır.

2. 233ª 15 — 3. 233ᵇ 34

ἀπείρῳ χρόνῳ δίεισιν, ἀλλ' ἐνδέχεταί τι καὶ ἐν πεπερασμένῳ διελθεῖν, οἷον τὸ ΒΕ, τοῦτο δὲ καταμετρήσει τὸ πᾶν, καὶ τὸ ἴσον ἐν ἴσῳ δίεισιν, ὥστε πεπερασμένος ἔσται καὶ ὁ χρόνος. ὅτι δ' οὐκ ἐν ἀπείρῳ δίεισιν τὸ ΒΕ, φανερόν, εἰ ληφθείη ἐπὶ θάτερα πεπερασμένος ὁ χρόνος· εἰ γὰρ ἐν ἐλάττονι τὸ μέρος δίεισιν, τοῦτο ἀνάγκη πεπεράνθαι, θατέρου γε πέρατος ὑπάρχοντος. ἡ αὐτὴ δὲ ἀπόδειξις καὶ εἰ τὸ μὲν μῆκος ἄπειρον ὁ δὲ χρόνος πεπερασμένος.

φα-

νερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε γραμμὴ οὔτε ἐπίπεδον οὔτε ὅλως τῶν συνεχῶν οὐθὲν ἔσται ἄτομον, οὐ μόνον διὰ τὸ νῦν λεχθέν, ἀλλὰ καὶ ὅτι συμβήσεται διαιρεῖσθαι τὸ ἄτομον. ἐπεὶ γὰρ ἐν ἅπαντι χρόνῳ τὸ θᾶττον καὶ βραδύτερον ἔστι, τὸ δὲ θᾶττον πλεῖον διέρχεται ἐν τῷ ἴσῳ χρόνῳ, ἐνδέχεται δὲ καὶ διπλάσιον καὶ ἡμιόλιον διιέναι μῆκος (εἴη γὰρ ἂν οὕτος ὁ λόγος τοῦ τάχους), ἐνηνέχθω οὖν τὸ θᾶττον ἡμιόλιον ἐν τῷ αὐτῷ χρόνῳ, καὶ διῃρήσθω τὰ μεγέθη τὸ μὲν τοῦ θάττονος εἰς τρία ἄτομα, ἐφ' ὧν ΑΒ ΒΓ ΓΔ, τὸ δὲ τοῦ βραδυτέρου εἰς δύο, ἐφ' ὧν ΕΖ ΖΗ. οὐκοῦν καὶ ὁ χρόνος διαιρεθήσεται εἰς τρία ἄτομα· τὸ γὰρ ἴσον ἐν τῷ ἴσῳ χρόνῳ δίεισιν. διῃρήσθω οὖν ὁ χρόνος εἰς τὰ ΚΛ ΛΜ ΜΝ. πάλιν δ' ἐπεὶ τὸ βραδύτερον ἐνήνεκται τὴν ΕΖΗ, καὶ ὁ χρόνος τμηθήσεται δίχα. διαιρεθήσεται ἄρα τὸ ἄτομον, καὶ τὸ ἀμερὲς οὐκ ἐν ἀτόμῳ δίεισιν ἀλλ' ἐν πλείονι. φανερὸν οὖν ὅτι οὐδέν ἐστι τῶν συνεχῶν ἀμερές.

3 Ἀνάγκη δὲ καὶ τὸ νῦν τὸ μὴ καθ' ἕτερον ἀλλὰ καθ' αὐτὸ καὶ πρῶτον λεγόμενον ἀδιαίρετον εἶναι, καὶ ἐν ἅπαντι

ᵇ 8 τι om. H 9 διελθεῖν] χρόνῳ διελθεῖν E τοῦτο . . . 11 BE om. K 12 θάτερα EHIJKS : θάτερον FT ἐν om. F 14 γε] γὰρ F πεπερασμένου E¹ 17 οὔτε FHJKT : οὔτε τι E : om. I ἔστιν F 18 καὶ διότι I : ὅτι H : ὅτι καὶ T συμβαίνει H 19 τὸ βραδυτερόν ἐστι καὶ τὸ θᾶττον H καὶ] καὶ τὸ I 20 τῷ E²ΚΛΤ : om. E¹ 21 δὲ EIKS : om. FHT, erasit J 23 τὸ ES : τὰ ΚΛ 24 εἰς . . . ΓΔ scripsi, legit ut vid S : ἐφ' ᾧ (ὧν H) αβγδ (αβ βγ γδ FH) εἰς τρία ἄτομα Π 25–6 τὸ . . . ἄτομα om. F¹ 25 τὸ ES : τὰ F²HIJK ζ alt. E²F²HS : om. E¹IJK 26 τὸ E²ΚΛΤ : om. E¹ 27 τὰ om. E : τὴν FK 28 κλ λμ μν E²FHS : κλμν E¹IJK δ' om H. 29 εζ ζη E²FHKS 31 πλείοσι H : πλείονι τοῦ θάττονος E¹ τῶν συνεχῶν ἐστιν H 33 το alt. om. J¹ 34 αὐτον E¹ πρώτως PS εἶναι om. EIJK

Ayrıca nesne, her büyüklüğü sonsuz zaman içinde geçmiyorsa, yine sınırlı bir zaman içinde onun bir parçasını, sözgelişi BE parçasını geçebiliyorsa, bu parça da bütün ile ölçülebiliyorsa, eşit parçayı ise eşit zamanda geçiyorsa, sonuçta zaman da sınırlı olacaktır. Zamanın iki uçtan birinde sınırlı olduğu kabul edilmişse, BE'yi sonsuz olmayan bir zaman içinde geçtiği açıktır. Çünkü parçayı daha az zaman içinde geçiyorsa, iki sınırdan biri bulunduğunda, bunun sınırlı olması zorunlu. Büyüklük sonsuz, zaman sınırlı diye alınırsa yine aynı kanıtlama geçerlidir.

Dediklerimizden açıkça çıkan şu: bir çizgi, bir yüzey, genelde sürekli olan nesnelerden hiçbiri 'bölünmez' olmayacaktır. Bu yalnızca şimdi söylediklerimizden ötürü değil, 'bölünmeyen'in bölünmesi sözkonusu olacağı için de böyle: Nitekim madem her zaman içinde 'daha hızlı', 'daha yavaş' var ve 'daha hızlı', eşit zaman içinde daha çok yol alıyor, bir misli, hattâ birbuçuk misli uzunluğu geçmesi olası (hız oranı bu olabilir): diyelim ki 'daha hızlı' aynı zaman içinde birbuçuk misli yol almış olsun; 'daha hızlı'nın geçtiği uzunluk üç bölünmeyene, AB-BC-CD'ye; 'daha yavaş'ın geçtiği uzunluk ise ikiye, EF-FG'ye bölünsün. İmdi zaman da üç 'bölünmeyene' bölünecektir, çünkü eşit zaman içinde eşit yol alınacaktır: zaman da KL-LM ve MN'ye bölünmüş olsun. 'Daha yavaş', [bu zaman içinde] EFG yolunu geçeceğinden ötürü zaman da ikiye bölünmüş olacaktır. Öyleyse 'bölünmez şey' bölünmüş olacak ve [nesne] parçaları olmayan yolu, bölünmez olmayan bir zaman içinde değil, birden çok parçası olan bir zaman içinde geçmiş olacaktır. Demek ki şu açık: hiçbir sürekli nesne parçasız değildir.

3 'An'ın da değişik bir şeye göre değil, kendi başına alındıkta ve ilk anlamıyla söylendikte bölünemez olması, böylesine bir şey

35 τὸ τοιοῦτο χρόνῳ ἐνυπάρχειν. ἔστιν γὰρ ἔσχατόν τι τοῦ γε-
234ª γονότος, οὗ ἐπὶ τάδε οὐθέν ἐστι τοῦ μέλλοντος, καὶ πάλιν
τοῦ μέλλοντος, οὗ ἐπὶ τάδε οὐθέν ἐστι τοῦ γεγονότος· ὃ δή φα-
μεν ἀμφοῖν εἶναι πέρας. τοῦτο δὲ ἐὰν δειχθῇ ὅτι τοιοῦτόν ἐστιν
[καθ' αὑτὸ] καὶ ταὐτόν, ἅμα φανερὸν ἔσται καὶ ὅτι ἀδιαίρε-
5 τον. ἀνάγκη δὴ τὸ αὐτὸ εἶναι τὸ νῦν τὸ ἔσχατον ἀμφοτέ-
ρων τῶν χρόνων· εἰ γὰρ ἕτερον, ἐφεξῆς μὲν οὐκ ἂν εἴη θά-
τερον θατέρῳ διὰ τὸ μὴ εἶναι συνεχὲς ἐξ ἀμερῶν, εἰ δὲ χω-
ρὶς ἑκάτερον, μεταξὺ ἔσται χρόνος· πᾶν γὰρ τὸ συνεχὲς
τοιοῦτον ὥστ' εἶναί τι συνώνυμον μεταξὺ τῶν περάτων. ἀλλὰ
10 μὴν εἰ χρόνος τὸ μεταξύ, διαιρετὸν ἔσται· πᾶς γὰρ χρόνος
δέδεικται ὅτι διαιρετός. ὥστε διαιρετὸν τὸ νῦν. εἰ δὲ διαιρε-
τὸν τὸ νῦν, ἔσται τι τοῦ γεγονότος ἐν τῷ μέλλοντι καὶ τοῦ
μέλλοντος ἐν τῷ γεγονότι· καθ' ὃ γὰρ ἂν διαιρεθῇ, τοῦτο
διοριεῖ τὸν παρήκοντα καὶ τὸν μέλλοντα χρόνον. ἅμα δὲ
15 καὶ οὐκ ἂν καθ' αὑτὸ εἴη τὸ νῦν, ἀλλὰ καθ' ἕτερον· ἡ γὰρ
διαίρεσις οὐ καθ' αὑτό. πρὸς δὲ τούτοις τοῦ νῦν τὸ μέν τι γε-
γονὸς ἔσται τὸ δὲ μέλλον, καὶ οὐκ ἀεὶ τὸ αὐτὸ γεγονὸς ἢ
μέλλον. οὐδὲ δὴ τὸ νῦν τὸ αὐτό· πολλαχῇ γὰρ διαιρετὸς
ὁ χρόνος. ὥστ' εἰ ταῦτα ἀδύνατον ὑπάρχειν, ἀνάγκη
20 τὸ αὐτὸ εἶναι τὸ ἐν ἑκατέρῳ νῦν. ἀλλὰ μὴν εἰ ταὐτό, φα-
νερὸν ὅτι καὶ ἀδιαίρετον· εἰ γὰρ διαιρετόν, πάλιν ταὐτὰ
συμβήσεται ἃ καὶ ἐν τῷ πρότερον. ὅτι μὲν τοίνυν ἔστιν τι ἐν
τῷ χρόνῳ ἀδιαίρετον, ὃ φαμεν εἶναι τὸ νῦν, δῆλόν ἐστιν ἐκ
τῶν εἰρημένων· ὅτι δ' οὐθὲν ἐν τῷ νῦν κινεῖται, ἐκ τῶνδε φα-
25 νερόν ἐστιν. εἰ γάρ, ἐνδέχεται καὶ θᾶττον κινεῖσθαι
καὶ βραδύτερον. ἔστω δὴ τὸ νῦν ἐφ' ᾧ Ν, κεκινήσθω
δ' ἐν αὐτῷ τὸ θᾶττον τὴν ΑΒ. οὐκοῦν τὸ βραδύτερον ἐν τῷ
αὐτῷ ἐλάττω τῆς ΑΒ κινηθήσεται, οἷον τὴν ΑΓ. ἐπεὶ δὲ

[b] 35 τὸ om. FJK γὰρ] γὰρ τὸ E 234ª 1–2 οὗ . . . γεγονότος om. K : καὶ . . . γεγονότος om. I¹ 2 φαμεν H et ut vid. S : ἔφαμεν FIJK : ἔφαμεν ἐν E 4 καθ' αὑτὸ om. E¹IS αὐτὸν J διότι E² ἀδιαίρετόν ἐστιν E 5 δὲ F τῶν χρόνων ἀμφοτέρων H 8 ἔστιν ὁ χρόνος H ἅπαν E 9 τι om. H 10 εἰ] εἰ ὁ FH διαιρετος ΚΛ 13 ἂν ΚΛΡ : ἄν τι E 14 διοριεῖ IS : ὁριεῖ EFHJK 16 οὐ EFIJ¹KS¹ : τὸ ut vid. P : οὐ τὸ J² : οὐ τοῦ S^p : om. H γρ. S τι] τοι F 18 τὸ pr. om. S αὐτὸ ΚΛS : αὐτὸ ἅμα ET 19 ὑπάρχειν] ὑπάρχειν τῷ (τὸ K) νῦν FIJK 22 πρότερον FIJ² 23 διαιρετόν I 25 γάρ] γάω ἐστιν E²ΚΛ κινεισθαι καὶ θᾶττον H 26 καὶ FT : ἐν αὐτῷ καὶ ΚΛ 27 τ' I 28 ἐπὶ E¹

olarak her 'zaman'ın içinde bulunması zorunlu. Nitekim o, orada gele- 35
cekle ilgili hiçbir şey bulunmayan geçmişin bir sınırı ve yine orada geç- 234a
mişle ilgili hiçbir şey bulunmayan geleceğin bir sınırı: işte onda herikisi-
nin de sınırı dediğimiz şey! Ama bunun böyle ve <kendi başına> [bir] ve
aynı şey olduğunu gösterirsek, aynı zamanda bölünmez olduğu da ortaya
çıkacaktır. İmdi 'şimdikian'ın heriki zamanın da sınırı olarak aynı şey ol- 5
ması zorunlu, çünkü birbirinden değişik [iki an olsa], parçası olmayan
şeylerden sürekli bir şey oluşmadığından ötürü biri ötekinin ardılı ola-
maz. Heriki 'an' da ayrı ise arada bir zaman olacaktır, çünkü her sürekli
nesne öyle bir şeydir ki, uçların arasında aynı cins bir nesne vardır. Ama
aradaki şey bir zamansa, o bölünebilir olacaktır. Çünkü her zamanın bö- 10
lünebilir olduğunu gösterdik. Dolayısıyla 'an', bölünebilir olacaktır. Ne
ki, 'an' bölünebilirse gelecekte geçmişten bir parça, geçmişte gelecekten
bir parça bulunacaktır. Çünkü o nerede bölündüyse orası geçmiş zamanı
ve gelecek zamanı belirler. Aynı zamanda 'an', kendi başına değil, başka 15
bir şeye göre olabilir, çünkü kendi başına olan nesnede bölünme olmaz.
Bunun ötesinde, 'an'ın bir parçası geçmiş, bir parçası da gelecek olacak,
üstelik geçmiş ve gelecek olan parça hep aynı şey olmayacak. Demek ki
'an' da aynı şey olmayacak, çünkü zaman pek çok biçimde bölünebilen
bir şey. Dolayısıyla bütün bunların olması olanaksızsa, heriki zamanda da
bulunan 'an', aynı şeydir, bu zorunlu. Ne ki, o eğer bir ve aynı şeyse, açık 20
ki bölünemez, çünkü bölünebilir olsa, yine az önce dediklerimiz sözkonu-
su olacaktır. Demek ki, bu söylediklerimizden şu çıkıyor: zaman içinde
bölünemez olan bir şey var, buna biz 'an' adını veriyoruz. 'An' içinde hiç-
birşeyin devinmediği de surdan çıkıyor: bir devinim olsa, bu devinim da- 25
ha hızlı ve daha yavaş gerçekleşebilecektir: diyelim ki, N 'an'ında daha hızlı
nesne AB'yi geçsin; daha yavaş nesne aynı zaman içinde AB'den daha az
bir uzunluğu, sözgelişi AC'yi geçecektir. Madem daha yavaş nesne 'an'ın

3. 233b 35 — 4. 234b 22

τὸ βραδύτερον ἐν ὅλῳ τῷ νῦν κεκίνηται τὴν ΑΓ, τὸ θᾶττον ἐν ἐλάττονι τούτου κινηθήσεται, ὥστε διαιρεθήσεται τὸ νῦν. ἀλλ' ἦν ἀδιαίρετον. οὐκ ἄρα ἔστιν κινεῖσθαι ἐν τῷ νῦν. ἀλλὰ μὴν οὐδ' ἠρεμεῖν· ἠρεμεῖν γὰρ λέγομεν τὸ πεφυκὸς κινεῖσθαι μὴ κινούμενον ὅτε πέφυκεν καὶ οὗ καὶ ὡς, ὥστ' ἐπεὶ ἐν τῷ νῦν οὐθὲν πέφυκε κινεῖσθαι, δῆλον ὡς οὐδ' ἠρεμεῖν. ἔτι δ' εἰ τὸ αὐτὸ μέν ἐστι τὸ νῦν ἐν ἀμφοῖν τοῖν χρόνοιν, ἐνδέχεται δὲ τὸν μὲν κινεῖσθαι τὸν δ' ἠρεμεῖν ὅλον, τὸ δ' ὅλον κινούμενον τὸν χρόνον ἐν ὁτῳοῦν κινηθήσεται τῶν τούτου καθ' ὃ πέφυκε κινεῖσθαι, καὶ τὸ ἠρεμοῦν ὡσαύτως ἠρεμήσει, συμβήσεται τὸ αὐτὸ ἅμα ἠρεμεῖν καὶ κινεῖσθαι· τὸ γὰρ αὐτὸ ἔσχατον τῶν χρόνων ἀμφοτέρων, τὸ νῦν. ἔτι δ' ἠρεμεῖν μὲν λέγομεν τὸ ὁμοίως ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη νῦν καὶ πρότερον· ἐν δὲ τῷ νῦν οὐκ ἔστι τὸ πρότερον, ὥστ' οὐδ' ἠρεμεῖν. ἀνάγκη ἄρα καὶ κινεῖσθαι τὸ κινούμενον ἐν χρόνῳ καὶ ἠρεμεῖν τὸ ἠρεμοῦν.

4 Τὸ δὲ μεταβάλλον ἅπαν ἀνάγκη διαιρετὸν εἶναι. ἐπεὶ γὰρ ἔκ τινος εἴς τι πᾶσα μεταβολή, καὶ ὅταν μὲν ᾖ ἐν τούτῳ εἰς ὃ μετέβαλλεν, οὐκέτι μεταβάλλει, ὅταν δὲ ἐξ οὗ μετέβαλλεν, καὶ αὐτὸ καὶ τὰ μέρη πάντα, οὕπω μεταβάλλει (τὸ γὰρ ὡσαύτως ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη οὐ μεταβάλλει), ἀνάγκη οὖν τὸ μέν τι ἐν τούτῳ εἶναι, τὸ δ' ἐν θατέρῳ τοῦ μεταβάλλοντος· οὔτε γὰρ ἐν ἀμφοτέροις οὔτ' ἐν μηδετέρῳ δυνατόν. λέγω δ' εἰς ὃ μεταβάλλει τὸ πρῶτον κατὰ τὴν μεταβολήν, οἷον ἐκ τοῦ λευκοῦ τὸ φαιόν, οὐ τὸ μέλαν· οὐ γὰρ ἀνάγκη τὸ μεταβάλλον ἐν ὁποτερῳοῦν εἶναι τῶν ἄκρων. φανερὸν οὖν ὅτι πᾶν τὸ μεταβαλλον ἔσται διαιρετόν.

κίνησις δ' ἐστὶν διαιρετὴ διχῶς, ἕνα μὲν τρόπον τῷ χρόνῳ, ἄλλον δὲ κατὰ τὰς τῶν μερῶν τοῦ κινουμένου κινή-

---

a 30 ἐν om. J τούτου ΚΛS : om. E 32 λέγομεν IST' : ἐλέγομεν EFHJK 33 καὶ pr. om. H 34 ὡς EST : ὅτι ΚΛ
b 1 τὸ E²HJ τὸ E²HJ τὸ E²ΚΛP : τὸν E¹ 3 κεκινῆσθαι J 4 ἠρεμεῖν ἅμα K 5 ἀμφοτέρων τῶν χρόνων K μὲν EIJS : om. HKT 8 ἠρεμεῖν τὸ E²ΚΛST : om. E¹ 10 διαιρετὸν ἀνάγκη F 11 γὰρ καὶ ἐκ FJK καὶ om. I 12 μετέβαλεν E²FHI : μεταβαλλει fort. ST 13 μετέβαλεν E²FHI : μεταβάλλει Bonitz, fort. ST οὕπω scripsi : οὐ Π 14 ἔχειν H 16 ἀμφοτερῳ F μηδετέρῳ ὅλον δυνατόν I 17 δ' ΚΛS : δὲ τὸ E 18 τὸ pr.] τὸν E¹ 19 ὁποτέρῳ E

bütününde AC'yi geçti, daha hızlı nesne 'an'dan daha kısa bir süre içinde devinmiş olacaktır. Dolayısıyla 'an' bölünecektir. Ama o bölünemez idi. Demek ki, 'an' içinde devinme yok.

Ne ki, durgunluk da yok, çünkü biz devinmesi doğal olan ama doğal olan zamanda, yerde ve tarzda devinmeyen nesnenin durgun olduğunu söylüyoruz[51], dolayısıyla 'an' içinde hiçbir doğal devinme olmadığından ötürü durgunluk da yok, bu açık. Ayrıca 'an' heriki zaman içinde aynı şey ise, bir bütünün bir parçasının devinmesi, bir parçasının durması olası olacak olursa, zamanın bütünü boyunca devinen bir nesne bu bütünün herhangi bir boyutunda da doğal olarak devinecek olursa: durgunlukta olan nesne de bu biçimde durgunlukta olacak olursa, aynı nesnenin aynı zamanda durması ve devinmesi sözkonusu olacaktır; çünkü heriki zamanın sınırları aynı şey: 'an'. Ayrıca biz hem şimdi hem de daha önce, hem kendini hem de parçalarını aynı biçimde taşıyan nesneye "durgun" diyoruz. Oysa 'an'da "daha önce" diye bir şey olmaz ki! Dolayısıyla durma da olamaz. Demek şu zorunlu: devinen nesne bir zaman içinde devinir, duran nesne de bir zaman içinde durur.

4 Değişen her şeyin 'bölünebilir' olması zorunlu. Madem her değişme 'bir şeyden' 'bir şeye' ve nesne 'neye' değişiyorsa 'onda' olduğunda, [değişmenin sonuna vardığında], artık değişmiyorsa; değişmenin başında olduğunda ise ne kendisi ne de parçalarının hepsi henüz değişmiyorsa (çünkü kendini 'aynı şekilde' taşıyan nesnenin kendisi de parçaları da değişmez), şu zorunlu: değişen nesnenin bir parçası bir durumda, başka bir parçası başka bir durumda olur: çünkü heriki durumda olması da, iki durumdan hiçbirinde olmaması da olanaklı değil. "Nesne neye değişiyorsa"dan kastettiğim, değişmedeki 'ilk' [adım]: sözgelişi 'ak'tan 'gri'ye değişme, 'kara'ya değil. Değişen nesnenin uçlardan herhangi birinde olması zorunlu değil. İmdi her değişen nesne 'bölünebilir', bu açık.

Devinim iki biçimde bölünebilir: biri zamana göre, ikincisi devinen nesnelerin parçalarının devinimine göre. Örneğin: AC bütün

σεις, οἷον εἰ τὸ ΑΓ κινεῖται ὅλον, καὶ τὸ ΑΒ κινήσεται καὶ τὸ ΒΓ. ἔστω δὴ τοῦ μὲν ΑΒ ἡ ΔΕ, τοῦ δὲ ΒΓ ἡ ΕΖ κίνησις τῶν μερῶν. ἀνάγκη δὴ τὴν ὅλην, ἐφ' ἧς ΔΖ, τοῦ ΑΓ εἶναι κίνησιν. κινήσεται γὰρ κατὰ ταύτην, ἐπείπερ ἑκάτερον τῶν μερῶν κινεῖται καθ' ἑκατέραν· οὐθὲν δὲ κινεῖται κατὰ τὴν ἄλλου κίνησιν· ὥστε ἡ ὅλη κίνησις τοῦ ὅλου ἐστὶν μεγέθους κίνησις. ἔτι δ' εἰ πᾶσα μὲν κίνησις τινός, ἡ δ' ὅλη κίνησις ἡ ἐφ' ἧς ΔΖ μήτε τῶν μερῶν ἐστιν μηδετέρου (μέρους γὰρ ἑκατέρα) μήτ' ἄλλου μηδενός (οὗ γὰρ ὅλη ὅλου, καὶ τὰ μέρη τῶν μερῶν· τὰ δὲ μέρη τῶν ΑΒ ΒΓ καὶ οὐδένων ἄλλων· πλειόνων γὰρ οὐκ ἦν μία κίνησις), κἂν ἡ ὅλη κίνησις εἴη τοῦ ΑΒΓ μεγέθους. ἔτι δ' εἰ ἔστιν ἄλλη τοῦ ὅλου κίνησις, οἷον ἐφ' ἧς ΘΙ, ἀφαιρεθήσεται ἀπ' αὐτῆς
235[b] ἡ ἑκατέρων τῶν μερῶν κίνησις· αὗται δ' ἴσαι ἔσονται ταῖς ΔΕ ΕΖ· μία γὰρ ἑνὸς κίνησις. ὥστ' εἰ μὲν ὅλη διαιρεθήσεται ἡ ΘΙ εἰς τὰς τῶν μερῶν κινήσεις, ἴση ἔσται ἡ ΘΙ τῇ ΔΖ· εἰ δ' ἀπολείπει τι, οἷον τὸ ΚΙ, αὕτη οὐδενὸς ἔσται κίνησις (οὔτε γὰρ τοῦ ὅλου οὔτε τῶν μερῶν διὰ τὸ μίαν εἶναι ἑνός, οὔτε ἄλλου οὐθενός· ἡ γὰρ συνεχὴς κίνησίς ἐστι συνεχῶν τινῶν), ὡσαύτως δὲ καὶ εἰ ὑπερβάλλει κατὰ τὴν διαίρεσιν· ὥστ' εἰ τοῦτο ἀδύνατον, ἀνάγκη τὴν αὐτὴν εἶναι καὶ ἴσην. αὕτη μὲν οὖν ἡ διαίρεσις κατὰ τὰς τῶν μερῶν κινήσεις ἐστίν, καὶ ἀνάγκη παντὸς εἶναι τοῦ μεριστοῦ αὐτήν· ἄλλη δὲ κατὰ τὸν χρόνον· ἐπεὶ γὰρ ἅπασα κίνησις ἐν χρόνῳ, χρόνος δὲ πᾶς διαιρετός, ἐν δὲ τῷ ἐλάττονι ἐλάττων ἡ κίνησις, ἀνάγκη πᾶσαν κίνησιν διαιρεῖσθαι κατὰ τὸν χρόνον.

ἐπεὶ δὲ πᾶν τὸ

[b] 23 γ ΚΛS: βγΕ καὶ] καὶ τὸ ᾱβ̄ κινήσεται ὅλον καὶ Ε κινηθήσεται Η 24 δὴ om. Ε 25 δὲ Ι ἧς ἡ δζ ΚΛ 27 ἑτέραν Κ 28 τὴν τοῦ ἄλλου Ι μεγέθους ἐστί Η 29 δ' εἰ] δὴ Ε[1] πᾶσα ΕJ[2]S: ἅπασα FHIJ[1]K 30 ἡ ἐφεξῆς J: ἐφ' ἧς ἡ FK μέρος γὰρ Ε[1]J 31 ἑκατέρου F ὑλη Ε[1]IS: ἡ ὅλη Ε[2]FHJKP 32 μέρη alt.] μέρη τοῦ δζ Ε[2]ΚΛ ΑΒ ΒΓ PST, Prantl: αβγ Π 33 οὐδένων] οὐκ ΚΛ κἂν ἡ] καὶ Η ἡ ὅλη fecit Ε 34 εἴη ES: εἶη ἂν HIJK: om. F β EFIJS: om. HK εἰ EIS: εἰ μέν FHJK ἄλλη τοῦ ὅλου κίνησις ES: τοῦ ὅλου κίνησις ἄλλη ΚΛ 35 ἧς] ἧς ἡ J 1 om. I[1] 235[a] 2 Ε alt. FHKP: om. EIJ 3 εἰς . . . ΘΙ om. I τὴν . . . κίνησιν F κινήσεις . . . 4 ἔσται om. Ε 4 ἀπολείποι F ἔσται FIJS: ἐστι HK 5 τοῦ Ε[2]ΚΛS: om. Ε[1] εἶναι τοῦ ἑνός Ε[2]ΚΛS 6 ἔσται Ι 7 δὲ Ε[2]ΚΛS: δὴ Ε[1] ὑπερβάλοι Ι 11 πᾶσα FS

olarak devinirse hem AB hem de BC devinecektir. İmdi diyelim ki, parçaların devinimleri; AB'ninki DE, BC'ninki ise EF. DF'nin bütününün AC'nin devinimi olması zorunlu, çünkü herbir parçası devinimlerin her- 25
bir parçasına göre devinirse, [AC] bu devinime göre devinecektir; hiçbir şey başka bir nesnenin devinimine göre devinmez. Dolayısıyla devinimin bütünü, büyüklüğün bütününün devinimidir. Öte yandan her devinim bir nesnenin devinimi ise, DF deviniminin bütünü, ne parçalardan biri- 30
nin (çünkü her parçanın kendi devinimi var) ne de başka bir nesnenin devinimi ise (çünkü devinimi bütün olan bir bütünün, parçalarının da parça olarak devinimleri vardır: parça olarak devinimler de AB ile BC'nin devinimleridir; başka hiçbir şeyin değil, çünkü tek devinim birden çok nesnenin devinimi olamaz); devinimin bütünü ABC büyüklüğünün [bütününün] devinimi olsa gerek. Yine, nesnenin bütününün devinimi [parça olarak] başka ise, sözgelişi Hİ ise, ondan heriki parçanın de- 35
vinimi [teker teker] ayrılabilecektir, bunlar da DE ve EF devinimlerine 235a
eşit olacaktır, çünkü tek nesnenin devinimi tektir. Dolayısıyla Hİ deviniminin bütünü parçaların devinimlerine ayrılacak olursa; Hİ, DF'ye eşit olacaktır. Ama geriye bir şey kalıyorsa, sözgelişi Kİ, bu 'hiçbirşey'in devinimi olacaktır (çünkü tek nesnenin tek devinimi olduğundan ötürü ne 5
bütünün ne parçaların devinimidir; başka bir şeyin de devinimi değil, çünkü kendisi sürekli olan devinim, kimi sürekli nesnelerin devinimidir), bölmede fazlalık olduğunda da bu böyle. Dolayısıyla [bütün] bu[nlar] olanaksızsa, devinimin aynı ve eşit olması zorunlu. İmdi parçaların devinimleri açısından bölme budur, parçası olan her nesne için geçerli olması da zorunludur. Ne ki, zamana göre [bölme] başka: madem 10
her devinim bir zaman içinde, her 'zaman' da bölünebilir, daha az zaman içindeki devinim daha az; öyleyse her devinimin zamana göre bölünmesi zorunlu.

Devinen her nesne 'bir şeyde' ve belli bir zaman içinde devin-

4. 234b 23 — 5. 235b 6

κινούμενον ἐν τινι κινεῖται καὶ χρόνον τινά, καὶ παντὸς ἔστι κίνησις, ἀνάγκη τὰς αὐτὰς εἶναι διαιρέσεις τοῦ τε χρόνου καὶ τῆς κινήσεως καὶ τοῦ κινεῖσθαι καὶ τοῦ κινουμένου καὶ ἐν ᾧ ἡ κίνησις (πλὴν οὐ πάντων ὁμοίως· ἐν οἷς ἡ κίνησις, ἀλλὰ τοῦ μὲν τόπου καθ' αὑτό, τοῦ δὲ ποιοῦ κατὰ συμβεβηκός). εἰλήφθω γὰρ ὁ χρόνος ἐν ᾧ κινεῖται ἐφ' ᾧ Α, καὶ ἡ κίνησις ἐφ' ᾧ Β. εἰ οὖν τὴν ὅλην ἐν τῷ παντὶ χρόνῳ κεκίνηται, ἐν τῷ ἡμίσει ἐλάττω, καὶ πάλιν τούτου διαιρεθέντος ἐλάττω ταύτης, καὶ ἀεὶ οὕτως. ὁμοίως δὲ καί, εἰ ἡ κίνησις διαιρετή, καὶ ὁ χρόνος διαιρετός· εἰ γὰρ τὴν ὅλην ἐν τῷ παντί, τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει, καὶ πάλιν τὴν ἐλάττω ἐν τῷ ἐλάττονι. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ κινεῖσθαι διαιρεθήσεται. ἔστω γὰρ ἐφ' ᾧ Γ τὸ κινεῖσθαι. κατὰ δὴ τὴν ἡμίσειαν κίνησιν ἔλαττον ἔσται τοῦ ὅλου, καὶ πάλιν κατὰ τὴν τῆς ἡμισείας ἡμίσειαν, καὶ αἰεὶ οὕτως. ἔστι δὲ καὶ ἐκθέμενον τὸ καθ' ἑκατέραν τῶν κινήσεων κινεῖσθαι, οἷον κατά τε τὴν ΔΓ καὶ τὴν ΓΕ, λέγειν ὅτι τὸ ὅλον ἔσται κατὰ τὴν ὅλην (εἰ γὰρ ἄλλο, πλείω ἔσται κινεῖσθαι κατὰ τὴν αὐτὴν κίνησιν), ὥσπερ ἐδείξαμεν καὶ τὴν κίνησιν διαιρετὴν εἰς τὰς τῶν μερῶν κινήσεις οὖσαν· ληφθέντος γὰρ τοῦ κινεῖσθαι καθ' ἑκατέραν συνεχὲς ἔσται τὸ ὅλον. ὡσαύτως δὲ δειχθήσεται καὶ τὸ μῆκος διαιρετόν, καὶ ὅλως πᾶν ἐν ᾧ ἐστιν ἡ μεταβολὴ (πλὴν ἔνια κατὰ συμβεβηκός, ὅτι τὸ μεταβάλλον ἐστὶν διαιρετόν)· ἑνὸς γὰρ διαιρουμένου πάντα διαιρεθήσεται. καὶ ἐπὶ τοῦ πεπερασμένα εἶναι ἢ ἄπειρα ὁμοίως ἕξει κατὰ πάντων. ἠκολούθηκεν δὲ μάλιστα τὸ διαιρεῖσθαι πάντα καὶ ἄπειρα εἶναι ἀπὸ τοῦ μεταβάλλοντος· εὐθὺς γὰρ ἐνυπάρχει τῷ μεταβάλλοντι τὸ διαιρετὸν καὶ τὸ ἄπειρον. τὸ μὲν οὖν διαιρετὸν δέδεικται πρότερον, τὸ δ' ἄπειρον ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

5 Ἐπεὶ δὲ πᾶν τὸ μεταβάλλον ἔκ τινος εἴς τι μετα-

[a] 14 τινι] χρόνῳ H κινεῖται E²KΛS : κινήσεται E¹ ἔστι E²HIJKS : ἐστιν ἡ E¹ : ἔσται κινουμένου F 15 διαιρέσεις εἶναι FH 17 πλὴν . . . κίνησις om. I 18 τόπου J¹S : ποσοῦ EFḦIJ²KT, ci. A : an τόπου καὶ τοῦ ποσοῦ ? εἰλήφθω . . . [b] 1 πάντων om. T 18–22 εἰλήφθω . . . οὕτως Π S : secl. Prantl 22 εἰ KΛS : om. E 23 ἐν τῷ om. E¹ : ἐν om. E² 25–8 ἔστω . . . οὕτως Π S : secl. Prantl 26 δὴ om. E¹ 27 τὴν] τῆς J 28 ἑτέραν E 29 δγ KΛS : γδ E 30 Γ] τρίτην E¹ 34 ἔσται] καὶ S 36 τὸ om. E¹ [b] 1 ἠκολούθηκεν EIJP : ἠκολούθησε FHKT 3 τὸ om. J 4 τὸ pr. om. I 6 δὲ E²KΛST : om. E¹ ἔκ τινος E²KΛPST : om. E¹

diğinden ve her [devinenin] bir devinimi olduğundan ötürü şu zorunlu: zamanın, devinimin, 'devinmek'in, devinenin; ve devinim 'nede' gerçekleşiyorsa onun, bölümlemeleri aynıdır (ama bu bölümleme devinim gerçekleşen her şeyde eş biçimde değildir, yerdeki 'kendi başına', nicelikteki ise ilineksel anlamda). İçinde devinim gerçekleşen zamanı A, devinimi B ile gösterelim: imdi zamanın bütününde tüm devinim tamamlanırsa, zamanın yarısında daha az devinim [gerçekleşir], yine bu bölününce de bundan da daha az devinim gerçekleşir ve bu hep böyle gider. Aynı şekilde devinim bölünürse zaman da bölünür. Çünkü devinimin bütünü zamanın bütününde, yarısı yarısında, yine daha da azı daha az zaman içinde gerçekleşir; 'devinmek' de aynı tarzda bölünecektir: bu devinme c olsun; devinmek, yarı devinime göre bütünden daha az olur, yarının yarısına göre de yine öyle, bu hep böyle gider. Devinimlerden herbirine göre devinme [süreci] alındıkta, sözgelişi DC ve CE'ye göre alındıkta da, bütün devinme sürecinin, devinimin bütününe göre olacağı söylenebilir (çünkü başkaca olsa, aynı devinime göre birden çok devinme [süreci] olacaktır) -nasıl ki, devinimin, parçaların devinimlerine bölünebilir olduğunu göstermiştik. Devinme [süreci], parçalarından herbirine göre alındıkta, [devinme sürecinin] bütünü sürekli olacaktır. Uzamın da, kısaca içinde değişmenin olduğu her şeyin de bölünebilir olduğu aynı şekilde gösterilmiş olacaktır (ilineksel anlamdaki bazı şeyler dışında, çünkü 'değişen', bölünebilir bir şey). Çünkü devinimindeki bir öğe bölündüğünde hepsi bölünecektir. 'Sınırlı olanlar' ya da 'sonsuz olanlar'la ilgili olarak da bütün devinim öğelerine göre bu böyle olacaktır. Ama her şeyin bölünmesi ve sonsuz olması en çok, değişen nesneye bağlı: çünkü 'bölünebilirlik' ve 'sonsuzluk' doğrudan, değişen nesnede içkin. İmdi 'bölünebilir'in ne olduğunu daha önce göstermiştik[52], 'sonsuz'un ne olduğu ise ilerde açıklığa kavuşacak.

5 Madem değişen her nesne 'bir şeyden' 'bir şeye' değişir,'

βάλλει, ἀνάγκη τὸ μεταβεβληκός, ὅτε πρῶτον μεταβέβληκεν, εἶναι ἐν ᾧ μεταβέβληκεν. τὸ γὰρ μεταβάλλον, ἐξ οὗ μεταβάλλει, ἐξίσταται ἢ ἀπολείπει αὐτό, καὶ ἤτοι ταὐτόν ἐστι τὸ μεταβάλλειν καὶ τὸ ἀπολείπειν, ἢ ἀκολουθεῖ τῷ μεταβάλλειν τὸ ἀπολείπειν. εἰ δὲ τῷ μεταβάλλειν τὸ ἀπολείπειν, τῷ μεταβεβληκέναι τὸ ἀπολελοιπέναι· ὁμοίως γὰρ ἑκάτερον ἔχει πρὸς ἑκάτερον. ἐπεὶ οὖν μία τῶν μεταβολῶν ἡ κατ' ἀντίφασιν, ὅτε μεταβέβληκεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἀπολέλοιπεν τὸ μὴ ὄν. ἔσται ἄρα ἐν τῷ ὄντι· πᾶν γὰρ ἀνάγκη ἢ εἶναι ἢ μὴ εἶναι. φανερὸν οὖν ὅτι ἐν τῇ κατ' ἀντίφασιν μεταβολῇ τὸ μεταβεβληκὸς ἔσται ἐν ᾧ μεταβέβληκεν. εἰ δ' ἐν ταύτῃ, καὶ ἐν ταῖς ἄλλαις· ὁμοίως γὰρ ἐπὶ μιᾶς καὶ τῶν ἄλλων. ἔτι δὲ καὶ καθ' ἑκάστην λαμβάνουσι φανερόν, εἴπερ ἀνάγκη τὸ μεταβεβληκὸς εἶναί που ἢ ἔν τινι. ἐπεὶ γὰρ ἐξ οὗ μεταβέβληκεν ἀπολέλοιπεν, ἀνάγκη δ' εἶναί που, ἢ ἐν τούτῳ ἢ ἐν ἄλλῳ ἔσται. εἰ μὲν οὖν ἐν ἄλλῳ, οἷον ἐν τῷ Γ, τὸ εἰς τὸ Β μεταβεβληκός, πάλιν ἐκ τοῦ Γ μεταβάλλει εἰς τὸ Β· οὐ γὰρ ἦν ἐχόμενον τὸ Β, ἡ δὲ μεταβολὴ συνεχής. ὥστε τὸ μεταβεβληκός, ὅτε μεταβέβληκεν, μεταβάλλει εἰς ὃ μεταβέβληκεν. τοῦτο δ' ἀδύνατον· ἀνάγκη ἄρα τὸ μεταβεβληκὸς εἶναι ἐν τούτῳ εἰς ὃ μεταβέβληκεν. φανερὸν οὖν ὅτι καὶ τὸ γεγονός, ὅτε γέγονεν, ἔσται, καὶ τὸ ἐφθαρμένον οὐκ ἔσται· καθόλου τε γὰρ εἴρηται περὶ πάσης μεταβολῆς, καὶ μάλιστα δῆλον ἐν τῇ κατ' ἀντίφασιν.

ὅτι μὲν τοίνυν τὸ μεταβεβληκός, ὅτε μεταβέβληκε πρῶτον, ἐν ἐκείνῳ ἐστίν, δῆλον· ἐν ᾧ δὲ πρώτῳ μεταβέβληκεν τὸ μεταβεβληκός, ἀνάγκη ἄτομον εἶναι. λέγω δὲ πρῶτον ὃ μὴ τῷ ἕτερόν τι αὐτοῦ εἶναι τοιοῦτόν ἐστιν. ἔστω γὰρ διαιρετὸν τὸ ΑΓ, καὶ διῃρήσθω κατὰ τὸ Β. εἰ μὲν οὖν ἐν τῷ ΑΒ μεταβέβληκεν ἢ πάλιν ἐν τῷ ΒΓ, οὐκ ἂν ἐν πρώτῳ τῷ ΑΓ με-

b 8 εἶναι . . . μεταβεβληκεν om. E¹ τὸ ΚΛΤ : τὸ μὲν E βάλλον I 9 ἤτοι] τοι E¹ 10 τὸ alt. EHIJS : om. FK 11–12 εἰ . . . τῷ ES : τῷ δὲ ΚΛ 15 ἅπαν E ἢ om. FHK 18 γὰρ] γὰρ καὶ F 19 καὶ E²FHJKS : om. E¹I 20 ἢ EF²IJKPS : ἐξ οὗ μεταβέβληκεν ἢ F¹HJ 22 τούτῳ ἢ ἐν ἄλλῳ ΚΛS : ἄλλῳ ἢ ἐν τούτῳ E εἰ μὲν οὖν ΚΛP : om. E 24 τὸ alt. Hayduck : τῷ ΠP συνεχὴς δὲ ἡ μεταβολὴ A δὲ EP : γὰρ ΚΛ 25 μεταβάλλει εἰς ὃ μεταβέβληκεν om. IJ¹ 27 ἐν om. E¹ 30 κατ' FHS : κατὰ τὴν EIJK 33 ἀναγκη] πρῶτον ἀνάγκη I 36 τῷΑ] τὸ α F

değişmiş olan-değişmesini tamamlamış olan nesne' ancak değişmiş olduğu zaman, 'değişmiş olan nesne' durumunda olur, bu zorunlu. Değişen nesne, 'neden' değişiyorsa ondan değişir, ya da onu bırakır ve değişmek ile bırakmak ya aynı şeydir ya da bırakmak değişmenin ardından gelir. Bırakmak değişmenin ardından gelirse, bırakmış olmak da değişmiş olmanın ardından gelir. Çünkü herikisi arasındaki ilgi aynı biçimde. İmdi madem değişmelerden biri 'karşıoluma göre' nesne 'varolmayandan' 'varolana' değiştiğinde, 'varolmayan'ı bırakmıştır. Öyleyse 'varolan [durumun]da' olacaktır. Çünkü her şeyin "ya olması ya da olmaması" zorunlu. Demek şu açık: 'karşıoluma göre' değişmede, değişmiş olan şey o değiştiği durumda olacaktır. Bu tür değişmede böyleyse, öteki değişmelerde de bu böyle, çünkü biri için geçerli olan ötekiler için de geçerli. Ayrıca eğer değişmiş olan nesnenin bir yerde ya da bir şeyde, [durumda] olması zorunluysa, herbir değişme ele alındıkta da bu açıkça görülür. Madem nesne değişmiş olduğu [durumu] bırakmıştır, ve bir yerde olması zorunludur, o ya bu son durumda olacaktır ya da başka bir durumda olacaktır. İmdi B'ye değişmiş olan bir nesne, başka bir durumda, sözgelişi C durumundaysa, yeniden C'den B'ye değişir; çünkü [C], B'yi içermiyordu. Oysa değişme sürekli. Dolayısıyla şu çıkıyor: değişmiş olan nesne, değiştiği zaman, değişmiş olduğu şeye doğru değişmektedir. Oysa bu olanaksız. Öyleyse değişmiş olan nesnenin neye değişmişse o durumda olması zorunlu. İmdi açık ki, oluşmuş olan bir nesne, oluştuğu zaman olacaktır, yokolmuş olan nesne de olmayacaktır. Her değişme üzerinde genel olarak konuştuk, özellikle 'karşıoluma' göre değişmede durum açık.

İmdi değişmiş olan nesnenin ilk değişmesini tamamladığı anda son durumda olduğu açık. Değişmiş olan nesnenin ilk değiştiği anda bölünmez (atomon) olması zorunlu. 'İlk'ten kastettiğim, 'böyle olması ondan farklı bir nesnenin varolmasına bağlı olmayan'. Diyelim ki, bu bölünebilir AC olsun ve B ile bölünsün. İmdi nesne AB anında ve yeniden BC anında değiştiyse, değişme noktası AC

5. 235^{b} 7 — 236^{a} 29

ταβεβληκὸς εἴη. εἰ δ' ἐν ἑκατέρῳ μετέβαλλεν (ἀνάγκη γὰρ ἢ μεταβεβληκέναι ἢ μεταβάλλειν ἐν ἑκατέρῳ), κἂν ἐν τῷ 236^{a}
ὅλῳ μεταβάλλοι· ἀλλ' ἦν μεταβεβληκός. ὁ αὐτὸς δὲ λόγος καὶ εἰ ἐν τῷ μὲν μεταβάλλει, ἐν δὲ τῷ μεταβέβληκεν· ἔσται γάρ τι τοῦ πρώτου πρότερον· ὥστ' οὐκ ἂν εἴη διαιρετὸν ἐν ᾧ μεταβέβληκεν. φανερὸν οὖν ὅτι καὶ τὸ ἐφθαρμένον καὶ τὸ γεγονὸς ἐν ἀτόμῳ τὸ μὲν ἔφθαρται τὸ δὲ γέγονεν. 7

λέγεται δὲ τὸ ἐν ᾧ πρώτῳ μεταβέβληκε διχῶς, τὸ μὲν ἐν ᾧ πρώτῳ ἐπετελέσθη ἡ μεταβολή (τότε γὰρ ἀληθὲς εἰπεῖν ὅτι μεταβέβληκεν), τὸ δ' ἐν ᾧ πρώτῳ ἤρξατο μεταβάλλειν. τὸ μὲν οὖν κατὰ τὸ τέλος τῆς μεταβολῆς πρώτου λεγόμενον ὑπάρχει τε καὶ ἔστιν (ἐνδέχεται γὰρ ἐπιτελεσθῆναι μεταβολὴν καὶ ἔστι μεταβολῆς τέλος, ὃ δὴ καὶ δέδεικται ἀδιαίρετον ὂν διὰ τὸ πέρας εἶναι)· τὸ δὲ κατὰ τὴν ἀρχὴν ὅλως οὐκ ἔστιν· οὐ γὰρ ἔστιν ἀρχὴ μεταβολῆς, οὐδ' ἐν ᾧ πρώτῳ τοῦ χρόνου μετέβαλλεν. ἔστω γὰρ πρῶτον ἐφ' ᾧ τὸ ΑΔ. τοῦτο δὴ ἀδιαίρετον μὲν οὐκ ἔστιν· συμβήσεται γὰρ ἐχόμενα εἶναι τὰ νῦν. ἔτι δ' εἰ ἐν τῷ ΓΑ χρόνῳ παντὶ ἠρεμεῖ (κεῖσθαι γὰρ ἠρεμοῦν), καὶ ἐν τῷ Α ἠρεμεῖ, ὥστ' εἰ ἀμερές ἐστι τὸ ΑΔ, ἅμα ἠρεμήσει καὶ μεταβεβληκὸς ἔσται· ἐν μὲν γὰρ τῷ Α ἠρεμεῖ, ἐν δὲ τῷ Δ μεταβέβληκεν. ἐπεὶ δ' οὐκ ἔστιν ἀμερές, ἀνάγκη διαιρετὸν εἶναι καὶ ἐν ὁτῳοῦν τῶν τούτου μεταβεβληκέναι· διαιρεθέντος γὰρ τοῦ ΑΔ, εἰ μὲν ἐν μηδετέρῳ μεταβέβληκεν, οὐδ' ἐν τῷ ὅλῳ· εἰ δ' ἐν ἀμφοῖν μεταβάλλει καὶ ἐν τῷ παντί, εἴτ' ἐν θατέρῳ μεταβέβληκεν, οὐκ ἐν τῷ ὅλῳ πρώτῳ. ὥστε ἀνάγκη ἐν ὁτῳοῦν μεταβεβληκέναι. φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐν ᾧ πρώτῳ μεταβέβληκεν· ἄπειροι γὰρ αἱ διαιρέσεις. οὐδὲ δὴ τοῦ μεταβεβληκότος ἔστιν τι πρῶτον ὃ μεταβέβληκεν. ἔστω γὰρ τὸ ΔΖ πρῶτον μεταβεβληκὸς τοῦ ΔΕ· πᾶν γὰρ δέδεικται διαιρετὸν

^{b} 37 εἴη] η E^{1} μετέβαλεν E^{2}H 236^{a} 2 μεταβάλοι I δὲ om. H 3 τῷ δὲ H 7 λέγω fecit F ἤρξατο μεταβάλλειν F^{1} 8 πρώτῳ ΚΛS: om. E ἐτελεσθη HIJK: ἐτελειώθη F^{1} ἀληθὲς ἦν εἰπεῖν F 9 ἐν ᾧ E^{2}ΚΛS: om. E^{1} 10 οὐ E^{1} λεγόμενον πρῶτον H 15 μετέβαλεν E^{2}FK 16 τὸ om. HK δὴ om. E^{1} 18 ἠρεμήσει I 20 μὲν om. H 21 εἶναι et τῶν om. E^{1} 24 εἴτ' scripsi, fort. leg. S: εἰ δ' Π 25 οὐδ' E^{2} πρῶτον F^{1} 28 ἔστι EHJS: ἔσται FIK πρότερον S ΖΔ S 29 μεταβεβληκὸς E^{2}ΚΛS: μεταβεβληκότος E^{1}

olmayacaktır. Ama herikisinde de değişiyor olsaydı (onun iki durumdan herbirinde değişmiş olması ya da değişmekte olması zorunlu), bütünde de değişmekte olurdu. Oysa değişmiş bulunuyordu. Birinde değişmekte ötekinde değişmiş bulunuyorsa yine aynı temellendirme geçerli, nitekim bu durumda 'ilk'ten daha önce olan bir şey olacaktır. Dolayısıyla nesnenin değişmiş olduğu an bölünemez. Demek ki şu açık: yokolmuş olan ve oluşmuş olan nesne bölünmez bir anda yokolmuştur ve varolmuştur. 236a 5

Ne ki, "değişmiş olduğu ilk an" demek iki anlama gelir: birincileyin değişmenin tamamlandığı ilk an (çünkü nesnenin değişmiş olduğunu söylemek ancak o zaman doğru), ikincileyin nesnenin değişmeye başladığı ilk an. İmdi o, "değişmenin sonunda" anlamında alındıkta, vardır ve bulunmaktadır (nitekim değişmenin sona ermesi olasıdır ve değişmenin sonu vardır, bunun sınır olmasından ötürü bölünemez olduğunu da göstermiştik). "Değişmenin başlangıcında" anlamında alındıkta ise kesinlikle yoktur, çünkü ne değişmenin başlangıcı var ne de nesnenin ilk değişiyor olduğu bir zaman anı. Diyelim ki, bu an AD olsun. Bu an bölünemez değil, çünkü [öyle olsa] 'an'ların sürekli olması sözkonusu olacaktır. Öte yandan bütün CA zamanında nesne durgun olsa (diyelim ki, durgunluktaki bir nesne), A noktasında da o durgunlukta olacaktır. Dolayısıyla AD parçasız ise aynı zamanda hem durgunlukta olacak hem de devinmiş nesne olacak, çünkü A'da durmakta, D'de ise değişmiş bulunmaktadır. Madem parçasız değil, 'bölünebilir' olması ve onun parçaların birinde değişmiş olması, [değişmesini tamamlamış olması] zorunlu. Nitekim AD bölündükte, hiçbir parçada değişmesini tamamlamamış olsa, bütünde de tamamlamamış olacaktır. Ama heriki parçada da değişse bütünde de değişir. Yine ikisinden birinde de değişmesini tamamlamışsa, bütünde değişmesini ilk anda tamamlamamış olacaktır. Dolayısıyla nesne [parçaların] herhangi birinde değişmesini tamamlamıştır. Öyleyse şu da açık: nesnenin "değişmesini tamamladığı ilk an" diye bir şey yok, çünkü bölmeler sonsuza gidiyor. Değişmiş olan nesneye ait değişmiş olan 'ilk' şey diye de bir şey yok: diyelim ki DE'ye ait olup da değişmiş olan ilk şey DF -değişen her nesnenin bölünür olduğunu 10 15 20 25

30 τὸ μεταβάλλον. ὁ δὲ χρόνος ἐν ᾧ τὸ ΔΖ μεταβέβληκεν ἔστω ἐφ' ᾧ ΘΙ. εἰ οὖν ἐν τῷ παντὶ τὸ ΔΖ μεταβέβληκεν, ἐν τῷ ἡμίσει ἔλαττον ἔσται τι μεταβεβληκὸς καὶ πρότερον τοῦ ΔΖ, καὶ πάλιν τούτου ἄλλο, κἀκείνου ἕτερον, καὶ αἰεὶ οὕτως. ὥστ' οὐθὲν ἔσται πρῶτον τοῦ μεταβάλλοντος ὃ μεταβέ-
35 βληκεν.

35 ὅτι μὲν οὖν οὔτε τοῦ μεταβάλλοντος οὔτ' ἐν ᾧ μεταβάλλει χρόνῳ πρῶτον οὐθέν ἐστιν, φανερὸν ἐκ τῶν εἰρημένων·
236b αὐτὸ δὲ ὃ μεταβάλλει ἢ καθ' ὃ μεταβάλλει, οὐκέθ' ὁμοίως ἕξει. τρία γάρ ἐστιν ἃ λέγεται κατὰ τὴν μεταβολήν, τό τε μεταβάλλον καὶ ἐν ᾧ καὶ εἰς ὃ μεταβάλλει, οἷον ὁ ἄνθρωπος καὶ ὁ χρόνος καὶ τὸ λευκόν. ὁ
5 μὲν οὖν ἄνθρωπος καὶ ὁ χρόνος διαιρετοί, περὶ δὲ τοῦ λευκοῦ ἄλλος λόγος. πλὴν κατὰ συμβεβηκός γε πάντα διαιρετά· ᾧ γὰρ συμβέβηκεν τὸ λευκὸν ἢ τὸ ποιόν, ἐκεῖνο διαιρετόν ἐστιν· ἐπεὶ ὅσα γε καθ' αὑτὰ λέγεται διαιρετὰ καὶ μὴ κατὰ συμβεβηκός, οὐδ' ἐν τούτοις ἔσται τὸ πρῶτον,
10 οἷον ἐν τοῖς μεγέθεσιν. ἔστω γὰρ τὸ ἐφ' ᾧ ΑΒ μέγεθος, κεκινήσθω δ' ἐκ τοῦ Β εἰς τὸ Γ πρῶτον. οὐκοῦν εἰ μὲν ἀδιαίρετον ἔσται τὸ ΒΓ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον· εἰ δὲ διαιρετόν, ἔσται τι τοῦ Γ πρότερον, εἰς ὃ μεταβέβληκεν, κἀκείνου πάλιν ἄλλο, καὶ ἀεὶ οὕτως διὰ τὸ μηδέποτε ὑπολεί-
15 πειν τὴν διαίρεσιν. ὥστ' οὐκ ἔσται πρῶτον εἰς ὃ μεταβέβληκεν. ὁμοίως δὲ καὶ ἐπὶ τῆς τοῦ ποσοῦ μεταβολῆς· καὶ γὰρ αὐτη ἐν συνεχεῖ ἐστιν. φανερὸν οὖν ὅτι ἐν μόνῃ τῶν κινήσεων τῇ κατὰ τὸ ποιὸν ἐνδέχεται ἀδιαίρετον καθ' αὑτὸ εἶναι.

Ἐπεὶ δὲ τὸ μεταβάλλον ἅπαν ἐν χρόνῳ μεταβάλλει, 6
20 λέγεται δ' ἐν χρόνῳ μεταβάλλειν καὶ ὡς ἐν πρώτῳ καὶ ὡς καθ' ἕτερον, οἷον ἐν τῷ ἐνιαυτῷ ὅτι ἐν τῇ ἡμέρᾳ μεταβάλλει, ἐν ᾧ πρώτῳ χρόνῳ μεταβάλλει τὸ μεταβάλλον, ἐν ὑτῳοῦν ἀνάγκη τούτου μεταβάλλειν. δῆλον μὲν οὖν καὶ ἐκ

[a] 30 τὸ ΖΔ S : om. E¹ 31 παντὶ χρόνῳ τὸ I 32 ἐν om. J ἔσται τι scripsi : τι ἔσται S : ἔσται ΕΗ : ἔσται τὸ FIJK 34 πρῶτον E²ΚΛS : om. E¹ ὃ . . . 35 μεταβάλλοντος om. F¹ [b] 1 ὃ pr. ΠPS : εἰς ὃ Prantl ἢ . . . μεταβάλλει om. I οὐκεθ' ΚΛS : οὐκέτι ὅτι E 3 τε om. E εἰς om. E²FHIK 5 διαιρετοί fecit E 7 ποιὸν ἢ τὸ λευκόν HK 8 διαιρετὰ λέγεται F 9 καὶ . . . συμβεβηκός om. I 13 εἰς om. I 18 τὸ ΚΛP : om. E ἀδιαίρετον om. F¹ 21 ἐν τῷ E²ΚΛS : om. E¹ 22 πρῶτως FK 23 τοῦτο E¹ οὖν om. F καὶ om. HK

göstermiştik. DF'nin içinde değişmiş olduğu zaman uzunluğu Hİ olsun. DF, değişmesini [Hİ] zamanının hepsinde tamamlamışsa, bunun yarı zamanında daha az değişmiş olan bir şeyi olacak ve o da değişmesini DF'den daha önce tamamlamış olacaktır, yine ondan da [daha az - daha küçük] başka bir şey, ötekinden de [daha az daha küçük] başka bir şey... bu hep böyle gidecek. Dolayısıyla değişen nesneye ait 'ilk' değişmiş olan [parça] diye bir şey olmayacaktır.

İmdi dediklerimizden şu çıkıyor: ne değişen nesneye ait olan ne de içinde nesnenin değiştiği zamana ait olan bir 'ilk' [parça] diye bir şey yok. Ne ki, değişen nesnenin kendisi, ve nesnenin ona göre değiştiği 236a
şey, aynı biçimde olmayacak. Nitekim değişmede sözü geçen üç öğe var: değişen nesne, 'nede' değişiyorsa o, 'neye' değişiyorsa o: sözgelişi insan, zaman, ak. İmdi insan ve zaman bölünebilir, ak ile ilgili durum ise başka. Ancak ilineksel anlamda elbette her şey bölünebilir, nitekim 'ak' ya da nitelik neye ilinekse o nesne bölünebilir. Madem kimi nesnelere "ilineksel anlamda değil kendi başına bölünebilir" deniyor, bunlarda da 'ilk' olmayacaktır, sözgelişi büyüklüklerde. Nitekim büyüklük AB olsun ve B'den C'ye ilk olarak devinmiş olsun. BC bölünemez olacaksa, parçasız bir nesne parçasız bir nesneyi içerecektir. [BC] bölünebilir olacak olsa, C'den daha önce büyüklüğün ona değiştiği bir şey olacak, yine ondan da önce başka bir şey olacak ve bu hep böyle gidecek, çünkü bölünme hiç bitmez. Dolayısıyla büyüklüğün ona değiştiği bir 'ilk' [parça] olmayacaktır. Nicelikteki değişme konusunda da bu böyle, çünkü o da sürekli. Öyleyse şu açık: devinimler içinde yalnızca nitelikteki devinimde 'kendi başına' bölünmez bir şeyin olması olası.

6 Madem değişen her nesne bir zaman içinde değişiyor ve zaman içinde hem 'ilk' anlamda hem de 'değişik' olarak [ilk olmayan anlamda] bir değişmeden sözediliyor, sözgelişi nesne gün içinde değiştiği için, yıl içinde de değişiyor demektir, değişen nesnenin ilk anlamda değiştiği zaman parçası ne ise onun herbir parçası içinde değişmesi zorunlu. Bu bizim tanımımızdan açıkça belli

5. 236ᵃ 30 — 6. 237ᵃ 17

τοῦ ὁρισμοῦ (τὸ γὰρ πρῶτον οὕτως ἐλέγομεν), οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶνδε φανερόν. ἔστω γὰρ ἐν ᾧ πρώτῳ κινεῖται τὸ κινούμενον ἐφ' ᾧ ΧΡ, καὶ διῃρήσθω κατὰ τὸ Κ· πᾶς γὰρ χρόνος διαιρετός. ἐν δὴ τῷ ΧΚ χρόνῳ ἤτοι κινεῖται ἢ οὐ κινεῖται, καὶ πάλιν ἐν τῷ ΚΡ ὡσαύτως. εἰ μὲν οὖν ἐν μηδετέρῳ κινεῖται, ἠρεμοίη ἂν ἐν τῷ παντί (κινεῖσθαι γὰρ ἐν μηθενὶ τῶν τούτου κινουμένων ἀδύνατον)· εἰ δ' ἐν θατέρῳ μόνῳ κινεῖται, οὐκ ἂν ἐν πρώτῳ κινοῖτο τῷ ΧΡ· καθ' ἕτερον γὰρ ἡ κίνησις. ἀνάγκη ἄρα ἐν ὁτῳοῦν τοῦ ΧΡ κινεῖσθαι. δεδει-

γμένου δὲ τούτου φανερὸν ὅτι πᾶν τὸ κινούμενον ἀνάγκη κεκινῆσθαι πρότερον. εἰ γὰρ ἐν τῷ ΧΡ πρώτῳ χρόνῳ τὸ ΚΛ κεκίνηται μέγεθος, ἐν τῷ ἡμίσει τὸ ὁμοταχῶς κινούμενον καὶ ἅμα ἀρξάμενον τὸ ἥμισυ ἔσται κεκινημένον. εἰ δὲ τὸ ὁμοταχὲς ἐν τῷ αὐτῷ χρόνῳ κεκίνηταί τι, καὶ θάτερον ἀνάγκη ταὐτὸ κεκινῆσθαι μέγεθος, ὥστε κεκινημένον ἔσται τὸ κινούμενον. ἔτι δὲ εἰ ἐν τῷ παντὶ χρόνῳ τῷ ΧΡ κεκινῆσθαι λέγομεν, ἢ ὅλως ἐν ὁτῳοῦν χρόνῳ, τῷ λαβεῖν τὸ ἔσχατον αὐτοῦ νῦν (τοῦτο γάρ ἐστι τὸ ὁρίζον, καὶ τὸ μεταξὺ τῶν νῦν χρόνος), κἂν ἐν τοῖς ἄλλοις ὁμοίως λέγοιτο κεκινῆσθαι. τοῦ δ' ἡμίσεος ἔσχατον ἡ διαίρεσις. ὥστε καὶ ἐν τῷ ἡμίσει κεκινημένον ἔσται καὶ ὅλως ἐν ὁτῳοῦν τῶν μερῶν· ἀεὶ γὰρ ἅμα τῇ τομῇ χρόνος ἔστιν ὡρισμένος ὑπὸ τῶν νῦν. εἰ οὖν ἅπας μὲν χρόνος διαιρετός, τὸ δὲ μεταξὺ τῶν νῦν χρόνος, ἅπαν τὸ μεταβάλλον ἄπειρα ἔσται μεταβεβληκός. ἔτι δ' εἰ τὸ συνεχῶς μεταβάλλον καὶ μὴ φθαρὲν μηδὲ πεπαυμένον τῆς μεταβολῆς ἢ μεταβάλλειν ἢ μεταβεβληκέναι ἀναγκαῖον ἐν ὁτῳοῦν, ἐν δὲ τῷ νῦν οὐκ ἔστιν μεταβάλλειν, ἀνάγκη μεταβεβληκέναι καθ' ἕκαστον τῶν νῦν· ὥστ' εἰ τὰ νῦν ἄπειρα, παν τὸ μεταβάλλον ἄπειρα ἔσται μεταβεβληκός.

οὐ μόνον δὲ τὸ μεταβάλλον ἀνάγκη μεταβεβληκέναι,

ᵇ 24 ἐλέγομεν ΚΛS : λέγομεν E ἀλλὰ om. H : δὲ J¹ : δὲ ἀλλὰ I 25 τωνδὶ H 27 δὴ ΚΛPS : δὲ E χκ ΚΛS : κχ E 30 κινουμένων J 31 ἑκάτερον FH¹ 32–3 ἀνάγκη . . . τοῦτου om. I 32 κινεῖσθαι EP : κεκινῆσθαι ΚΛ 237ᵃ 1 τι om. I¹ καθ' ἕτερον E¹ 4 ἐν] ἢ ἐν F αὐτοῦ τὸ ἔσχατον H 6 καὶ EJ¹ 8 καὶ om. E¹ 10 τὸ] ὁ ΚΛ 12 μη] μηδὲ I 14 ἐν ὁτῳοῦν ἀναγκαῖον H 15 τῶν νῦν om. T : νῦν HK 16 ἔσται μεταβεβληκὸς ἄπειρα, deinde ᵃ 11–16 ἔτι . . . μεταβεβληκὸς iterum F 17–18 μεταβεβληκέναι . . . ἀνάγκη om. I

(çünkü biz 'ilk'i böyle kullanıyoruz), ama şurdan da çıkıyor: devinen nesnenin 'ilk' devindiği zaman parçası OR olsun ve bu K ile bölünmüş olsun her 'zaman' bölünebilir-. OK zamanında nesne ya devinecektir ya da devinmeyecektir, yine KR zamanında da böyle. İmdi hiçbirinde devinmiyorsa, hepsinde duruyor demektir (nitekim zamanın hiçbir parçasında devinmeyen bir nesnenin devinmesi olanaksız). Ama yalnızca bir parçasında devinim varsa OR, 'ilk' anlamda devinim olan zaman parçası olmayacaktır, çünkü [bu durumda] devinim bir başka zaman parçasında olur. Demek ki devinim OR'nin her ne parçası olursa olsun onda gerçekleşiyor, bu zorunlu.

Ne ki bu kanıtlanırsa çıkan şu: her devinmekte olan nesnenin daha önce bir devinim parçasını tamamlamış olması zorunlu. Çünkü bir nesne, [A], ilk OR zamanında KL uzunluğunu geçerse, aynı hızda devinen ve devinime birlikte başlayan bir nesne yarı zamanda yarı uzunluğu geçmiş demektir. Eşhızdaki bu [B] nesnesi aynı zamanda belli bir uzunluğu geçmişse, önceki [A] nesnesi de aynı uzunluğu [geride bırakarak] geçmiş demektir. Dolayısıyla 'devinmekte olan nesne', 'devinmesini tamamlamış nesne' olacaktır. Ayrıca, nesnenin devinimini OR zamanının tümünde ya da genelde 'son anı' diye alınan bir parçasında tamamlamış olduğunu söylersek (çünkü bu [son] sınırı oluşturur ve 'an'ların arasında 'zaman' bulunur), öteki zaman anlarında da aynı şekilde devinimini tamamlamış olduğu da söylenebilecektir. Ama yarı zamanı belirleyen nokta, [ikiye] bölenle aynı noktadır. Dolayısıyla nesne yarı zamanda da, parçaların hangisi olursa olsun herbirinde de devinmesini tamamlamış olacaktır. Çünkü bölmeyle birlikte hep 'an'larla sınırlanmış bir 'zaman' vardır. İmdi her 'zaman' bölünebilirse, 'an'ların arasında da 'zaman' varsa, her değişen nesne sonsuz değişim aşamalarını tamamlamış demektir. Öte yandan yokolmaksızın ve değişmesini kesmeksizin sürekli değişen bir nesnenin herbir zaman parçasında ya değişmekte olması ya da değişmiş olması/değişmesini tamamlamış olması zorunluysa, ama 'an' içinde değişmek olanaksızsa, 'an'ların herbirinde değişmesini tamamlamış olması zorunludur. Dolayısıyla 'an'lar sonsuz ise, her değişen nesne sonsuz sayıda [değişme aşamasını] tamamlamış demektir.

Ne ki, yalnızca 'değişmekte olan' nesnenin 'değişmesini

ἀλλὰ καὶ τὸ μεταβεβληκὸς ἀνάγκη μεταβάλλειν πρότερον· ἅπαν γὰρ τὸ ἔκ τινος εἴς τι μεταβεβληκὸς ἐν χρόνῳ μεταβέβληκεν. ἔστω γὰρ ἐν τῷ νῦν ἐκ τοῦ Α εἰς τὸ Β μεταβεβληκός. οὐκοῦν ἐν μὲν τῷ αὐτῷ νῦν ἐν ᾧ ἐστιν ἐν τῷ Α, οὐ μεταβέβληκεν (ἅμα γὰρ ἂν εἴη ἐν τῷ Α καὶ ἐν τῷ Β)· τὸ γὰρ μεταβεβληκός, ὅτε μεταβέβληκεν, ὅτι οὐκ ἔστιν ἐν τούτῳ, δέδεικται πρότερον· εἰ δ' ἐν ἄλλῳ, μεταξὺ ἔσται χρόνος· οὐ γὰρ ἦν ἐχόμενα τὰ νῦν. ἐπεὶ οὖν ἐν χρόνῳ μεταβέβληκεν, χρόνος δ' ἅπας διαιρετός, ἐν τῷ ἡμίσει ἄλλο ἔσται μεταβεβληκός, καὶ πάλιν ἐν τῷ ἐκείνου ἡμίσει ἄλλο, καὶ αἰεὶ οὕτως· ὥστε μεταβάλλοι ἂν πρότερον. ἔτι δ' ἐπὶ τοῦ μεγέθους φανερώτερον τὸ λεχθὲν διὰ τὸ συνεχὲς εἶναι τὸ μέγεθος ἐν ᾧ μεταβάλλει τὸ μεταβάλλον. ἔστω γάρ τι μεταβεβληκὸς ἐκ τοῦ Γ εἰς τὸ Δ. οὐκοῦν εἰ μὲν ἀδιαίρετόν ἐστι τὸ ΓΔ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον· ἐπεὶ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη μέγεθος εἶναι τὸ μεταξὺ καὶ εἰς ἄπειρα διαιρετόν· ὥστ' εἰς ἐκεῖνα μεταβάλλει πρότερον. ἀνάγκη ἄρα πᾶν τὸ μεταβεβληκὸς μεταβάλλειν πρότερον. ἡ γὰρ αὐτὴ ἀπόδειξις
237[b] καὶ ἐν τοῖς μὴ συνεχέσιν, οἷον ἔν τε τοῖς ἐναντίοις καὶ ἐν ἀντιφάσει· ληψόμεθα γὰρ τὸν χρόνον ἐν ᾧ μεταβέβληκεν, καὶ πάλιν ταὐτὰ ἐροῦμεν. ὥστε ἀνάγκη τὸ μεταβεβληκὸς μεταβάλλειν καὶ τὸ μεταβάλλον μεταβεβληκέναι, καὶ ἔσται τοῦ μὲν μεταβάλλειν τὸ μεταβεβληκέναι πρότερον, τοῦ δὲ μεταβεβληκέναι τὸ μεταβάλλειν, καὶ οὐδέποτε ληφθήσεται τὸ πρῶτον. αἴτιον δὲ τούτου τὸ μὴ εἶναι ἀμερὲς ἀμεροῦς ἐχόμενον· ἄπειρος γὰρ ἡ διαίρεσις, καθάπερ ἐπὶ τῶν αὐξανομένων καὶ καθαιρουμένων γραμμῶν.

φανερὸν οὖν ὅτι καὶ τὸ γεγονὸς ἀνάγκη γίγνεσθαι πρότερον καὶ τὸ γιγνόμενον γεγονέναι, ὅσα διαιρετὰ καὶ συνεχῆ, οὐ μέντοι αἰεὶ

[a] 20 μεταβέβληκεν E^2KΛS : μεταβέβληκεν αβ E^1 21 ἐν alt. om. J 22 ἐν alt. KΛS : om. E 23 ὅτε KΛS : ὃ E : ἐξ οὗ μεταβέβληκεν, ὅτε ci. Cornford 24 ταὐτῷ S 26 χρόνος δὲ πᾶς FHIJ : πᾶς δὲ χρόνος KS : δὲ πᾶς χρόνος T 27 ἡμίσει ἐκείνου F 28 μεταβάλοι F ἐπὶ E^2KΛP : om. E^1 30 τι FP : τὸ EHIJK 31 ἔσται E 33 διαιρετὸν E^2KΛS : διαιρετὸν εδ E^1 35 γὰρ ἡ E [b]1 ἐν ult.] ἐν τῇ I 5 ἔστι KΛT 7 πρῶτον EHIJKS : πρότερον FT 8 ἄπειρος E^1S : ἐπ' ἄπειρον E^2KΛT 9 γραμμῶν E^2KΛST : om. E^1 10 πρότερον] ποτε H 11 ὅσα διαιρετὰ E^2KΛPST : ἀδιαίρετα E^1

tamamlamış nesne' olması zorunlu değil; 'değişmesini tamamlamış olan nesne'nin de daha önce 'değişmekte olan nesne' olması zorunlu, çünkü 'bir şeyden' 'birşeye' değişmiş olan her nesne bir zaman içinde değişmiştir. Diyelim ki nesne, 'an' içinde A'dan B'ye değişmesini tamamlamış olsun. İmdi nesne A'da bulunduğu anda değişmesini tamamlamamıştır (çünkü bu durumda aynı zamanda nesne hem A'da hem de B'de olurdu): nitekim daha önce şunu göstermiştik[53]: 'değişmesini tamamlamış olan nesne' onu tamamladığı zaman [başlangıçtaki] durumda değildir. Ama eğer başka bir 'an'da ise arada bir zaman olacaktır, çünkü 'an'lar sürekli değildir. İmdi madem nesne bir zaman içinde değişmesini tamamlamıştır ve her 'zaman' bölünebilir, yarı zaman içinde nesne başka bir değişme tamamlamış olacak, yine onun yarısında da başka... bu hep böyle gidecek. Dolayısıyla nesne [değişmesini tamamlamadan] önce 'değişmekte olan nesne' olacaktır. Ayrıca değişmekte olan nesnenin, içinde değişmesini tamamlamakta olduğu büyüklük sürekli olduğundan ötürü, söylediğimiz şey büyüklükle ilgili olarak daha açıkça görülüyor. Nitekim bir nesne C'den D'ye değişmesini tamamlamış olsun: CD bölünemez ise parçasız bir nesne parçasız bir nesneyi içerecek. Madem bu olanaksız, arada bir büyüklüğün olması ve sonsuza bölünebilir olması zorunlu. Dolayısıyla nesne, büyüklükteki bu bölünmelerle daha önce değişmektedir. Demek ki, her değişmesini tamamlamış olan nesne, daha önceden 'değişmekte olan' bir nesnedir. Sürekli olmayanlarda da; sözgelişi karşıtlarda ve çelişmelerde de, aynı kanıtlama geçerli. Çünkü nesnenin, içinde değişmesini tamamladığı zamanı alacak olursak, yeniden aynı şeyleri söyleyeceğiz. Dolayısıyla 'değişmesini tamamlamış olan nesne'nin 'değişmekte olması'; 'değişmekte olan nesne'nin 'değişmesini tamamlamış' olması zorunlu: 'değişmesini tamamlamış olmak', 'değişmekte olmak'tan daha önce olacak: 'değişmekte olmak' da 'değişmesini tamamlamış olmak'tan. Ve hiçbir zaman bir 'ilk' alınamayacaktır. Bunun nedeni de 'parçası olan' bir nesnenin 'parçasız olan' bir nesneyi içermemesidir, çünkü bölme tıpkı çizgilerin eklenmelerinde ve bölünmelerindeki gibi sonsuza gidiyor.

İmdi şu çıkıyor: bölünebilir ve sürekli olan nesnelerde, 'oluşmuş olan'ın daha önce 'oluşmakta olması'; 'oluşmakta olan'ın da daha önce 'oluşmuş olması' zorunlu. Ama bu yine de hep

6. 237ª 18 — 7. 238ª 6

ὃ γίγνεται, ἀλλ' ἄλλο ἐνίοτε, οἷον τῶν ἐκείνου τι, ὥσπερ τῆς οἰκίας τὸν θεμέλιον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθειρομένου καὶ ἐφθαρμένου· εὐθὺς γὰρ ἐνυπάρχει τῷ γιγνομένῳ καὶ τῷ φθειρομένῳ ἄπειρόν τι συνεχεῖ γε ὄντι, καὶ οὐκ ἔστιν οὔτε γίγνεσθαι μὴ γεγονός τι οὔτε γεγονέναι μὴ γιγνόμενόν τι, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθείρεσθαι καὶ ἐπὶ τοῦ ἐφθάρθαι· αἰεὶ γὰρ ἔσται τοῦ μὲν φθείρεσθαι τὸ ἐφθάρθαι πρότερον, τοῦ δ' ἐφθάρθαι τὸ φθείρεσθαι. φανερὸν οὖν ὅτι καὶ τὸ γεγονὸς ἀνάγκη γίγνεσθαι πρότερον καὶ τὸ γιγνόμενον γεγονέναι· πᾶν γὰρ μέγεθος καὶ πᾶς χρόνος ἀεὶ διαιρετά. ὥστ' ἐν ᾧ ἂν ᾖ, οὐκ ἂν εἴη ὡς πρώτῳ.

7 Ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, καὶ ἐν τῷ πλείονι μεῖζον μέγεθος, ἐν τῷ ἀπείρῳ χρόνῳ ἀδύνατόν ἐστιν πεπερασμένην κινεῖσθαι, μὴ τὴν αὐτὴν αἰεὶ καὶ τῶν ἐκείνης τι κινούμενον, ἀλλ' ἐν ἅπαντι ἅπασαν. ὅτι μὲν οὖν εἴ τι ἰσοταχῶς κινοῖτο, ἀνάγκη τὸ πεπερασμένον ἐν πεπερασμένῳ κινεῖσθαι, δῆλον (ληφθέντος γὰρ μορίου ὃ καταμετρήσει τὴν ὅλην, ἐν ἴσοις χρόνοις τοσούτοις ὅσα τὰ μόριά ἐστιν, τὴν ὅλην κεκίνηται, ὥστ' ἐπεὶ ταῦτα πεπέρανται καὶ τῷ πόσον ἕκαστον καὶ τῷ ποσάκις ἅπαντα, καὶ ὁ χρόνος ἂν εἴη πεπερασμένος· τοσαυτάκις γὰρ ἔσται τοσοῦτος, ὅσος ὁ τοῦ μορίου χρόνος πολλαπλασιασθεὶς τῷ πλήθει τῶν μορίων)· ἀλλὰ δὴ κἂν μὴ ἰσοταχῶς, διαφέρει οὐθέν. ἔστω γὰρ ἐφ' ἧς τὸ ΑΒ διάστημα πεπερασμένον, ὃ κεκίνηται ἐν τῷ ἀπείρῳ, καὶ ὁ χρόνος ἄπειρος ἐφ' οὗ τὸ ΓΔ. εἰ δὴ 238ª ἀνάγκη πρότερον ἕτερον ἑτέρου κεκινῆσθαι (τοῦτο δὲ δῆλον, ὅτι τοῦ χρόνου ἐν τῷ προτέρῳ καὶ ὑστέρῳ ἕτερον κεκίνηται· αἰεὶ γὰρ ἐν τῷ πλείονι ἕτερον ἔσται κεκινημένον, ἐάν τε ἰσοταχῶς ἐάν τε μὴ ἰσοταχῶς μεταβάλλῃ, καὶ ἐάν τε ἐπιτείνῃ ἡ κίνησις ἐάν τε ἀνιῇ ἐάν τε μένῃ, οὐθὲν ἧττον), εἰλήφθω

b 12 ἀλλὰ καὶ ἄλλο F : ἀλλ' ἄλλο τι I οἷον] ὥσπερ F 13 φθειρομένου καὶ om. S 14 τῷ alt. om. ΚΛ 15 συνεχές J¹ 16 γενόμενόν H 19 καὶ om. E 20 γενόμενον E 21 ᾖ] εἴη H 22 πρῶτῳ ΛS : πρῶτος K : πρῶτον E 25 πεπερασμένον K 26 ἐν] ἐν τῷ FK πᾶσαν E 29 χρόνοις ES : τοῖς χρόνοις ΚΛ τοσούτοις om. HS 30 ἐπεὶ] ι E πεπέρανται F : πεπέρασται HIK 31 τὸ E ποσῷ I 34 μὴ EJS : εἰ μὴ FHIK διαφέρει I 35 AB S, Bonitz : α καὶ τὸ β Π ὃ] ου E 238ª 1 τὸ om. E 2 ἑτέρου om. J¹ 5 μεταβάλῃ I

oluşmakta olan nesne için sözkonusu değil, kimi zaman başka bir nesne için de sözkonusu, sözgelişi nesnelerin parçalarından biri, diyelim evin temeli. Yokolmakta olan ve yokolmuş olan nesneyle ilgili olarak da bu böyle: çünkü oluşan ve yokolan nesnede, sürekli olduklarından ötürü, bir sonsuzluk içkindir ve ne oluşmamış nesnenin oluşmakta olması ne de oluşmakta olmayan bir nesnenin oluşmuş olması olanaklı. Yokolmakta olmak ve yokolmuş olmak konusunda da bu böyle, çünkü yokolmuş olmak, yokolmakta olmaktan hep daha önce olacak, yokolmakta olmak da yokolmuş olmaktan hep daha önce olacaktır. Öyleyse şu çıkıyor: hem 'oluşmuş olan'ın daha önce 'oluşmakta olması' hem de 'oluşmakta olan'ın daha önce 'oluşmuş olması' zorunlu. Çünkü her büyüklük ve her 'zaman' hep bölünür. Dolayısıyla bunların içinde 'ilk' diye bir şey olamaz.

7 Madem her devinen nesne bir zaman içinde deviniyor, daha çok zamanda da daha büyük bir uzunluğu geçiyor, sonsuz zaman içinde [yalnızca] sınırlı bir devinim gerçekleştirmek olanaksızdır: [sözkonusu olan], devinen nesnenin hep aynı devinimi ya da onun bir parçasını gerçekleştirmesi değil, zamanın hepsinde devinimin hepsini gerçekleştirmesi. İmdi bir nesne sabit bir hızla devinse, sınırlı zaman içinde sınırlı [büyüklüğü] geçmesi zorunlu, bu açık (çünkü bu devinimin ölçüsü olacak bir parça alındıkta, parçalar ne kadarsa ona eş olan zaman içinde bütün devinimi gerçekleştirmiş olur; dolayısıyla parçalar sınırlı olduğundan ötürü - herbir parça nicelik açısından sınırlıdır, parçaların hepsi de ' o kadar kez' olmaları açısından sınırlı - , zaman da sınırlı olacaktır; çünkü parçanın zamanı parçaların çokluğu ile çarpılınca ne kadarsa, zaman da o kadar olacaktır); ama devinim sabit hızla gerçekleştirilmezse yine hiçbir ayırım yok: diyelim ki, sonsuz zaman içinde geçilecek sınırlı uzunluk AB olsun, CD de sonsuz zaman: [CD]' nin bir parçasının öteki parçasından önce geçilmesi zorunlu ise (bu açık, daha önceki zamanda başka bir parça, daha sonraki zamanda başka bir parça geçilir, nitekim zaman arttıkça başka bir parça geçilmiş olacaktır - ister sabit hızda, ister sabit olmayan hızda devinilsin ; devinim ister artsın ister azalsın ister aynı kalsın hiç farketmez -),

δή τι τοῦ AB διαστήματος, τὸ AE, ὃ καταμετρήσει τὴν AB. τοῦτο δὴ τοῦ ἀπείρου ἔν τινι ἐγένετο χρόνῳ· ἐν ἀπείρῳ γὰρ οὐχ οἷόν τε· τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ. καὶ πάλιν ἕτερον δὴ ἐὰν λάβω ὅσον τὸ AE, ἀνάγκη ἐν πεπερασμένῳ χρόνῳ· τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ. καὶ οὕτω δὴ λαμβάνων, ἐπειδὴ τοῦ μὲν ἀπείρου οὐθέν ἐστι μόριον ὃ καταμετρήσει (ἀδύνατον γὰρ τὸ ἄπειρον εἶναι ἐκ πεπερασμένων καὶ ἴσων καὶ ἀνίσων, διὰ τὸ καταμετρηθήσεσθαι τὰ πεπερασμένα πλήθει καὶ μεγέθει ὑπό τινος ἑνός, ἐάν τε ἴσα ᾖ ἐάν τε ἄνισα, ὡρισμένα δὲ τῷ μεγέθει, οὐθὲν ἧττον), τὸ δὲ διάστημα τὸ πεπερασμένον ποσοῖς τοῖς AE μετρεῖται, ἐν πεπερασμένῳ ἂν χρόνῳ τὸ AB κινοῖτο (ὡσαύτως δὲ καὶ ἐπὶ ἠρεμήσεως)· ὥστε οὔτε γίγνεσθαι οὔτε φθείρεσθαι οἷόν τε ἀεί τι τὸ αὐτὸ καὶ ἕν.

ὁ αὐτὸς δὲ λόγος καὶ ὅτι οὐδ' ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον οἷόν τε κινεῖσθαι οὐδ' ἠρεμίζεσθαι, οὐθ' ὁμαλῶς κινούμενον οὔτ' ἀνωμάλως. ληφθέντος γάρ τινος μέρους ὃ ἀναμετρήσει τὸν ὅλον χρόνον, ἐν τούτῳ ποσόν τι διέξεισιν τοῦ μεγέθους καὶ οὐχ ὅλον (ἐν γὰρ τῷ παντὶ τὸ ὅλον), καὶ πάλιν ἐν τῷ ἴσῳ ἄλλο, καὶ ἐν ἑκάστῳ ὁμοίως, εἴτε ἴσον εἴτε ἄνισον τῷ ἐξ ἀρχῆς· διαφέρει γὰρ οὐδέν, εἰ μόνον πεπερασμένον ἕκαστον· δῆλον γὰρ ὡς ἀναιρουμένου τοῦ χρόνου τὸ ἄπειρον οὐκ ἀναιρεθήσεται, πεπερασμένης τῆς ἀφαιρέσεως γιγνομένης καὶ τῷ ποσῷ καὶ τῷ ποσάκις· ὥστ' οὐ δίεισιν ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον. οὐδέν τε διαφέρει τὸ μέγεθος ἐπὶ θάτερα ἢ ἐπ' ἀμφότερα εἶναι ἄπειρον· ὁ γὰρ αὐτὸς ἔσται λόγος. ἀποδεδειγμένων δὲ τούτων φανερὸν ὅτι οὐδὲ τὸ πεπερασμένον μέγεθος τὸ ἄπειρον ἐνδέχεται διελθεῖν ἐν πεπερασμένῳ διὰ τὴν αὐτὴν αἰτίαν· ἐν γὰρ τῷ μορίῳ τοῦ χρόνου πεπερασμένου δίεισι, καὶ ἐν ἑκάστῳ ὡσαύτως, ὥστ' ἐν τῷ παντὶ πε-

[a] 7 τὸ om. HK 8 τούτου E 10 ἂν λαβών E 13 τὸ om. I 14 πλήθει καὶ μεγέθει EHJKPS : πλήθη καὶ μεγέθη FI 15 ᾖ . . . ἄνισα om. E^1 17 ποσοῖς ΠP : πεπερασμένοις ποσοῖς Bonitz τῶν K μετρεῖται E^2HIJ^1KP : μετρήσεται E^1 : μετρεῖσθαι J^1 χρόνῳ ἂν F 18–19 ὥστε . . . ἕν ΠS : secl. Prantl 19 τι om. F 21 τὸ E 22 ὃ] τοῦ χρόνου ὃ I 25 εἴτε alt.] ἔσται E 26 γὰρ] δὲ H οὐδενὶ μόνον E^1 πεπερισμένον] τι πεπερασμένον F : πεπερασμένον τι HIJK 27 γὰρ] πεπερασμένον E^1 οὐκ om. F 28 ἀνδιαιρεθήσεται E : συναναιρεθήσεται F 29 ἐν τῷ F 30 δὲ EJ^1 θάτερα ἢ ἐπ' ἀμφότερα E^2FIJKS : ἀμφότερα ἢ ἐπὶ θάτερα H : θάτερα E 31 ἄπειρον om. E^1 32 δεδειγμένων S 34 διὰ] χρόνῳ διὰ KΛ 35 ἐν pr. om. F παντὶ] παντὶ τὸ F

AB'nin bir parçası, AB'yi ölçecek olan AE parçası alınsa: bu sonsuz zamanın belli bir parçasında oluşmuş demektir ; nitekim sonsuz zaman [bütün] bu olanaklı değil, çünkü [devinimin] hepsi sonsuz zaman içinde. Yine, AE kadar başka bir parça alsam, [devinimin] sınırlı zaman içinde alınması zorunlu, çünkü [devinimin] hepsi sonsuz zaman içinde. Hep böyle alırsak, sonsuzun ölçüsü olacak hiçbir parça olmadığından ötürü [sonsuz'un sınırlı parçalardan oluşması olanaksız -parçalar ister eşit olsun ister eşit olmasın, çünkü sınırlı nesneler çokluk ve büyüklük açısından herhangi bir birim ile ölçüleceklerdir, bu eşit de olsa eşit olmasa da, büyüklükçe sınırlıdır, hiç farketmez), sınırlı uzunluk, nice AE varsa onlarla ölçüleceğinden ötürü, AB sınırlı bir zamanda geçilebilir (durgunluk da ilgili olarak da bu böyle). Dolayısıyla tek ve aynı olan bir nesnenin ne [hep sonsuz zaman içinde] oluşması ne de hep [sonsuz zaman içinde] yokolması olanaklı.

Aynı temellendirme şu konuda da geçerli: sınırlı bir zaman içinde, devinen nesne ister sabit hızda ister sabit olmayan hızda devinsin, ne sonsuz devinme olanaklı ne de sonsuz durgunluk. Çünkü tüm zamanın ölçüsü olacak bir parça alındıkta, bu zaman içinde nesne bütün uzunluğu değil, uzunluğun belli nicelikte bir parçasını geçecektir (çünkü bütün uzunluğun zamanın hepsi içinde geçecek); yine ona eşit başka bir zaman parçasında başka bir uzunluğu geçecek, herbir zaman parçasında bu böyle gidecektir [sonra alınan parçalar] başlangıçtakiyle eşit olsa da olmasa da, herbir parça sınırlı oldukça, önemli değil. Açık ki, zaman ayrıldıkça,geçtikçe nesnenin ayrılmış-geçilmiş olmayacaktır, çünkü hem nicelik açısından hem de 'kaç kez olması' açısından sınırlı bir ayırma olacaktır. Dolayısıyla nesne sınırlı bir zaman içinde sonsuzu geçemiyecektir. Büyüklüğün bir [ucunda] ya da heriki [ucunda] sonsuz olması da hiç önemli değil, çünkü temellendirme aynı olacaktır. Bunlar kanıtlandığında çıkan şu: aynı nedenlerden ötürü sınırlı bir büyüklüğün sınırlı bir zaman içinde 'sonsuz'u geçmesi olası değil, çünkü zamanın bir parçasında sınırlı bir uzunluğu geçer, herbir parçasında da bu böyle gider; dolayısıyla hepsinde de sınırlı bir

7. 238ª 7 — 8. 238ᵇ 30

περασμένον. ἐπεὶ δὲ τὸ πεπερασμένον οὐ δίεισι τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, δῆλον ὡς οὐδὲ τὸ ἄπειρον τὸ πεπερασμένον· εἰ γὰρ τὸ ἄπειρον τὸ πεπερασμένου, ἀνάγκη καὶ τὸ πεπερασμένον διιέναι τὸ ἄπειρον. οὐδὲν γὰρ διαφέρει ὁποτερονοῦν εἶναι τὸ κινούμενον· ἀμφοτέρως γὰρ τὸ πεπερασμένον δίεισι τὸ ἄπειρον. ὅταν γὰρ κινῆται τὸ ἄπειρον ἐφ' ᾧ τὸ Α, ἔσται τι αὐτοῦ κατὰ τὸ Β τὸ πεπερασμένον, οἷον τὸ ΓΔ, καὶ πάλιν ἄλλο καὶ ἄλλο, καὶ αἰεὶ οὕτως. ὥσθ' ἅμα συμβήσεται τὸ ἄπειρον κεκινῆσθαι τὸ πεπερασμένον καὶ τὸ πεπερασμένον διεληλυθέναι τὸ ἄπειρον· οὐδὲ γὰρ ἴσως δυνατὸν ἄλλως τὸ ἄπειρον κινηθῆναι τὸ πεπερασμένον ἢ τῷ τὸ πεπερασμένον διιέναι τὸ ἄπειρον, ἢ φερόμενον ἢ ἀναμετροῦν. ὥστ' ἐπεὶ τοῦτ' ἀδύνατον, οὐκ ἂν δίοι τὸ ἄπειρον τὸ πεπερασμένον. ἀλλὰ μὴν οὐδὲ τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον δίεισιν· εἰ γὰρ τὸ ἄπειρον, καὶ τὸ πεπερασμένον· ἐνυπάρχει γὰρ τῷ ἀπείρῳ τὸ πεπερασμένον. ἔτι δὲ καὶ τοῦ χρόνου ληφθέντος ἡ αὐτὴ ἔσται ἀπόδειξις. 238ᵇ

ἐπεὶ δ' οὔτε τὸ πεπερασμένον τὸ ἄπειρον οὔτε τὸ ἄπειρον τὸ πεπερασμένον οὔτε τὸ ἄπειρον τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινεῖται, φανερὸν ὅτι οὐδὲ κίνησις ἔσται ἄπειρος ἐν πεπερασμένῳ χρόνῳ· τί γὰρ διαφέρει τὴν κίνησιν ἢ τὸ μέγεθος ποιεῖν ἄπειρον; ἀνάγκη γάρ, εἰ ὁποτερονοῦν, καὶ θάτερον εἶναι ἄπειρον· πᾶσα γὰρ φορὰ ἐν τόπῳ.

8 Ἐπεὶ δὲ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ τὸ πεφυκὸς ὅτε πέφυκε καὶ οὗ καὶ ὡς, ἀνάγκη τὸ ἱστάμενον ὅτε ἵσταται κινεῖσθαι· εἰ γὰρ μὴ κινεῖται, ἠρεμήσει, ἀλλ' οὐκ ἐνδέχεται ἠρεμίζεσθαι τὸ ἠρεμοῦν. τούτου δ' ἀποδεδειγμένου φανερὸν ὅτι καὶ ἐν χρόνῳ ἵστασθαι ἀνάγκη (τὸ γὰρ κινούμενον ἐν χρόνῳ κινεῖται, τὸ δ' ἱστάμενον δέδεικται κινούμενον, ὥστε ἀνάγκη ἐν χρόνῳ ἵστασθαι)· ἔτι δ' εἰ τὸ μὲν θᾶττον καὶ βραδύτερον ἐν χρόνῳ λέγομεν, ἵστασθαι δ' ἔστιν θᾶττον καὶ βραδύτερον.

ª 36 δὲ] οὖν HK ᵇ 1 πεπερασμένον χρόνῳ. εἰ F 3 ὁπότερον HK 6 τὸ tert. om. ΚΛ 7 καὶ ἄλλο om. S ὡσαύτως H 10 τὸ ἄπειρον ἄλλως HK 10–11 ἢ τῷ πεπερασμένῳ E¹ 11 διεληλυθέναι H 12 ταὐτ' HIJ ἀδύνατα H 14 εἰ γὰρ om. E¹ 15 ἐνυπάρχει . . . πεπερασμένον om. H 16 ἡ E²ΚΛS : γὰρ ἡ E¹ 17 τὸ pr. om. F οὔτε] δίεισιν οὔτε ΚΛS 18 τὸ ἄπειρον alt. om. E¹, erasit J . 21 εἰ om. FHJ¹K 23 ἢ pr. om. J¹ 29 εἰ ΚΛS : om. EP 30 ἐν . ./ . βραδύτερον om. K¹ δ' ἔστιν fecit E

uzunluk geçer. Ne ki, sınırlı bir nesne 'sonsuz'u sınırlı bir zamanda geçmediğinden ötürü, açık ki, 'sonsuz' olan da 'sınırlı' olanı geçemez, çünkü sonsuz olan sınırlı olanı [geçecek olsa], sınırlı olanın da sonsuz olanı geçmesi zorunlu olur, nitekim ikisinden hangisinin 'devinen' olması hiç farketmez, heriki biçimde de sınırlı olan sonsuz olanı geçmiş olacaktır: sonsuz olan A devindiğinde, onun bir parçası, sözgelişi CD, sınırlı olan B'de devinmiş olacak, yine başka parçası da başka bir sınırlı olanda [devinmiş olacak], bu hep böyle gidecektir. Dolayısıyla aynı zamanda sonsuz olanın sınırlı olan boyunca devinmiş olması, hem de sınırlı olanın sonsuz olanı geçmiş olması sözkonusu olacaktır. Çünkü sonsuz olanın sınırlı olan üzerindeki devinimi şundan başka biçimde olanaklı değil: sınırlı olan, sonsuz olanı ya yer değiştirerek ya da onu ölçerek geçer. Dolayısıyla bu olanaksız olduğundan ötürü, sonsuz olan sınırlı olanı geçemez. Ne ki, sonsuz olan, sınırlı zaman içinde sonsuz olanı da geçemez, çünkü sonsuzu geçse, sınırlıyı da geçer, çünkü sınırlı olan sonsuz olanın içinde. Yine zaman olarak alındıkta kanıtlama aynı olacaktır. 238b

Madem sınırlı bir zamanda ne sınırlı olan sonsuz olanı, ne sonsuz olan sınırlı olanı, ne de sonsuz olan sonsuz olanı geçemiyor, açık ki, sınırlı bir zaman içindeki devinim sonsuz olamaz. Çünkü devinimi ya da büyüklüğü sonsuz diye almak arasında ne ayırım var? İkisinden hangisi [sonsuz] olursa olsun, öteki de sonsuz olacak, çünkü her yer değiştirme bir 'yerde'dir.

8 Madem her nesne doğal olan zamanda, yerde ve tarzda ya doğal olarak deviniyor ya da duruyor, 'yerleşen' nesnenin yerleşmekte olduğu sırada devinmesi zorunlu, çünkü devinmese duruyor olurdu, oysa durmakta olan nesnenin duruyor olması olası değil. Bu kanıtlandıkta çıkan şu: [nesnenin] bir zaman içinde yerleşmesi zorunlu (devinen nesne bir zaman içinde devinir; yerleşen nesnenin devindiği gösterildi, dolayısıyla [nesnenin] bir zaman içinde yerleşmesi zorunlu). Ayrıca 'daha hızlı' ile 'daha yavaş'ı "zaman içinde" anlamında kullanıyorsak, daha hızlı ve daha yavaş

ἐν ᾧ δὲ χρόνῳ πρώτῳ τὸ ἱστάμενον ἵσταται, ἐν ὁτῳοῦν ἀνάγκη τούτου ἵστασθαι. διαιρεθέντος γὰρ τοῦ χρόνου εἰ μὲν ἐν μηδετέρῳ τῶν μερῶν ἵσταται, οὐδ' ἐν τῷ ὅλῳ, ὥστ' οὐκ ἂν ἵσταιτο τὸ ἱστάμενον· εἰ δ' ἐν θατέρῳ, οὐκ ἂν ἐν πρώτῳ τῷ ὅλῳ ἵσταιτο· καθ' ἕτερον γὰρ ἐν τούτῳ ἵσταται, καθάπερ ἐλέχθη καὶ ἐπὶ τοῦ κινουμένου πρότερον. ὥσπερ δὲ τὸ κινούμενον οὐκ ἔστιν
239[a] ἐν ᾧ πρώτῳ κινεῖται, οὕτως οὐδ' ἐν ᾧ ἵσταται τὸ ἱστάμενον· οὔτε γὰρ τοῦ κινεῖσθαι οὔτε τοῦ ἵστασθαί ἐστίν τι πρῶτον. ἔστω γὰρ ἐν ᾧ πρώτῳ ἵσταται ἐφ' ᾧ τὸ AB. τοῦτο δὴ ἀμερὲς μὲν οὐκ ἐνδέχεται εἶναι (κίνησις γὰρ οὐκ ἔστιν ἐν τῳ ἀμερεῖ διὰ τὸ κεκινῆσθαί τι ἂν αὐτοῦ, τὸ δ' ἱστάμενον δέδεικται κινούμενον)· ἀλλὰ μὴν εἰ διαιρετόν ἐστιν, ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἵσταται· τοῦτο γὰρ δέδεικται πρότερον, ὅτι ἐν ᾧ πρώτῳ ἵσταται, ἐν ὁτῳοῦν τῶν ἐκείνου ἵσταται. ἐπεὶ οὖν χρόνος ἐστὶν ἐν ᾧ πρώτῳ ἵσταται, καὶ οὐκ ἄτομον, ἅπας δὲ χρόνος εἰς ἄπειρα μεριστός, οὐκ ἔσται ἐν ᾧ πρώτῳ ἵσταται.

οὐδὲ δὴ τὸ ἠρεμοῦν ὅτε πρῶτον ἠρέμησεν ἔστιν. ἐν ἀμερεῖ μὲν γὰρ οὐκ ἠρέμησεν διὰ τὸ μὴ εἶναι κίνησιν ἐν ἀτόμῳ, ἐν ᾧ δὲ τὸ ἠρεμεῖν, καὶ τὸ κινεῖσθαι (τότε γὰρ ἔφαμεν ἠρεμεῖν, ὅτε καὶ ἐν ᾧ πεφυκὸς κινεῖσθαι μὴ κινεῖται τὸ πεφυκός)· ἔτι δὲ καὶ τότε λέγομεν ἠρεμεῖν, ὅταν ὁμοίως ἔχῃ νῦν καὶ πρότερον, ὡς οὐχ ἑνί τινι κρίνοντες ἀλλὰ δυοῖν τοῖν ἐλαχίστοιν· ὥστ' οὐκ ἔσται ἐν ᾧ ἠρεμεῖ ἀμερές. εἰ δὲ μεριστόν, χρόνος ἂν εἴη, καὶ ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἠρεμήσει. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται ὃν καὶ ἐπὶ τῶν πρότερον· ὥστ' οὐθὲν ἔσται πρῶτον. τούτου δ' αἴτιον ὅτι ἠρεμεῖ μὲν καὶ κινεῖται πᾶν ἐν χρόνῳ, χρόνος δ' οὐκ ἔστι πρῶτος οὐδὲ μέγεθος οὐδ' ὅλως συνεχὲς οὐδέν· ἅπαν γὰρ εἰς ἄπειρα μεριστόν.

[b] 31 δὲ om. E[1]P πρώτῳ E[1]JPS : πρώτως FHK τὸ ἱστάμενον ΠP : om. S ἱστάμενον fecit E[1] : ἠρεμιζόμενον E[2] 32 τούτου] τοῦ J[1] εἰ μὴ ἐν F 33 ἵσταιτο] ἵστα E : ἵσταται FHI[1]J 34 τῷ E[2]JPS : om. E[1]FHIK ἵστατο E[2]HIJ 35 ἀλλὰ καθ' E[2] ἕτερον EFP : ἑκάτερον HIJKS γὰρ om. E 239[a] 1 πρώτως H 2 πρότερον H 5 ἂν E[1]P : om. E[2]KΛS 7 πρώτῳ EIJS : πρώτως FHK 8 τῶν om. I οὖν EFHKS : ουν ὁ IJ 9 πρωτω EFIJS : πρώτως HK ἄτομον KΛS : ἄτομος E δὲ KΛS : γὰρ E 10 ἐστιν F πρώτως H οὐδὲ E[2]KΛP : οὐ E[1] 11 μὲν om. HK 13–15 ὅτε . . . ἠρεμεῖν om. F 14 κινῆται K 15 τότε om. E[1]T 17 ἐν οἷς I 19 προτέρων HIK 22 ἄπειρον S

yerleşmek de olanaklı. Yerleşen nesnenin 'ilk' yerleştiği zaman konusuna gelince: zamanın her ne parçasında olursa olsun yerleşmesi zorunlu, çünkü zaman [ikiye] bölündükte, nesne parçalardan hiçbirinde yerleşmemişse, hiçbirinde yerleşmemiş demektir, dolayısıyla yerleşmekte olan nesne yerleşmemekte olacaktır. İki parçadan [yalnızca] birinde yerleşse, bütün olarak 'ilk' anlamda yerleşmemiş olacaktır, çünkü daha önce devinen nesneyle de ilgili olarak dediğimiz gibi[54], bu zaman içinde 'başka bir şeye göre' (başka bir şey açısından; kendisi açısından, kendi başına değil) yerleşmiş olacaktır. Nitekim nasıl devinen nesnenin 'ilk' olarak devindiği bir zaman parçası yoksa, yerleşen nesnenin de 'ilk' olarak yerleştiği [bir zaman parçası yok]; ne devinmenin 'ilk' parçası diye bir şey var ne de yerleşmenin. Diyelim ki, nesnenin ilk yerleşme noktası AB: bunun parçasız olması olası değil, nesnenin bir parçası devinimini tamamlamış olacağından ötürü, parçasız bir nesnede devinim olmaz, yerleşmekte olan nesnenin devindiğini de gösterdik). Ne ki, AB bölünebilirse onun parçalarının hangisi olursa olsun herbirinde yerleşme gerçekleşecektir, çünkü daha önce nesnenin 'ilk' olarak yerleşeceği zaman parçasının, zamanın hangisi olursa olsun herbir parçasında yerleştiğini göstermiştik. İmdi nesnenin 'ilk' olarak yerleştiği bir zaman olması gerektiğinden, bu zaman ise bölünmez olmadığından, her 'zaman' sonsuza değin parçalara ayrıldığından ötürü, nesnenin 'ilk' yerleşeceği zaman parçası olmayacaktır.

İmdi duran nesnenin [durgun olan nesnenin] 'ilk' durgun olduğu zaman da yok, çünkü bölünmez bir zaman parçasında devinim olmadığından ötürü, parçasız bir zaman içinde durma da yok. Devinmenin olduğu 'yerde' durgunluk vardır (doğal olarak devinebilen ama doğal olan zamanda devinmeyen nesnenin durgun olduğunu söylemiştik). Ayrıca [bir nesne] 'şimdi' ve 'daha önce' aynı biçimde olduğu zaman o nesnenin durgun olduğunu söylüyoruz, demek ki, tek bir zaman parçası açısından değil, en az iki zaman parçası açısından onu değerlendiriyoruz; dolayısıyla nesne durgun olduğu zaman, parçasız olmayacaktır. Parçalı ise, bütün bir zaman olacak, nesne de onun her ne parçası olursa olsun o parçasında durgun olacaktır. Bunun nedeni de şu: her nesne bir zaman içinde durgun olur ve devinir; 'ilk' zaman diye bir şey ise yoktur, ilk büyüklük ve genelde ilk sürekli bir şey de yoktur, çünkü bunların hepsi sonsuza değin parçalanır.

8. 238b 31 — 9. 239b 14

ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται καὶ ἔκ τινος εἴς τι μεταβάλλει, ἐν ᾧ χρόνῳ κινεῖται καθ' αὑτὸν καὶ μὴ τῷ ἐν ἐκείνου τινί, ἀδύνατον τότε κατά τι εἶναι πρῶτον τὸ κινούμενον. τὸ γὰρ ἠρεμεῖν ἐστιν τὸ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινὰ καὶ αὐτὸ καὶ τῶν μερῶν ἕκαστον. οὕτως γὰρ λέγομεν ἠρεμεῖν, ὅταν ἐν ἄλλῳ καὶ ἄλλῳ τῶν νῦν ἀληθὲς ᾖ εἰπεῖν ὅτι ἐν τῷ αὐτῷ καὶ αὐτὸ καὶ τὰ μέρη. εἰ δὲ τοῦτ' ἔστι τὸ ἠρεμεῖν, οὐκ ἐνδέχεται τὸ μεταβάλλον κατά τι εἶναι ὅλον κατὰ τὸν πρῶτον χρόνον· ὁ γὰρ χρόνος διαιρετὸς ἅπας, ὥστε ἐν ἄλλῳ καὶ ἄλλῳ αὐτοῦ μέρει ἀληθὲς ἔσται εἰπεῖν ὅτι ἐν ταὐτῷ ἐστιν καὶ αὐτὸ καὶ τὰ μέρη. εἰ γὰρ μὴ οὕτως ἀλλ' ἐν ἑνὶ μόνῳ τῶν νῦν, οὐκ ἔσται χρόνου οὐδένα κατά τι, ἀλλὰ κατὰ τὸ πέρας τοῦ χρόνου. ἐν δὲ τῷ νῦν ἔστιν μὲν ἀεὶ κατά τι μὲν ὄν, οὐ μέντοι ἠρεμεῖ· οὔτε γὰρ κινεῖσθαι οὔτ' ἠρεμεῖν ἔστιν ἐν τῷ νῦν, ἀλλὰ μὴ κινεῖσθαι μὲν ἀληθὲς ἐν τῷ νῦν καὶ εἶναι κατά τι, ἐν χρόνῳ δ' οὐκ ἐνδέχεται εἶναι κατά τι ἠρεμοῦν· συμβαίνει γὰρ τὸ φερόμενον ἠρεμεῖν.

9 Ζήνων δὲ παραλογίζεται· εἰ γὰρ αἰεί, φησίν, ἠρεμεῖ πᾶν [ἢ κινεῖται] ὅταν ᾖ κατὰ τὸ ἴσον, ἔστιν δ' ἀεὶ τὸ φερόμενον ἐν τῷ νῦν, ἀκίνητον τὴν φερομένην εἶναι ὀϊστόν. τοῦτο δ' ἐστὶ ψεῦδος· οὐ γὰρ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν τῶν ἀδιαιρέτων, ὥσπερ οὐδ' ἄλλο μέγεθος οὐδέν. τέτταρες δ' εἰσὶν οἱ λόγοι περὶ κινήσεως Ζήνωνος οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσιν, πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν ἐν τοῖς πρότερον λόγοις. δεύτερος δ' ὁ καλούμενος Ἀχιλλεύς· ἔστι δ'

[a] 24 αὐτὸ EFHJKPS ὧτ ἐν E¹HIJ et fort. S : τῶν ἐν E³ : τῶν FK : τῷ ἐν τῶν fort. S, Gaye 25 πρῶτον εἶναι I 26 τῷ ἐν τῷ J χρόνῳ εἶναι τινα EK : χρόνον τινὰ εἶναι I 28 καὶ HIJKS : καὶ ἐν EF τῷ KΛ 29 τῷ αὐτῷ KΛS : ᾧ τοῦτο E 32 καὶ ἐν ἄλλῳ FJ εἰπεῖν ἐστὶν F 33 ἐν om. F : ἐφ' E² 34 τῷ E³KΛ 35 μὲν ὂν Prantl : μένον ΠP : μόνον ut vid. ST [b] 1 ἠρεμεῖν E 2 μὴ] μὴν E¹ ἐν τῷ νῦν ἀληθὲς καὶ κατά τι εἶναι H 3 τι scripsi : τὸ E¹KΛPS : τι τὸ E² 4 γὰρ καὶ τὸ I 5 ἢ E¹ 6 ἢ κινεῖται ΠPS : om. T, secl. Zeller : an οὐ κινεῖται? ante ὅταν retento ἢ κιν. add. οὐ κινεῖται δὲ Emminger, οὐδὲν δὲ κινεῖται Diels, καὶ μὴ κινεῖται Cornford, ἠρεμεῖ δὲ Lachelier αἰεὶ ΠST : om. P 7 ἐν τῷ νῦν EHIJKPS : κατὰ τὸ ἴσαν fort. T : ἐν τῷ νῦν τῷ (τῷ om. Zeller) κατὰ τὸ ἴσον fecit F, Zeller : ἐν τῷ νῦν, πᾶν δὲ κατὰ τὸ ἴσον ἐν τῷ νῦν Diels 9 τῶν ES : om. KΛ 10 οἱ KΛST : om. E 12 δεῖν εἰς τὸ ἥμισυ πρότερον H 13 ἐν om. I προτέροις S : πρόσθεν KΛ

Madem her devinen nesne bir zaman içinde devinir ve 'bir şeyden' bir şeye' değişir, devinen nesnenin bir parçası açısından değil, 'kendi bütünü' devindiği, (bütünüyle devindiği) zaman içinde 'ilk' anlamda bir yerde olması olanaksız. Çünkü belli bir zaman, hem kendisi hem de parçalarının herbiri açısından, aynı yerde olmak, 'durgun olmaktır'. Nitekim başka başka 'an'lar içinde hem kendisinin hem de parçalarının aynı [yerde] olduğunu söylemek doğru olduğu zaman, biz o nesnenin 'durgun' olduğunu söyleriz. Ama durgunluk demek bu ise, değişen nesnenin ilk zamana göre bütün olarak bir yerde olması olası değil, çünkü her 'zaman' [parçası] bölünebilir, dolayısıyla başka başka zaman parçaları içinde nesnenin kendisinin ve parçalarının aynı [yerde] olduğunu söylemek doğru olacaktır. Yok böyle değil de, nesne yalnızca bir 'an' içinde [aynı yerde] ise, nesne hiçbir zaman boyunca belli bir [durumda] olmayacaktır, ancak zamanın sınırında olacaktır. Ne ki, 'an' içinde nesne hep belli bir [yerde] olsa bile, yine de durgun olmayacaktır, çünkü 'an' içinde ne devinmek ne de durgun olmak olanaklı; 'an' içinde devinmek değil, bir [yerde] olmak doğru, oysa bir zaman içinde bir yerde durgun olmak olası değil, çünkü bu durumda yer değiştirmekte olan nesnenin durgun olması sözkonusu olacaktır.

9 Zenon yanlış akıl yürütüyor: diyor ki, bir nesne [kendine] eşit yerde olduğu sürece durmaktaysa[55], yer değiştiren nesne de her zaman 'an' içindeyse, uçmakta (yer değiştirmekte) olan ok devinimsizdir. Oysa bu yanlış, çünkü zaman bölünemeyen 'an'lardan biraraya geliyor değil; nasıl ki, başka hiçbir büyüklük [bölünemeyen parçalardan] oluşmaz. Zenon'un devinim üzerine, bunları çözmeye kalkanlara güçlük çıkaran dört savı var: ilki, devinen nesnenin, sona varmadan daha önce [yolun] yarısına varması gerektiğinden ötürü, devinimin olmadığı konusunda; biz bunu daha önceki temellendirmelerimizle çürüttük[56]. İkincisi, "Akhilleus" diye adlandırılan şu sav: koşmakta olan 'en yavaş'a, 'en hızlı'

οὗτος, ὅτι τὸ βραδύτατον οὐδέποτε καταληφθήσεται θεοῦ ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον ὅθεν ὥρμησεν τὸ φεῦγον, ὥστε ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον. ἔστιν δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῷ διιχοτομεῖν, διαφέρει δ' ἐν τῷ διαιρεῖν μὴ δίχα τὸ προσλαμβανόμενον μέγεθος. τὸ μὲν οὖν μὴ καταλαμβάνεσθαι τὸ βραδύτερον συμβέβηκεν ἐκ τοῦ λόγου, γίγνεται δὲ παρὰ ταὐτὸ τῇ διιχοτομίᾳ (ἐν ἀμφοτέροις γὰρ συμβαίνει μὴ ἀφικνεῖσθαι πρὸς τὸ πέρας διαιρουμένου πως τοῦ μεγέθους· ἀλλὰ πρόσκειται ἐν τούτῳ ὅτι οὐδὲ τὸ τάχιστον τετραγωδημένον ἐν τῷ διώκειν τὸ βραδύτατον), ὥστ' ἀνάγκη καὶ τὴν λύσιν εἶναι τὴν αὐτήν. τὸ δ' ἀξιοῦν ὅτι τὸ προέχον οὐ καταλαμβάνεται, ψεῦδος· ὅτε γὰρ προέχει, οὐ καταλαμβάνεται· ἀλλ' ὅμως καταλαμβάνεται, εἴπερ δώσει διεξιέναι τὴν πεπερασμένην. οὗτοι μὲν οὖν οἱ δύο λόγοι, τρίτος δ' ὁ νῦν ῥηθείς, ὅτι ἡ ὀιστὸς φερομένη ἕστηκεν. συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν· μὴ διδομένου γὰρ τούτου οὐκ ἔσται ὁ συλλογισμός.

τέταρτος δ' ὁ περὶ τῶν ἐν τῷ σταδίῳ κινουμένων ἐξ ἐναντίας ἴσων ὄγκων παρ' ἴσους, τῶν μὲν ἀπὸ τέλους τοῦ σταδίου τῶν δ' ἀπὸ μέσου, ἴσῳ τάχει, ἐν ᾧ συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον τῷ διπλασίῳ τὸν ἥμισυν. ἔστι δ' ὁ παραλογισμὸς ἐν τῷ τὸ μὲν παρὰ κινούμενον τὸ δὲ παρ' ἠρεμοῦν τὸ ἴσον μέγεθος ἀξιοῦν τῷ ἴσῳ τάχει τὸν ἴσον φέρεσθαι χρόνον· τοῦτο δ' ἐστὶ ψεῦδος. οἷον ἔστωσαν οἱ ἑστῶτες ἴσοι ὄγκοι ἐφ' ὧν τὰ ΑΑ, οἱ δ' ἐφ' ὧν τὰ ΒΒ ἀρχόμενοι ἀπὸ τοῦ μέσου, ἴσοι τὸν ἀριθμὸν τούτοις ὄντες καὶ τὸ μέγεθος, οἱ δ' ἐφ' ὧν τὰ ΓΓ ἀπὸ τοῦ ἐσχάτου, ἴσοι τὸν ἀριθμὸν ὄντες τούτοις καὶ τὸ μέγεθος, καὶ ἰσοταχεῖς τοῖς Β.

b 15 βραδύτατον EST : βραδύτερον ΚΛ 17 προσέχειν E^1 23 τούτου E 24 ἐν om. HK 25 βραδύτερον FHK 26 καὶ om. F εἶναι ἑκατέρων τὴν E τὸ alt. om. HK 29 δεῖσει E^2 οἱ λόγοι δύο FI : δύο λόγοι S : λόγοι δυο HJK 32 διδομένου ΚΛΤ : δεδομένου E 33 τῷ EST : om. ΚΛ 34 ὄγκος I ἀπὸ] ἀπὸ τοῦ FIP 35 ἀπὸ] ἀπὸ τοῦ $FHIJ^2KP$ 240a 1 ἥμισυ F 3 ἰσοτάχει E^1 5 τὰ E^2ΚΛPS : τὸ E^1 αα EP : ααι FHJK : ααια I : α S τὰ E^2ΚΛPS : om. E^1 ββ EP : ββββ F : β HIJKS ἄρχονται E 6 μέσου EHIJ^1 et fort. S : μέσου τῶν α F]^{2}K 7 γ ΚΛS ἐσχάτου] ἐσχάτου β A : ἐσχάτου τῶν β F 8 τούτοις ὄντες FHK τοῖς] τῷ K

hiçbir zaman yetişemez, çünkü kovalayan, ilkin kaçanın [ilk] ayrılma noktasına varmak zorundadır, dolayısıyla daha yavaş olanın her zaman biraz önde olması zorunludur. Bu sav [yukardaki] 'ikiye bölme' temellendirmesiyle aynı, ama yalnızca kalan uzunluğun ikiye bölünmemesi açısından ondan farklı. İmdi temellendirmeden çıkan, daha yavaş olana yetişilememesi. Ama, aykırılık ikiye bölme ile aynı (çünkü heriki temellendirmede de uzunluk bir biçimde bölündüğünden ötürü, sona-sınıra varılamaması sözkonusu, ama berikinde eklenen "efsanevi" hızlıların hızlısının bile kovalamada en yavaşa yetişemeyeceği); dolayısıyla çözümün de aynı olması zorunlu: önde koşana yetişilemeyeceği kabulü yanlış, çünkü önde koştuğu sürece yetişilemez, ama yine de sınırlı bir uzunluğun geçilmesi kabul ediliyorsa, yetişilebilir. Demek ki, iki temellendirme bu. Üçüncüsü az önce sözünü ettiğimiz, diyesim uçmakta (yer değiştirmekte) olan okun durgun olduğu. Ama sözkonusu olan, yanlış yere, zamanın 'an'lardan biraraya geldiğini kabul etmek, bu kabul edilmezse çıkarım da [doğru] olmayacaktır.

Dördüncüsü ise pistte devinenler üzerine: bunlar eşit büyüklükte [cisimlerden oluşmuş yine eşit büyüklükte] iki öbek, yine eşit büyükte [cisimlerden oluşmuş olup devinenlere eşit] bir öbek önünden karşıt yönlerde deviniyorlar. Bir öbek pistin sonundan öteki ortasından başlıyor devinime, hızları da eşit. Burada [Zenon], yarı zamanın iki misli zamana eşit olmasının sözkonusu olduğunu düşünüyor. Ne ki, yanlış akıl yürütme şurada: hem devinen hem de duran nesne boyunca, eşit uzunluğun sabit hızla eşit zamanda geçildiğinin kabulü. Oysa bu yanlış: sözgelişi diyelim ki, duran birbirine eşit cisimler AA; bunlarla sayıca ve büyüklükçe eşit cisimlerden oluşan BB devinime ortadan başlıyor, sayıca ve büyüklükçe bunlara eşit olan ve B öbeğindekilerle eşit hızda olan CC öbeği

9. 239^{b} 15 — 240^{a} 33

συμβαίνει δὴ τὸ πρῶτον Β ἅμα ἐπὶ τῷ ἐσχάτῳ εἶναι καὶ τὸ πρῶτον Γ, παρ' ἄλληλα κινουμένων. συμβαίνει δὲ τὸ Γ παρὰ πάντα [τὰ Β] διεξεληλυθέναι, τὸ δὲ Β παρὰ τὰ ἡμίση· ὥστε ἥμισυν εἶναι τὸν χρόνον· ἴσον γὰρ ἑκάτερόν ἐστιν παρ' ἕκαστον. ἅμα δὲ συμβαίνει τὸ πρῶτον Β παρὰ πάντα τὰ Γ παρεληλυθέναι· ἅμα γὰρ ἔσται τὸ πρῶτον Γ καὶ τὸ πρῶτον Β ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις, [ἴσον χρόνον παρ' ἕκαστον γιγνόμενον τῶν Β ὅσον περ τῶν Α, ὥς φησιν,] διὰ τὸ ἀμφότερα ἴσον χρόνον παρὰ τὰ Α γίγνεσθαι. ὁ μὲν οὖν λόγος οὗτός ἐστιν, συμβαίνει δὲ παρὰ τὸ εἰρημένον ψεῦδος.

οὐδὲ δὴ κατὰ τὴν ἐν τῇ ἀντιφάσει μεταβολὴν οὐθὲν ἡμῖν ἔσται ἀδύνατον, οἷον εἰ ἐκ τοῦ μὴ λευκοῦ εἰς τὸ λευκὸν μεταβάλλει καὶ ἐν μηδετέρῳ ἐστίν, ὡς ἄρα οὔτε λευκὸν ἔσται οὔτε οὐ λευκόν· οὐ γὰρ εἰ μὴ ὅλον ἐν ὁποτερῳοῦν ἐστιν, οὐ λεχθήσεται λευκὸν ἢ οὐ λευκόν· λευκὸν γὰρ λέγομεν ἢ οὐ λευκὸν οὐ τῷ ὅλον εἶναι τοιοῦτον, ἀλλὰ τῷ τὰ πλεῖστα ἢ τὰ κυριώτατα μέρη· οὐ ταὐτὸ δ' ἐστὶν μὴ εἶναί τε ἐν τούτῳ καὶ μὴ εἶναι ἐν τούτῳ ὅλον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὄντος καὶ ἐπὶ τοῦ μὴ ὄντος καὶ τῶν ἄλλων τῶν κατ' ἀντίφασιν· ἔσται μὲν γὰρ ἐξ ἀνάγκης ἐν θατέρῳ τῶν ἀντικειμένων, ἐν οὐδετέρῳ δ' ὅλον αἰεί. πάλιν δ' ἐπὶ τοῦ κύκλου καὶ ἐπὶ τῆς σφαίρας καὶ ὅλως τῶν ἐν αὐτοῖς κινουμένων, ὅτι συμβήσεται αὐτὰ ἠρεμεῖν· ἐν γὰρ τῷ αὐτῷ τόπῳ χρόνου τινὰ ἔσται καὶ αὐτὰ καὶ τὰ μέρη, ὥστε ἠρεμήσει ἅμα καὶ κινήσεται. πρῶτον μὲν γὰρ τὰ μέρη οὐκ ἔστιν ἐν τῷ αὐτῷ οὐθένα χρό-

^{a} 9 *πρῶτον β* E^{2}KΛS : *β πρῶτον* E^{1} *ἐσχάτῳ γ εἶναι* fecit H 10 *γ ἐπὶ τῷ ἐσχάτῳ β παρ'* H *δὲ τὸ* E^{1}FHJKAS : *δὴ τὰ* E^{2}I 11 *τὰ* B seclusi : habent HI : *β* E^{1} : *τὰ α* E^{2}FJKAPS *διεξεληλυθέναι* EFIJKP : *διεληλυθέναι* HAS *τὸ* EAS : *τὰ* KΛP *δὲ* EFHJ^{2}KΛPS : om. IJ^{1} 12 *ἡμίση* ΠA : *ἡμίση* A S *ἥμισυ* F : *καὶ ἥμισυ* H *ἴσα* H 13 *ἕκαστον* KΛS : *ἑκάστου αὐτῶν* E *τὸ πρῶτον* Cornford : *τὸ α* E : *τὰ* KΛS 14–15 *παρεληλυθέναι* (*ἅμα . . . ἐσχάτοις*), *ἴσον* Lachelier 14 *ἔσται* EJAS : *ἐστι* FHIK 15–16 *ἴσον . . . φησι* seclusi, ante *τὸ* ^{a} 11 collocanda ci. A: habent ΠS 16 *τὸ γιγνόμενον* E *τῶν Γ, ὅσον περ* (*τὸ Γ*) Lachelier *περὶ* FK *α* KΛA : *αα* E 17 *παρὰ τὰ*] *κατὰ τὸ* A *α* KΛA : *αα* E 19 *τῇ* om. H *ἀντιφάσει* E^{2}KAS : *φάσει* E^{1} 21 *ἔσται* I : *εἶναι* H 24 *εἶναι ὅλον* E *τὰ* alt. om. KΛ *κυριώτερα* H 25 *τε* om. K 26 *ἐν*] *τοῦτο ἐν* E *ὄντος . . .* 27 *μὴ* E^{2}FIJKPS : *μὴ ὄντος καὶ ἐπὶ τοῦ* H : om. E^{1} 27 *καὶ ἐπὶ τῶν* E *τῶν* alt. om. K 29 *δ'* alt. HS : om. EFIJK 30 *ὅλως* om. S 31 *αὐτῷ* om. I *ἐστὶ* FK 33 *τῷ* om. J

devinime sondan başlıyor.[57] Sözkonusu olan şu: karşılaştıklarında ilk B, ilk C ile aynı anda sınırda oluyor. Yine C tümüyle B'leri geçmiş bulunuyor, B ise [A'ların] yarısını geçmiş oluyor. Dolayısıyla zaman da yarısı oluyor, çünkü herbiri herbiriyle karşılaştırıldığında eşit. Aynı anda şu da oluyor: ilk B bütün C'leri geçmiştir, nitekim ilk C ile ilk B aynı anda karşıt sınırlarda olacaklardır, [nitekim onun dediğine göre, B'lerin herbiri için sözkonusu olan zaman, A'ların herbiri için sözkonusu olan zamana eşit], çünkü herikisi de A'nın önünden eşit zamanda geçiyor. İmdi temellendirme bu, dayanağı da az önce sözünü ettiğimiz yanılgı.

Karşıolum açısından değişme ile ilgili olarak da bizim için olanaksız bir şey yok, çünkü sözgelişi nesne 'ak olmayan'dan 'ak'a değişiyorsa ve iki durumdan hiçbirinde değilse, sanki ne 'ak' olacak ne de 'ak olmayan'! Nesneye 'ak' ya da 'ak olmayan' denememesi onun bütünüyle iki durumdan birinde olup olmamasıyla ilgili değil, çünkü bütünüyle öyle olmasından ötürü değil, çoğu parçaları ya da en önemli parçaları açısından öyle olduğundan ötürü nesneye 'ak' ya da 'ak olmayan' deriz. 'Belli bir durumda olmamak' ile 'belli bir durumda bütünüyle olmamak' aynı şey değil. 'Varolan', 'varolmayan' ve karşıolum açısından öteki nesnelerde de bu böyle. Nitekim zorunlu olarak karşıtlardan biri durumunda olacaktır, ama hiçbirinde her zaman bütünüyle olmayacaktır. Ayrıca çember, küre, kısaca kendi [eksenlerinde] devinen nesnelerle ilgili olarak, onların durdukları sonucu da çıkacaktır, çünkü hem onlar hem parçaları belirli bir zaman aynı yerde olacaklar, dolayısıyla aynı anda hem durağan olacaklar hem de devinecekler! Oysa ilkin onların parçaları hiçbir zaman boyunca aynı değil, ikincileyin

240b νον, εἶτα καὶ τὸ ὅλον μεταβάλλει αἰεὶ εἰς ἕτερον· οὐ γὰρ ἡ αὐτή ἐστιν ἡ ἀπὸ τοῦ Α λαμβανομένη περιφέρεια καὶ ἡ ἀπὸ τοῦ Β καὶ τοῦ Γ καὶ τῶν ἄλλων ἑκάστου σημείων, πλὴν ὡς ὁ μουσικὸς ἄνθρωπος καὶ ἄνθρωπος, ὅτι συμβέβηκεν. ὥστε μεταβάλλει αἰεὶ ἡ ἑτέρα εἰς τὴν ἑτέραν, καὶ οὐδέποτε ἠρεμήσει. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς σφαίρας καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐν αὐτοῖς κινουμένων.

Ἀποδεδειγμένων δὲ τούτων λέγομεν ὅτι τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι πλὴν κατὰ συμβεβηκός, οἷον κινουμένου τοῦ σώματος ἢ τοῦ μεγέθους τῷ ἐνυπάρχειν, καθάπερ ἂν εἰ τὸ ἐν τῷ πλοίῳ κινοῖτο ὑπὸ τῆς τοῦ πλοίου φορᾶς ἢ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει. (ἄμερὲς δὲ λέγω τὸ κατὰ ποσὸν ἀδιαίρετον.) καὶ γὰρ αἱ τῶν μερῶν κινήσεις ἑταιραί εἰσι κατ' αὐτά τε τὰ μέρη καὶ κατὰ τὴν τοῦ ὅλου κίνησιν. ἴδοι δ' ἄν τις ἐπὶ τῆς σφαίρας μάλιστα τὴν διαφοράν· οὐ γὰρ ταὐτὸν τάχος ἐστὶ τῶν τε πρὸς τῷ κέντρῳ καὶ τῶν ἐκτὸς καὶ τῆς ὅλης, ὡς οὐ μιᾶς οὔσης κινήσεως. καθάπερ οὖν εἴπομεν, οὕτω μὲν ἐνδέχεται κινεῖσθαι τὸ ἀμερὲς ὡς ὁ ἐν τῷ πλοίῳ καθήμενος τοῦ πλοίου θέοντος, καθ' αὑτὸ δ' οὐκ ἐνδέχεται. μεταβαλλέτω γὰρ ἐκ τοῦ ΑΒ εἰς τὸ ΒΓ, εἴτ' ἐκ μεγέθους εἰς μέγεθος εἴτ' ἐξ εἴδους εἰς εἶδος εἴτε κατ' ἀντίφασιν· ὁ δὲ χρόνος ἔστω ἐν ᾧ πρώτῳ μεταβάλλει ἐφ' οὗ Δ. οὐκοῦν ἀνάγκη αὐτὸ καθ' ὃν μεταβάλλει χρόνον ἢ ἐν τῷ ΑΒ εἶναι ἢ ἐν τῷ ΒΓ, ἢ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ τὸ δ' ἐν θατέρῳ· πᾶν γὰρ τὸ μεταβάλλον οὕτως εἶχεν. ἐν ἑκατέρῳ μὲν οὖν οὐκ ἔσται τι αὐτοῦ· μεριστὸν γὰρ ἂν εἴη. ἀλλὰ μὴν οὐδ' ἐν τῷ ΒΓ· μεταβεβληκὸς γὰρ ἔσται, ὑπόκειται δὲ μεταβάλλειν. λείπεται δὴ αὐτὸ ἐν τῷ ΑΒ εἶναι, καθ' ὃν μεταβάλλει χρόνον. ἠρεμήσει ἄρα· τὸ

b 1 τὸ om. E^1 αἰεὶ om. I γὰρ ἀεὶ ἡ F 4 ὡς E^2KΛPS : om. E^1 καὶ ἄνθρωπος EFHJKP : om. S : καὶ om. I 5 τὴν om. F 6 τῆς om. S 7 ἐπὶ EHIJKS^p : om. FS^1 8 λέγομεν E^1KΛT : λέγωμεν E^2S 9 κινουμένου τοῦ σώματος EST : τοῦ σώματος κινουμένου ΚΛ 10 τῷ JS : τῶν E^1 : τὸ H : τοῦ E^2FIK : om. T ἐνυπάρχειν E^1S : ἐν ᾧ ὑπάρχει E^2ΚΛ : ᾧ ἐνυπάρχει T 12 κατὰ EFS : κατὰ τὸ HIJK 14 κατ' αὐτά FHKS : καθ' αὑτά E : κατὰ ταὐτά IJ 15 τις καὶ ἐπὶ FK 16 ἐστι ES : ἔσται ΚΛ 17 οὐ] οὐδὲ F 18 εἶπον HIJK μὲν] μὲν οὖν I κινεῖσθαι om. H 19 δ' ES : γὰρ ΚΛ 20 μεταβάλλεται K 22 πρώτως H 24 αὐτῷ F 26 οὖν om. H 27 ἐν ΚΛS : αὐτὸ ἐν E 28 αὐτὸν τῷ E

'bütün' olarak da her zaman başka bir şeye değişirler. Nitekim A noktasından alınan bir çember dönüşü ile B'den, C'den ve öteki herbir noktadan alınan aynı değil - meğer ki, 'insan' ve 'eğitimli insan' gibi ilineksel anlamda ola. Dolayısıyla her zaman biri ötekine değişir ve hiçbir zaman durmaz. Küre ile kendi içlerinde [eksenlerinde] devinen öteki nesnelerde de bu böyle. 240b 5

10 Bunlar kanıtlandığına göre diyebiliriz ki, 'parçasız' bir nesnenin devinmesi olası değil; ancak ilineksel anlamda, sözgelişi beden ya da bir büyüklük devindiğinde, onun içinde olunmasından ötürü [bu olabilir]; örneğin bir teknedeki nesne, teknenin devinmesiyle ya da bir parça, bütünün devinmesi yüzünden devinebilir ("parçasız" ile nicelikçe bölünemeyen nesneyi kastediyorum). Parçaların devinimleri, kendi başına parçalar açısından ve 'bütün'ün devinimi açısından değişiktir. Bu ayrım özellikle kürede görülebilir: çünkü kürede merkeze yakın parçaların hızı dıştaki parçaların hızıyla ya da tüm kürenin hızıyla aynı olmayacaktır, demek ki, devinim tek değil. İmdi dediğimiz gibi, tekne gittiği için teknede oturanın devinmesi gibi, parçasız bir nesnenin böylece devinmesi olası, ama [parçasız bir nesnenin] 'kendi başına' devinmesi olası değil. Diyelim ki, [parçasız bir nesne] AB'den BC'ye değişsin -ister bir büyüklükten büyüklüğe, ister bir biçimden bir biçime, isterse karşıolum açısından. 'İlk' değiştiği zaman da D olsun. İmdi onun, içinde değiştiği zaman boyunca, ya AB'de ya BC'de olması veya onun bir parçasının berikinde, bir parçasının ötekinde olması zorunludur. Çünkü her değişen nesnenin böyle olduğunu söylediydik. İmdi herikisinde birden onun bir parçası olamayacak, çünkü bu durumda parçalara ayrılabilir bir nesne olacaktır. BC'de de olmayacak, çünkü bu durumda değişmeyi tamamlamış olacaktır, oysa değişmekte olduğunu kabul ettik. Geriye kalan şu: nesne, değiştiği zaman boyunca AB'de, demek ki duruyor! Çünkü "belli bir 10 15 20 25

9. 240b 1 — 10. 241a 24

γὰρ ἐν τῷ αὐτῷ εἶναι χρόνου τινὰ ἠρεμεῖν ἦν. ὥστ' οὐκ ἐν- 30
δέχεται τὸ ἀμερὲς κινεῖσθαι οὐδ' ὅλως μεταβάλλειν· μο-
ναχῶς γὰρ ἂν οὕτως ἦν αὐτοῦ κίνησις, εἰ ὁ χρόνος ἦν ἐκ
τῶν νῦν· αἰεὶ γὰρ ἐν τῷ νῦν κεκινημένου ἂν ἦν καὶ μετα-
βεβληκός, ὥστε κινεῖσθαι μὲν μηδέποτε, κεκινῆσθαι δ' ἀεί. 241a
τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται καὶ πρότερον· οὔτε γὰρ ὁ
χρόνος ἐκ τῶν νῦν οὐθ' ἡ γραμμὴ ἐκ στιγμῶν οὐθ' ἡ κίνησις
ἐκ κινημάτων· οὐθὲν γὰρ ἄλλο ποιεῖ ὁ τοῦτο λέγων ἢ τὴν
κίνησιν ἐξ ἀμερῶν, καθάπερ ἂν εἰ τὸν χρόνον ἐκ τῶν νῦν 5
ἢ τὸ μῆκος ἐκ στιγμῶν. 6

ἔτι δὲ καὶ ἐκ τῶνδε φανερὸν ὅτι 6
οὔτε στιγμὴν οὔτ' ἄλλο ἀδιαίρετον οὐθὲν ἐνδέχεται κινεῖσθαι.
ἅπαν γὰρ τὸ κινούμενον ἀδύνατον πρότερον μεῖζον κινηθῆναι
αὐτοῦ, πρὶν ἢ ἴσον ἢ ἔλαττον. εἰ δὴ τοῦτο, φανερὸν ὅτι
καὶ ἡ στιγμὴ ἔλαττον ἢ ἴσον κινηθήσεται πρῶτον. ἐπεὶ δὲ 10
ἀδιαίρετος, ἀδύνατον ἔλαττον κινηθῆναι πρότερον· ἴσην ἄρα
αὐτῇ. ὥστε ἔσται ἡ γραμμὴ ἐκ στιγμῶν· αἰεὶ γὰρ ἴσην κι-
νουμένη τὴν πᾶσαν γραμμὴν στιγμὴ καταμετρήσει. εἰ δὲ
τοῦτο ἀδύνατον, καὶ τὸ κινεῖσθαι τὸ ἀδιαίρετον ἀδύνατον.

ἔτι δ' εἰ ἅπαν ἐν χρόνῳ κινεῖται, ἐν δὲ τῷ νῦν μηθέν, ἅπας 15
δὲ χρόνος διαιρετός, εἴη ἄν τις χρόνος ἐλάττων ὁτῳοῦν τῶν
κινουμένων ἢ ἐν ᾧ κινεῖται ὅσον αὐτό. οὗτος μὲν γὰρ ἔσται
χρόνος ἐν ᾧ κινεῖται διὰ τὸ πᾶν ἐν χρόνῳ κινεῖσθαι, χρό-
νος δὲ πᾶς διαιρετὸς δέδεικται πρότερον. εἰ δ' ἄρα στιγμὴ
κινεῖται, ἔσται τις χρόνος ἐλάττων ἢ ἐν ᾧ αὐτὴν ἐκινήθη. ἀλλὰ 20
ἀδύνατον· ἐν γὰρ τῷ ἐλάττονι ἔλαττον ἀνάγκη κινεῖσθαι.
ὥστε ἔσται διαιρετὸν τὸ ἀδιαίρετον εἰς τὸ ἔλαττον, ὥσπερ καὶ
ὁ χρόνος εἰς τὸν χρόνον. μοναχῶς γὰρ ἂν κινοῖτο τὸ ἀμε-
ρὲς καὶ ἀδιαίρετον, εἰ ἦν ἐν τῷ νῦν κινεῖσθαι δυνατὸν τῷ

b 30 χρόνου εἶναι ΚΛ 32 κίνησις EJS : ἡ κίνησις FHIK
241a 2 καὶ om. ΚΛ 3 ἐκ τῶν στιγμῶν F 6 μῆκος ES :
μεγεθος ΚΛ 7 στιγμὴ IK ἄλλο om. F οὐδὲν ἀδιαίρετον
K 9 πρὶν ἂν ἡ FIJK 11 ἀδιαίρετον E ελάττονα I ἴση E
12 αὐτῇ J : αὐτὴ FHIK ἴση K κινουμενην E 13 στιγμην E
14 τὸ alt. ΚΑS : om. E 15 ἔτι εἰ πᾶν PST ἐν alt.] εἰ E πᾶς
ΚΑS 16 ἄν τις EFHIPS : τις ἂν JK οτουουν ΚΛ 17 ἡ
ES : om. ΚΑΡ ὅσον . . . 18 κινεῖται om. HK 17 αὐτό]
αὐτὸ κεκίνηται J 19 δ' om. FHJK 20 ἡ EPT : om. ΚΛ
αὐτὴν scripsi, fort. PT : αὐτη FHK : αὐτὴ EIJ 22 διαιρετον τὸ
διαιρετὸν E 23 εἰς] πρὸς E γὰρ FHJKT : om. EI ἂν] ἄρα I

zaman boyunca aynı yerde olmak, durmaktır" demiştik[58]. Dolayısıyla parçasız bir nesnenin devinmesi olası değil, genelde değişmesi de. Yalnızca bir biçimde, zaman 'an'lardan oluşsaydı, onun devinimi olanaklı olurdu. Çünkü nesne her zaman 'an' içinde devinimini ve değişmesini tamamlamış olurdu, dolayısıyla hiçbir zaman devinmez, hep devinmesini tamamlamış olurdu! Bunun ise olanaksız olduğunu daha önce de kanıtladık[59]. Zaman 'an'lardan, çizgi 'nokta'lardan, devinim de devinim birimlerinden oluşmaz. Bunu savunan ise, devinimi 'parçasız parçalardan' oluşan bir şey diye kabul etmekten başka bir şey yapmıyor. Sanki zaman 'an'lardan, uzunluk noktalardan oluşurmuş gibi!

Öte yandan, ne bir noktanın ne de başka bir bölünmez nesnenin devinemeyeceği şurdan da açık: her devinen nesne, [kendi büyüklüğüne] eşit ya da kendinden daha küçük bir büyüklük geçmiş olmadan önce, kendinden daha büyük bir büyüklüğü geçmiş olamaz. Bu böyleyse, açık ki nokta da ilkin [kendinden] küçük ya da [kendine] eşit bir büyüklüğü geçmiş olacaktır. Ama madem bölünemez, daha önce kendinden daha küçük bir büyüklüğü geçmiş olması olanaksız. Öyleyse kendine eşit olanı [geçmiş olur]. Dolayısıyla çizgi noktalardan oluşmuş olur. Çünkü hep kendine eşit bir büyüklüğü geçerse, nokta çizginin tümünün ölçüsü/ölçü birimi olacaktır. Bu olanaksızsa, [noktanın çizginin ölçü-birimi olamayacağı daha önce gösterildi], bölünemez olanın devinmesi de olanaksız.

Ayrıca her nesne bir zaman içinde deviniyorsa 'an'da hiçbir şey devinmiyorsa, her 'zaman' bölünebilirse, her ne olursa olsun her devinen nesne için, içinde devindiği zamana eşit olan nicelikten daha az bir zaman olacaktır. Her nesne bir zaman içinde devindiğinden ve daha önce her 'zaman'ın bölünebilir olduğu gösterildiğinden ötürü[60], içinde devinim gerçekleşen bu zaman varolacaktır. İmdi bir nokta deviniyorsa, onun içinde devinmiş olduğu zamandan daha az bir zaman olacak. Ama bu olanaksız, çünkü daha az bir zamanda, daha az bir devinimin gerçekleşmesi zorunlu[61]. Dolayısıyla zaman nasıl zamana bölünüyorsa, bölünmez olan [nokta] da daha küçük parçaya bölünecektir. Aslında parçası olmayan ve bölünmez olan nesne tek şu biçimde devinebilirdi: bölünmez bir nesne için 'an' içinde devinmek olanaklı olsaydı!

ἀτόμῳ· τοῦ γὰρ αὐτοῦ λόγου ἐν τῷ νῦν κινεῖσθαι καὶ ἀδιαίρετόν τι κινεῖσθαι.

μεταβολὴ δ' οὐκ ἔστιν οὐδεμία ἄπειρος· ἅπασα γὰρ ἦν ἔκ τινος εἴς τι, καὶ ἡ ἐν ἀντιφάσει καὶ ἡ ἐν ἐναντίοις. ὥστε τῶν μὲν κατ' ἀντίφασιν ἡ φάσις καὶ ἡ ἀπόφασις πέρας (οἷον γενέσεως μὲν τὸ ὄν, φθορᾶς δὲ τὸ μὴ ὄν), τῶν δ' ἐν τοῖς ἐναντίοις τὰ ἐναντία· ταῦτα γὰρ ἄκρα τῆς μεταβολῆς, ὥστε καὶ ἀλλοιώσεως πάσης (ἐξ ἐναντίων γάρ τινων ἡ ἀλλοίωσις), ὁμοίως δὲ καὶ αὐξήσεως καὶ φθίσεως· αὐξήσεως μὲν γὰρ τὸ πέρας τοῦ 241b κατὰ τὴν οἰκείαν φύσιν τελείου μεγέθους, φθίσεως δὲ ἡ τούτου ἔκστασις. ἡ δὲ φορὰ οὕτω μὲν οὐκ ἔσται πεπερασμένη· οὐ γὰρ πᾶσα ἐν ἐναντίοις· ἀλλ' ἐπειδὴ τὸ ἀδύνατον τμηθῆναι οὕτω, τῷ μὴ ἐνδέχεσθαι τμηθῆναι (πλεοναχῶς γὰρ λέγεται τὸ ἀδύνατον), οὐκ ἐνδέχεται τὸ οὕτως ἀδύνατον τέμνεσθαι, οὐδὲ ὅλως τὸ ἀδύνατον γενέσθαι γίγνεσθαι, οὐδὲ τὸ μεταβαλεῖν ἀδύνατον ἐνδέχοιτ' ἂν μεταβάλλειν εἰς ὃ ἀδύνατον μεταβαλεῖν. εἰ οὖν τὸ φερόμενον μεταβάλλοι εἴς τι, καὶ δυνατὸν ἔσται μεταβαλεῖν. ὥστ' οὐκ ἄπειρος ἡ κίνησις, οὐδ' οἰσθήσεται τὴν ἄπειρον· ἀδύνατον γὰρ διελθεῖν αὐτήν. ὅτι μὲν οὖν οὕτως οὐκ ἔστιν ἄπειρος μεταβολὴ ὥστε μὴ ὡρίσθαι πέρασι, φανερόν. ἀλλ' εἰ οὕτως ἐνδέχεται ὥστε τῷ χρόνῳ εἶναι ἄπειρον τὴν αὐτὴν οὖσαν καὶ μίαν, σκεπτέον. μὴ μιᾶς μὲν γὰρ γιγνομένης οὐθὲν ἴσως κωλύει, οἷον εἰ μετὰ τὴν φορὰν ἀλλοίωσις εἴη καὶ μετὰ τὴν ἀλλοίωσιν αὔξησις καὶ πάλιν γένεσις· οὕτω γὰρ αἰεὶ μὲν ἔσται τῷ χρόνῳ κίνησις, ἀλλ' οὐ μία διὰ τὸ μὴ εἶναι μίαν ἐξ ἁπασῶν. ὥστε δὲ γίγνεσθαι μίαν, οὐκ ἐνδέχεται ἄπειρον εἶναι τῷ χρόνῳ πλὴν μιᾶς· αὕτη δ' ἐστὶν ἡ κύκλῳ φορά.

[a] 27 ἅπας E¹ 28 ἐν om. EJ¹ φάσις] κατάφασις H et fecit F 29 ἡ om. HIJK 31 καὶ] ἐξ K πάσης om. I 33 τὸ πέρας ΠΤ : πέρας τὸ Prantl [b] 2 ἔκτασις E ἔστι F 3 πᾶσα EJT : ἅπασα FHIK ἐν om. J¹ ἐπεί HKT τὸ om. F 4 οὕτω, τῷ] οὕτω vel οὐ τῷ E¹ : τῷ E²T πολλαχῶς FHIK 7 μεταβάλλειν ΕΔΡ 8 μεταβαλεῖν KS : μεταβάλλειν ΕΔΡ 9 μεταβάλλει I μεταβαλεῖν KS : μεταβάλλειν ΕΔ 10 ἄπειρος ἔσται ἡ K τὴν om. E 11 οὐκ ἔστιν οὕτως F ἄπειρος ἡ μεταβολὴ I 13 ἐνδέχοιτο K τῷ FIJPST : ἐστιν ἐν τινι E : om. HK οὖσαν τὴν αὐτὴν F 15 τὴν om. ST 19 εἶναι ἄπειρον H ἐστιν] ἄρα K 20 ἡ κυκλῳ IT : ἡ κύκλῳ μία E : ἡ μία ἡ κύκλῳ FHJK (ἡ μία erasit J)

Nitekim "an'da devinmek" ile "bölünmez bir nesnenin devinmesi" aynı temellendirmenin kapsamı içinde.

Yine hiçbir sonsuz değişme de yok. Çünkü hem karşıolum açısından hem de karşıtlar açısından her değişme 'bir şeyden' 'bir şeye' idi, bunu gösterdiydik[62]. Dolayısıyla karşıolum açısından değişmelerde sınır, evetleme ve değilleme (sözgelişi oluşunki 'varolan', yokoluşunki ise 'varolmayan'). Karşıtlar açısından değişmelerin ise sınırı karşıtların kendileri, çünkü bunlar değişmenin uç noktaları. Dolayısıyla her nitelik değiştirmesinin de [bir sınırı var] (çünkü nitelik değiştirme kimi karşıtlardan oluşuyor); büyüme ile eksilmenin de aynı şekilde sınırı var: büyümeninki, nesnenin kendi doğasına göre tam büyüklüğünün sınırı, sözgelişi [yetişkin insan], eksilmeninki de bunun, [kendi doğasına göre tam büyüklüğünün] yitirilmesi. Ne ki, yer değiştirme bu anlamda sınırlı olmayacaktır, çünkü her yer değiştirme karşıtlar içinde değil. Nasıl bir nesnenin kesilmiş olması olası olmaması anlamında 'kesilmiş olmasının olanaksız olduğu' söylenebildiğinden ötürü (çünkü 'olanaksız' çok anlamda kullanılır), kesilmesi olanaksız şeyin *kesilmesi olası değilse, aynı şekilde genelde* ne oluşmuş olması olanaksız olanın oluşmakta olması ne de değişmiş olması olanaksız olan bir nesnenin, değişmiş olması, olanaksız olan şeye doğru değişmekte olması olası olabilir. İmdi yer değiştirmekte olan nesne bir şeye doğru yer değiştirmekteyse, onun değişmesini tamamlaması da olanaklı olacaktır. Dolayısıyla devinim sonsuz olmayacak, nesne sonsuza değin yol almayacaktır, çünkü sonsuza değin gitmek olanaksız. Demek ki, sınırlarla sınırlandırılamayacak denli sonsuz bir değişme olmadığı açık. Ama devinimin aynı ve tek olmasına karşın bir zaman içinde sonsuz olacak anlamında sonsuz olması olası mı, bunu sınamak gerekiyor: devinim tek olmasa herhalde buna hiçbir engel yok, sözgelişi yer değiştirmeden sonra nitelik değiştirme olsa, nitelik değiştirmeden sonra büyüme ve yeniden oluş olsa! Böylece zaman açısından hep bir devinim olacaktır. Ama bu devinim, bütün bunlardan oluşan devinim tek olmadığından ötürü, tek değil. Dolayısıyla tek devinim oluşuyorsa, bunun zaman açısından sonsuz olması olası değil -bir devinim dışında: o da çembersel yer değiştirme.

10. 241ª 25 — 1. 242ª 50

Η.

1 Ἅπαν τὸ κινούμενον ὑπό τινος ἀνάγκη κινεῖσθαι· εἰ μὲν γὰρ ἐν ἑαυτῷ μὴ ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, φανερὸν ὅτι ὑφ' ἑτέρου κινεῖται (ἄλλο γὰρ ἔσται τὸ κινοῦν)· εἰ δ' ἐν αὐτῷ, ἔστω [τὸ] εἰλημμένον ἐφ' οὗ τὸ ΑΒ ὃ κινεῖται καθ' αὑτό, ἀλλὰ μὴ ⟨τῷ τῶν⟩ τούτου τι κινεῖσθαι. πρῶτον μὲν οὖν τὸ ὑπολαμβάνειν τὸ ΑΒ ὑφ' ἑαυτοῦ κινεῖσθαι διὰ τὸ ὅλον τε κινεῖσθαι καὶ ὑπ' οὐδενὸς τῶν ἔξωθεν ὁμοιόν ἐστιν ὥσπερ εἰ τοῦ ΚΛ κινοῦντος τὸ ΛΜ καὶ αὐτοῦ κινουμένου εἰ μὴ φάσκοι τις τὸ ΚΜ κινεῖσθαι ὑπό τινος, διὰ τὸ μὴ φανερὸν εἶναι πότερον τὸ κινοῦν καὶ πότερον τὸ κινούμενον· εἶτα τὸ μὴ ὑπό τινος κινούμενον οὐκ ἀνάγκη παύσασθαι κινούμενον τῷ ἄλλο ἠρεμεῖν, ἀλλ' εἴ τι ἠρεμεῖ τῷ ἄλλο πεπαῦσθαι κινούμενον, ἀνάγκη ὑπό τινος αὐτὸ κινεῖσθαι. τούτου δ' εἰλημμένου πᾶν τὸ κινούμενον κινήσεται ὑπό τινος. ἐπεὶ γὰρ εἴληπται [τὸ] κινούμενον ἐφ' ᾧ τὸ ΑΒ, ἀνάγκη διαιρετὸν αὐτὸ εἶναι· πᾶν γὰρ τὸ κινούμενον διαιρετόν. διηρήσθω δὴ κατὰ τὸ Γ. τοῦ δὴ ΓΒ μὴ κινουμένου οὐ κινηθήσεται τὸ ΑΒ· εἰ γὰρ κινήσεται, δῆλον ὅτι τὸ ΑΓ κινοῖτ' ἂν τοῦ ΓΒ ἠρεμοῦντος, ὥστε οὐ καθ' αὑτὸ κινηθήσεται καὶ πρῶτον. ἀλλ' ὑπέκειτο καθ' αὑτὸ κινεῖσθαι καὶ πρῶτον. ἀνάγκη ἄρα τοῦ ΓΒ μὴ κινουμένου ἠρεμεῖν τὸ ΑΒ. ὃ δὲ ἠρεμεῖ μὴ κινουμένου τινός, ὡμολόγηται ὑπό τινος κινεῖσθαι, ὥστε πᾶν ἀνάγκη τὸ κινούμενον ὑπό τινος κινεῖσθαι· ἀεὶ γὰρ ἔσται τὸ κινούμενον διαιρετόν, τοῦ δὲ μέρους μὴ κινουμένου ἀνάγκη καὶ τὸ ὅλον ἠρεμεῖν. 49

ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἀνάγκη κινεῖσθαι ὑπό τινος, ἐάν γέ τι κινῆται 50

241ᵇ 34–8 = 241ᵇ 24–7 39–44 = 27–33 44—242ª 38 = 33—242ª 5 242ª 38–49 = 242ª 5–15 49–54 = 15–20

Tit. Ἀριστοτέλους *περὶ κινήσεως τῶν εἰς* γ *τὸ* α ζ η : ἀριστοτέλους *φυσικῆς ἀκροάσεως* η b : Ἀριστοτέλους *φυσικῆς ἀκροάσεως Βιβλίον* Ζον c ᵇ 34 *ἀνάγκη ὑπό τινος* S 37 *αὑτῷ* Spengel : *αὑτῷ* Σ *ἔσται* c *τὸ* seclusi : om. P 38 *τῷ τῶν* S, Spengel : *τῷ* P² : *τῶν* P¹ : om. Σ 41 *εἴ*] *ἡ* cjy 42 *εἰ* secl. Bekker *φάσκοι . . .* ΚΜ] textum alterum 241ᵇ 31—242ª 4 *ὑπολαμβάνοι . . . κινούμενον* fere habent cjy ΚΜ S, Prantl : ΛΜ Σ 242ª 37 *δ'* scripsi : *γὰρ* Σ 38 *τὸ* seclusi : om. S 42 ΓΒ] *αβ* c : ΒΓ Moreliana 46 *ὡμολόγητο* cjy 47 *ἀεὶ μὲν γὰρ* S 50 *ὑπό τινος κινεῖσθαι* S *γε κινεῖσθαι* y

Yedinci Kitap

1 Her devinen nesnenin 'bir şey' tarafından devindirilmesi zorunlu, çünkü nesne devinim ilkesini kendinde taşımıyorsa, başka bir şey tarafından devindirilmektedir, bu açık (devindiren nesne başka bir şey olacak). Ama [devinme ilkesini] kendinde taşıdığını [düşünsek]: diyelim AB, parçalarından biri açısından değil, kendisi açısından devinen nesne olarak alınsın. İlkin, AB'nin bütün olarak devindiğinden ve hiçbir 'dış' nesne tarafından devindirilmediğinden ötürü, kendisi tarafından devindirildiğini kabul etmek: KL, LM'yi ve kendi kendini devindirdiği için, hangi parçasının devindiren hangi parçasının devinen olduğu açık olmaması yüzünden KM'nin bir şey tarafından devindirildiğini yadsımaya benzer. Ayrıca bir şey tarafından devindirilmeyen nesnenin devinmesinin başka bir nesnenin durması ile kesilmesi zorunlu değildir; tersine 242a bir nesne başka bir nesnenin devinmesinin kesilmesiyle duruyorsa, o nesnenin 'bir şey tarafından devindirilen bir nesne' olması zorunlu. Bu kabul edildiğinde çıkan şu: her devinen nesne bir şey tarafından devindirilir. Nitekim madem AB'yi, devindirilen nesne olarak aldık, onun bölünebilir olması zorunlu[63]. Çünkü her devinen nesne bölünebilir: Diyelim ki [AB] C ile bölünsün. CB devinmediğinde AB de devinmeyecektir, çünkü AB devinecek olsa, açık ki, CB durmasına karşın AC devinebilecektir, dolayısıyla nesne 'kendinde' ve 'ilk/asıl anlamda' devinmiş olmayacaktır, oysa kabulümüz nesnenin 'kendinde' ve 'ilk/asıl anlamda' devindiği idi. Demek ki, CB devinmezse AB'nin de durması zorunlu, ama başka bir nesne devinmediğinden ötürü duran bir nesnenin 'bir şey' tarafından devindirildiğinde anlaşmıştık, dolayısıyla her devinen nesnenin bir şey tarafından devindirilmesi zorunlu. Çünkü devinen nesne her zaman bölünebilir olacak, parçası devinmediğinde bütünün de durması zorunlu olacak.

Madem her devinen nesnenin 'bir şey' tarafından devindirilmesi zorunlu, bir nesne bir yerdeki devinimini devinen başka bir

τὴν ἐν τόπῳ κίνησιν ὑπ' ἄλλου κινουμένου, καὶ πάλιν τὸ κινοῦν ὑπ' ἄλλου κινουμένου κινῆται κἀκεῖνο ὑφ' ἑτέρου καὶ ἀεὶ οὕτως, ἀνάγκη εἶναί τι τὸ πρῶτον κινοῦν, καὶ μὴ βαδίζειν εἰς ἄπειρον· μὴ γὰρ ἔστω, ἀλλὰ γενέσθω ἄπει-
55 ρον. κινείσθω δὴ τὸ μὲν A ὑπὸ τοῦ B, τὸ δὲ B ὑπὸ τοῦ Γ, τὸ δὲ Γ ὑπὸ τοῦ Δ, καὶ ἀεὶ τὸ ἐχόμενον ὑπὸ τοῦ ἐχομένου. ἐπεὶ οὖν ὑπόκειται τὸ κινοῦν κινούμενον κινεῖν, ἀνάγκη ἅμα γίγνεσθαι τὴν τοῦ κινουμένου καὶ τὴν τοῦ κινοῦντος κίνησιν (ἅμα γὰρ κινεῖ τὸ κινοῦν καὶ κινεῖται
60 τὸ κινούμενον)· φανερὸν ⟨οὖν⟩ ὅτι ἅμα ἔσται τοῦ A καὶ τοῦ B καὶ τοῦ Γ καὶ ἑκάστου τῶν κινούντων καὶ κινουμένων ἡ κίνησις. εἰλήφθω οὖν ἡ ἑκάστου κίνησις, καὶ ἔστω τοῦ μὲν A ἐφ' ἧς E, τοῦ δὲ B ἐφ' ἧς Z, τῶν ⟨δὲ⟩ ΓΔ ἐφ' ὧν HΘ. εἰ γὰρ ἀεὶ κινεῖται ἕκαστον ὑφ' ἑκάστου, ὅμως ἔσται
65 λαβεῖν μίαν ἑκάστου κίνησιν τῷ ἀριθμῷ· πᾶσα γὰρ κίνησις ἔκ τινος εἴς τι, καὶ οὐκ ἄπειρος τοῖς ἐσχάτοις· λέγω δὴ ἀριθμῷ μίαν κίνησιν τὴν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ τῷ ἀριθμῷ ἐν τῷ αὐτῷ χρόνῳ τῷ ἀριθμῷ γιγνομένην. ἔστι γὰρ κίνησις καὶ γένει καὶ εἴδει καὶ ἀριθμῷ ἡ αὐτή,
242[b] 35 γένει μὲν ἡ τῆς αὐτῆς κατηγορίας, οἷον οὐσίας ἡ ποιότητος, εἴδει δὲ ⟨ἡ⟩ ἐκ τοῦ αὐτοῦ τῷ εἴδει εἰς τὸ αὐτὸ τῷ εἴδει, οἷον ἐκ λευκοῦ εἰς μέλαν ἢ ἐξ ἀγαθοῦ εἰς κακὸν ἀδιάφορον τῷ εἴδει· ἀριθμῷ δὲ ἡ ἐξ ἑνὸς τῷ ἀριθμῷ ⟨εἰς ἓν τῷ ἀριθμῷ⟩ ἐν τῷ αὐτῷ χρόνῳ, οἷον ἐκ τοῦδε τοῦ λευκοῦ εἰς τόδε τὸ μέλαν, ἢ ἐκ τοῦδε τοῦ
40 τόπου εἰς τόνδε, ἐν τῷδε τῷ χρόνῳ· εἰ γὰρ ἐν ἄλλῳ, οὐκέτι ἔσται ἀριθμῷ μία κίνησις, ἀλλ' εἴδει. εἴρηται δὲ περὶ
42 τούτων ἐν τοῖς πρότερον.
42 εἰλήφθω δὲ καὶ ὁ χρόνος ἐν

242[a] 54–66 = 242[a] 20–32 66–[b] 42 = 32–[b] 8 [b] 42–53 = [b] 8–19

---

[a] 51 κινουμένου ΣS : κινούμενον Spengel 52 ἄλλου κινούμενον Spengel κινεῖται cjy[2] : κινεῖσθαι y[1] 54 ἄπειρα cjy γὰρ] δὲ cjy 55 δὴ Moreliana : δὲ Σ 56 Γ alt.] δ cj 58 ἅμα ΣS : δ' ἅμα Prantl 59 κινεῖ om. c : κινεῖται Moreliana 60 οὖν add. Spengel : fort. habuit S ὅτι om. cjy 63 δὲ add. Spengel 64 ὁμοίως γρ. P [b] 36 ἡ add. Prantl ex S εἰς . . . εἴδει y S : om. bcj 37 ἡ cjyS : om. b ἀδιάφορον] μὴ διάφορον P : ἐὰν ᾖ ἀδιάφορον S, Spengel 38 εἰς . . . ἀριθμῷ add. Prantl 42 τούτου y δὴ Spengel

nesneden alıyorsa, yine [onu] devindiren de devinen başka bir nesnece devindiriliyorsa, bu da başka bir nesne tarafından devindiriliyor ve bu hep böyle gidiyorsa, sonsuza gidilmemesi, bir 'ilk devindiren'in varolması zorunlu. Nitekim diyelim, [ilk devindiren] olmasın ve sonsuza gidilsin: A, B tarafından; B, C tarafından; C, D tarafından devindirilsin ve her zaman 'içeren-sürekli-ardıl', 'içeren-sürekli-ardıl' tarafından devindirilsin. İmdi madem kabulümüz, "devindirenin, devindirildiği için devindirdiği", devindirilenin devinimi ile devindirenin devinimi aynı anda-birlikte olacaktır (çünkü aynı anda devindiren devindirir, devindirilen de devinir-devindirilir). Öyleyse açık ki, A'nın, B'nin, C'nin, devindirenlerin ve devindirilenlerin herbirinin devinimi aynı olacak. İmdi herbirinin devinimini alalım: A'nınki E; B'ninki F; C, D'ninki G ile H olsun. Her zaman herbiri herbiri tarafından devindiriliyorsa, herbirinin devinimi sayıca tek olarak alınabilecek, çünkü her devinim 'bir şeyden' 'bir şeye' olur ve sınırları açısından sonsuz değildir. "Sayıca tek devinim"den şunu kastediyorum: "sayıca aynı zamanda, sayıca aynı bir şeyden sayıca aynı şeye yönelik devinim". Nitekim bir devinim cinsce, türce ve sayıca aynı olabilir: cinsce aynı devinim, töz ya da nitelik gibi, kategorisi aynı olan; türce aynı: 'türce aynı olan'dan 'türce aynı olana doğru' olan; sözgelişi türce farklı olmayan, 'ak'tan 'kara'ya ya da 'iyi'den 'kötü'ye. Sayıca aynı: aynı zaman içinde 'sayıca birtek olandan' 'sayıca birtek olana', sözgelişi 'şu belli aktan' 'şu belli kara'ya ya da 'şu belli yerden' 'şu belli yere' olan devinim; ne ki şu belli zaman içinde; çünkü başka bir zaman içinde olsa devinim sayıca birtek olmayacak, türce birtek olacaktır: bunların üzerine daha önce sözettik[64].

A nesnesinin, devinimini içinde tamamladığı zamanı alıp buna

1. 242ª 51 — ᵇ 70

ᾧ κεκίνηται τὴν αὐτοῦ κίνησιν τὸ Α, καὶ ἔστω ἐφ' ᾧ Κ. πεπερασμένης δ' οὔσης τῆς τοῦ Α κινήσεως καὶ ὁ χρόνος ἔσται πεπερασμένος. ἐπεὶ δὴ ἄπειρα τὰ κινοῦντα καὶ τὰ κινούμενα, καὶ ἡ κίνησις ἡ ΕΖΗΘ ἡ ἐξ ἁπασῶν ἄπειρος ἔσται· ἐνδέχεται μὲν γὰρ ἴσην εἶναι τὴν τοῦ Α καὶ τοῦ Β καὶ τὴν τῶν ἄλλων, ἐνδέχεται δὲ μείζους τὰς τῶν ἄλλων, ὥστε εἴ τε ἴσαι εἴ τε μείζους, ἀμφοτέρως ἄπειρος ἡ ὅλη· λαμβάνομεν γὰρ τὸ ἐνδεχόμενον. ἐπεὶ δ' ἅμα κινεῖται καὶ τὸ Α καὶ τῶν ἀλλων ἕκαστον, ἡ ὅλη κίνησις ἐν τῷ αὐτῷ χρόνῳ ἔσται καὶ ἡ τοῦ Α· ἡ δὲ τοῦ Α ἐν πεπερασμένῳ· ὥστε εἴη ἂν ἄπειρος ἐν πεπερασμένῳ, τοῦτο δ' ἀδύνατον. οὕτω

μὲν οὖν δόξειεν ἂν δεδεῖχθαι τὸ ἐξ ἀρχῆς, οὐ μὴν ἀποδείκνυται διὰ τὸ μηδὲν δείκνυσθαι ἀδύνατον· ἐνδέχεται γὰρ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον εἶναι κίνησιν, μὴ ἑνὸς ἀλλὰ πολλῶν. ὅπερ συμβαίνει καὶ ἐπὶ τούτων· ἕκαστον γὰρ κινεῖται τὴν ἑαυτοῦ κίνησιν, ἅμα δὲ πολλὰ κινεῖσθαι οὐκ ἀδύνατον. ἀλλ' εἰ τὸ κινοῦν πρώτως κατὰ τόπον καὶ σωματικὴν κίνησιν ἀνάγκη ἢ ἅπτεσθαι ἢ συνεχὲς εἶναι τῷ κινουμένῳ, καθάπερ ὁρῶμεν ἐπὶ πάντων, ἀνάγκη τὰ κινούμενα καὶ τὰ κινοῦντα συνεχῆ εἶναι ἢ ἅπτεσθαι ἀλλήλων, ὥστ' εἶναί τι ἐξ ἁπάντων ἕν. τοῦτο δὲ εἴτε πεπερασμένον εἴτε ἄπειρον, οὐδὲν διαφέρει πρὸς τὰ νῦν· πάντως γὰρ ἡ κίνησις ἔσται ἄπειρος ἀπείρων ὄντων, εἴπερ ἐνδέχεται καὶ ἴσας εἶναι καὶ μείζους ἀλλήλων· ὃ γὰρ ἐνδέχεται, ληψόμεθα ὡς ὑπάρχον. εἰ οὖν τὸ μὲν ἐκ τῶν ΑΒΓΔ ⟨ἢ πεπερασμένον ἢ⟩ ἄπειρόν τί ἐστιν, κινεῖται δὲ τὴν ΕΖΗΘ κίνησιν ἐν τῷ χρόνῳ τῷ Κ, οὗτος δὲ πεπέρανται, συμβαίνει ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον διιέναι ἢ τὸ πεπερασμένον ἢ

242ᵇ 53–9 = 242ᵇ 20–24 59—243ª 31 = 24—243ª 2

ᵇ 43 αὐτοῦ scripsi : αὐτοῦ Σ 44 τοῦ] τὸ b 45 ante ἐπεὶ addit y textum alterum 242ᵇ 12–13 καὶ . . . ἕκαστον δὴ scripsi : δὲ Σ ἄπειρα] ἄρα y 48 ἐνδέχεται . . . ἄλλων om. cj : ἐνδέχεται δὲ μείζους j sed erasum 49 εἴ] εἰς cjy τε ἴσαι εἴ S : ἀεὶ Σ : τε ἀεὶ ἴσαι εἴ Spengel 50 καὶ om. Prantl 52–3 ὥστε . . . πεπερασμένῳ om. b¹ 53 ἐν] ἐν τῷ c 59 εἰ om. y πρῶτον S 64 τὸ Moreliana πρώτως c 66 καὶ pr. om. cjy 68 ἢ πεπερασμένον ἢ addidi ἄπειρον ΣS : τῶν ἀπείρων Prantl

diyelim. A'nın devinimi sınırlı olduğundan zaman da sınırlı olacaktır. İmdi devindirenleri ve devindirilenleri sonsuz diye [kabul ettiğimize gö- 45
re], hepsinden oluşan E F G H devinimi de sonsuz olacaktır. A'nın, B'nin ve ötekilerin deviniminin eşit olması olası; yine kimilerinin ötekilerden daha büyük olması olası; dolayısıyla ister onlar eşit olsun ister daha büyük olsun, heriki durumda da [devinimin] bütünü sonsuz olacak, kabul ettiğimiz olasılık bu! Ne ki, hem A hem de ötekilerden herbiri ay- 50
nı anda devindiğine göre, devinimin bütünü ile [yalnızca] A'nın devinimi aynı zaman içinde olacaktır. Oysa A'nın devinimi sınırlı bir [zaman] içinde olacaktır. Dolayısıyla sınırlı bir zaman içinde sonsuz bir devinim olacak, bu ise olanaksız.

İmdi böylece, baştaki savımızın [kabulümüzün: ilk devindiricinin varlığı] böylece kanıtlandığı düşünülebilir, ama henüz kanıtlanmış değil, çünkü [karşı tezin] hepten olanaksız olduğu kanıtlanmadı. Nitekim sınır- 55
lı bir zaman içinde, tekbir nesnenin değil, birçok nesnenin deviniminin sonsuz olması olası. Şu durumda tam da bu sözkonusu: herbir nesne kendi devinimini gerçekleştiriyor, pek çok nesnenin aynı anda devinmesi olanaksız değil. Ama her devinimde gördüğümüz gibi, eğer 'ilk anlam- 60
da'/dolaysız olarak bir yerde ve bir cisim olarak devinim gerçekleştirecek olan devindiren nesnenin devindirilen nesneyle ya bitişik ya sürekli olması zorunluysa, devindirenle devindirilenin birbiriyle ya da sürekli ya da bitişik olması, dolayısıyla hepsinden bir tür 'birlik' oluşması zorunlu. Bunun sınırlı ya da sonsuz olması şu andaki temellendirmemiz/savımız açısından önemli değil, çünkü hem birbirlerine eşit hem de birbirlerin- 65
den daha büyük olmaları olası ise, sonsuz sayıda olan nesnelerin devinimi her durumda sonsuz olacaktır - burada olası olan şeyi "öyleymiş" gibi kabul edeceğiz. İmdi ABCD'den oluşan şey [[ya sınırlı]] ya da sonsuz bir şeyse ve EFGH devinimini K zamanında gerçekleştiriyorsa, bu zaman da sınırlıysa, sözkonusu olan şu: sınırlı bir zaman içinde ya sınırlı bir nesne ya da sonsuz bir nesne sonsuz bir devinim gerçekleştirecektir. 70

τὸ ἄπειρον. ἀμφοτέρως δὲ ἀδύνατον· ὥστε ἀνάγκη ἵστασθαι καὶ εἶναί τι πρῶτον κινοῦν καὶ κινούμενον. οὐδὲν γὰρ διαφέρει τὸ συμβαίνειν ἐξ ὑποθέσεως τὸ ἀδύνατον·
243ª 30 ἡ γὰρ ὑπόθεσις εἰληπται ἐνδεχομένη, τοῦ δ' ἐνδεχομένου τεθέντος οὐδὲν προσήκει γίγνεσθαι διὰ τοῦτο ἀδύνατον.

Τὸ δὲ πρῶτον κινοῦν, μὴ ὡς τὸ οὗ ἕνεκεν, ἀλλ' ὅθεν 2
ἡ ἀρχὴ τῆς κινήσεως, ἅμα τῷ κινουμένῳ ἐστί (λέγω δὲ τὸ ἅμα, ὅτι οὐδέν ἐστιν αὐτῶν μεταξύ)· τοῦτο γὰρ κοι-
35 νὸν ἐπὶ παντὸς κινουμένου καὶ κινοῦντός ἐστιν. ἐπεὶ δὲ τρεῖς αἱ κινήσεις, ἥ τε κατὰ τόπον καὶ ἡ κατὰ τὸ ποιὸν καὶ ἡ κατὰ τὸ ποσόν, ἀνάγκη καὶ τὰ κινοῦντα τρία εἶναι, τό τε φέρον καὶ τὸ ἀλλοιοῦν καὶ τὸ αὔξον ἢ φθῖνον. πρῶτον οὖν εἴπωμεν περὶ τῆς φορᾶς· πρώτη
40 γὰρ αὕτη τῶν κινήσεων.

11

ἅπαν δὴ τὸ φερόμενον ἢ ὑφ' ἑαυτοῦ κινεῖται ἢ ὑπ' ἄλλου. ὅσα μὲν οὖν αὐτὰ ὑφ' αὑτῶν κινεῖται, φανερὸν ἐν τούτοις ὅτι ἅμα τὸ κινούμενον καὶ τὸ κινοῦν ἐστιν· ἐνυπάρχει γὰρ αὐτοῖς τὸ πρῶτον κινοῦν, ὥστ'
15 οὐδέν ἐστιν ἀναμεταξύ· ὅσα δ' ὑπ' ἄλλου κινεῖται, τετραχῶς ἀνάγκη γίγνεσθαι· τέτταρα γὰρ εἴδη τῆς ὑπ' ἄλλου φορᾶς, ἕλξις, ὦσις, ὄχησις, δίνησις. ἅπασαι γὰρ αἱ κατὰ τόπον κινήσεις ἀνάγονται εἰς ταύτας· ἡ μὲν γὰρ ἔπωσις ὦσίς τίς ἐστιν, ὅταν τὸ ἀφ' αὑτοῦ κινοῦν ἐπακολουθοῦν ὠθῇ, ἡ δ' ἄπω-
20 σις, ὅταν μὴ ἐπακολουθῇ κινήσαν, ἡ δὲ ῥῖψις, ὅταν σφο-
243ᵇ δροτέραν ποιήσῃ τὴν ἀφ' αὑτοῦ κίνησιν τῆς κατὰ φύσιν φορᾶς, καὶ μέχρι τοσούτου φέρηται ἕως ἂν κρατῇ ἡ κίνησις. πάλιν ἡ δίωσις καὶ σύνωσις ἄπωσις καὶ ἕλξις εἰσίν· ἡ μὲν γὰρ δίωσις ἄπωσις (ἡ γὰρ ἀφ' αὑτοῦ ἢ ἀπ' ἄλλου ἐστὶν ἡ
5 ἄπωσις), ἡ δὲ σύνωσις ἕλξις (καὶ γὰρ πρὸς αὐτὸ καὶ πρὸς

243ª 32–40 = 243ª 3–11 11–15 = 21–3 15–20 = 23–8
20–ᵇ2 = 244ª 21–4 ᵇ 3–16 = 243ᵇ 24–9

ᵇ 72 καί alt. om. c : μὴ ut vid. S : οὐ Gaye 243ª 31 διὰ τοῦτο γίνεσθαι S 32 πρῶτον bS : πρώτως cjy 37 καί alt. om. cjy τρία πρῶτον εἶναι y 38 φέρον καὶ τὸ yS : om. bcj 12 ἢ pr.] ἡ αὐτὸ S 14 πρώτως y 16 τετάρτης ἤδη τῆς b 17 ὦσις om. c 19 ἀφ' αὑτοῦ ex S scripsi : ἀπ' αὐτοῦ Σ ἐπακολουθοῦν cjy S : ἐπακόλουθον b 20 δὲ Basiliensis : δὴ Σ ᵇ 1 ἀφ' αὑτοῦ scripsi ἀπ' αὐτοῦ Σ 4 ἀφ' αὑτοῦ S, Spengel : ἀπ' αὐτοῦ Σ

Ama herikisi de olanaksız. Dolayısıyla durmak gerekiyor! Bir ilk devindiren ile ilk devindirilenin varolması zorunlu. Olanaksızlığın bir varsayımdan çıkması hiç önemli değil, çünkü varsayım olasılık olarak alındı: olasılık kondukta ondan olanaksızlığın ortaya çıkmasından başka bir şey çıkmıyor.[65] 30 243a

2 "İlk/doğrudan devindiren", ereksel neden olarak değil, devinimin kendisinden başlayan şey anlamında devindirenle birliktedir ("birlikteden şunu kastediyorum: onların arasında hiçbir şey yoktur). Bu her devindirilen ile devindiren konusunda ortak olan bir şey. Madem yer 35 açısından, nitelik açısından, nicelik açısından olmak üzere üç tür devinim var, devindirenlerin de üç tür olması zorunlu: yer değiştirten, nitelik değiştirten, büyüten ya da eksilten. İmdi ilkin yer değiştirme üzerine konuşalım, çünkü devinimlerde başta geleni o.[66] 40

Her yer değiştiren nesne ya kendisi tarafından ya da başka bir nesne tarafından devindirilir. Kendileri tarafından devindirilen nice nesne varsa bunlarda devindirilen ile devindiren birarada bulunur, bu açık, çünkü bunlarda ilk/doğrudan devindiren içkindir, dolayısıyla arada hiçbir şey yoktur. Başka bir nesne tarafından devindirilenlerde ise bu hun 45 dört biçimde oluşması zorunlu; çünkü başka bir nesne tarafından yer değiştirmenin dört türü var: çekme, itme, taşıma, döndürme; bütün yere göre devinimler bunlara girer. Sürükleme, devindiren nesnenin kendisi devinimi izlediği zaman, tepme devinimi izlemediği zaman, atma ise 20 devindiren doğal yer değiştirmeden daha güçlü bir devinim yarattığında ve nesne, devinim gücünü taşıdığı kadar yer değiştirdiği zaman olan bir itmedir. Yine sıçratma ile önüne katma bir tepme ile çekmedir, çünkü sıçratma bir tepme (tepme ya kendine ya da başka bir nesneye bağlıdır)), önüne katma bir çekmedir (çünkü çekme kendine ve 5 243b

1. 242b 71 — 2. 244a 15

ἄλλο ἡ ἕλξις). ὥστε καὶ ὅσα τούτων εἴδη, οἷον σπάθησις καὶ κέρκισις· ἡ μὲν γὰρ σύνωσις, ἡ δὲ δίωσις. ὁμοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις καὶ διακρίσεις—ἅπασαι γὰρ ἔσονται διώσεις ἢ συνώσεις—πλὴν ὅσαι ἐν γενέσει καὶ φθορᾷ εἰσιν. ἅμα δὲ φανερὸν ὅτι οὐδ' ἔστιν ἄλλο τι γένος κινήσεως ἡ σύγκρισις καὶ διάκρισις· ἅπασαι γὰρ διανέμονται εἴς τινας τῶν εἰρημένων. ἔτι δ' ἡ μὲν εἰσπνοὴ ἕλξις, ἡ δ' ἐκπνοὴ ὦσις. ὁμοίως δὲ καὶ ἡ πτῦσις, καὶ ὅσαι ἄλλαι διὰ τοῦ σώματος ἢ ἐκκριτικαὶ ἢ ληπτικαὶ κινήσεις· αἱ μὲν γὰρ ἕλξεις εἰσίν, αἱ δ' ἀπώσεις. δεῖ δὲ καὶ τὰς ἄλλας τὰς κατὰ τόπον ἀνάγειν· ἅπασαι γὰρ πίπτουσιν εἰς τέσσαρας ταύτας. τούτων δὲ πάλιν ἡ ὄχησις καὶ ἡ δίνησις εἰς ἕλξιν καὶ ὦσιν. ἡ μὲν γὰρ ὄχησις κατὰ τούτων τινὰ τῶν τριῶν τρόπων ἐστίν (τὸ μὲν γὰρ ὀχούμενον κινεῖται κατὰ συμβεβηκός, ὅτι ἐν κινουμένῳ ἐστὶν ἢ ἐπὶ κινουμένου τινός, τὸ δ' ὀχοῦν ὀχεῖ ἢ ἑλκόμενον ἢ ὠθούμενον ἢ δινούμενον, ὥστε κοινή ἐστιν ἁπασῶν τῶν τριῶν ἡ 244a ὄχησις)· ἡ δὲ δίνησις σύγκειται ἐξ ἕλξεώς τε καὶ ὦσεως· ἀνάγκη γὰρ τὸ δινοῦν τὸ μὲν ἕλκειν τὸ δ' ὠθεῖν· τὸ μὲν γὰρ ἀφ' αὑτοῦ τὸ δὲ πρὸς αὑτὸ ἄγει. ὥστ' εἰ τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τῷ ὠθουμένῳ καὶ τῷ ἑλκομένῳ, φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ.

ἀλλὰ μὴν τοῦτο δῆλον καὶ ἐκ τῶν ὁρισμῶν· ὦσις μὲν γάρ ἐστιν ἡ ἀφ' αὑτοῦ ἡ ἀπ' ἄλλου πρὸς ἄλλο κίνησις, ἕλξις δὲ ἡ ἀπ' ἄλλου πρὸς αὐτὸ ἢ πρὸς ἄλλο, ὅταν θάττων ἡ κίνησις ᾖ [τοῦ ἕλκοντος] τῆς χωριζούσης ἀπ' ἀλλήλων τὰ συνεχῆ· οὕτω γὰρ συνεφέλκεται θάτερον. (τάχα δὲ δόξειεν ἂν εἶναί τις ἕλξις καὶ ἄλλως· τὸ γὰρ ξύλον ἕλκει τὸ πῦρ οὐχ οὕτως. τὸ δ' οὐθὲν διαφέρει κινουμένου τοῦ ἕλκοντος ἢ μένοντος ἕλκειν· ὁτὲ μὲν γὰρ ἕλκει οὗ ἔστιν, ὁτὲ δὲ οὗ ἦν.) ἀδύνατον δὲ ἢ ἀφ' αὑτοῦ πρὸς ἄλλο ἢ ἀπ' ἄλλου πρὸς αὐτὸ κινεῖν

243b 17—244a 2 = 243a 28–b 23 244a 2–6 = 243b 29—244a 18
7–9 = 244a 19–21 8–11 = 243b 23–4

b 8 αἱ om. y 10 οὐδεν y 11 ἡ S, Prantl : ἢ Σ 15 an δεῖ δὴ ? 17 ὄχλησις cj καὶ ἡ . . . 18 ὄχησις om. y 18 ὄχλησις cj 20 ὠθοῦν cjy ἔχει b 244a 4 αὐτὸ P, Spengel : αὐτὸν jy : αὐτὸν bc 5 τῷ alt. om. S 9–10 ὅταν . . . συνεχῆ om. γρ A 9 αὐτὸ Moreliana : αὐτὸ Σ θάττων scripsi cum S : θαττον Σ 10 τοῦ ἕλκοντος seclusi, om. S τῆς χωριζουσης bS : ἡ χωρίζουσα cjy : ἢ ἡ χωρίζουσα Gaye : μὴ χωρὶς οὖσα Diels ἀπ' . . . συνεχῆ ΣS : secl. Diels 12 τὸ πῦρ S dett. : om. Σ 15 δὲ ἡ c αὐτὸ Moreliana : αὐτὸ Σ

başka bir nesneye doğru olur). Bunların bütün türleri de, sözgelişi toplama ile ayırma da öyle, çünkü biri önüne katma öteki tepme. Bütün öteki toplamalar ile ayırmalar da aynı şekilde -hepsi ya tepme ya da önüne katma olacaktır-, ancak oluşta ve yokoluştakiler dışında. Aynı zamanda şu da açık: karışma ile çözülme de başka bir devinim türü değil, çünkü hepsi yukarıda söylediklerimiz içindekilere girer. Yine nefes alma bir çekme, nefes verme bir itmedir, tükürme de öyle. Beden aracılığıyla olan bütün ötekiler de ya çıkarma ya da alma devinimleridir, yani kimi çekme kimi de itme. Ama yere göre öteki devinimleri de bunlara indirgemek gerekir, çünkü hepsi bu dördünden birine girer. Yine bunların içinde de taşıma ile döndürme çekme ile itmeye girer. Çünkü taşıma bunların üçünden birine göre olur (nitekim taşınan nesne ilineksel anlamda devinir, ya devinen nesnenin içindedir ya da devinen nesnenin üstündedir; taşıyan ise ya çekerek ya iterek ya döndürerek taşır, dolayısıyla taşıma üçünün hepsiyle de ortak). Döndürme ise çekme ile itmeden oluşur, çünkü döndüren nesnenin bir yandan itmesi öte yandan çekmesi zorunlu, bir yandan kendinden [uzağa] bir yandan da kendine doğru iter. Dolayısıyla iten ve çeken nesne itilen ve çekilen nesne ile birlikte ise açık ki, yere göre devinenle devindiren arasında bulunan hiçbir ara nesne yoktur.

Ne ki bu tanımlardan da açık: nitekim itme kendinden ya da başka bir nesneden bir başka nesneye doğru devinimdir, çekme ise [çekenin] devinimi, sürekli olan parçaları birbirlerinden ayıran devinimden daha hızlı olduğu zaman, başka bir nesneden kendine ya da başka bir nesneye doğru devinimdir; nitekim öteki nesne böyle birlikte alınır (ama belki bir çekmenin başka biçimde olduğu da düşünülebilir, sözgelişi tahta alevi bu biçimde çekmez, ama çekme açısından çekenin devinmesi ya da durması hiç önemli değil, çünkü birinde neredeyse oraya çeker, öteki durumda ise nerede idiyse oraya). Bitişik olmayan bir nesnenin kendinden başka bir nesneye ya da başka bir nesneden kendine doğru devindirilmesi

244[b] μὴ ἁπτόμενον, ὥστε φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου
2 καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ.
2 ἀλλὰ μὴν οὐδὲ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος. τοῦτο δὲ δῆλον ἐξ ἐπαγωγῆς· ἐν ἅπασι γὰρ συμβαίνει ἅμα εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ
5 τὸ πρῶτον ἀλλοιούμενον· ⟨ὑπόκειται γὰρ ἡμῖν τὸ τὰ ἀλλοιου-
5a μενα κατὰ τὰς παθητικὰς καλουμένας ποιότητας πάσχοντα
5b ἀλλοιοῦσθαι⟩. ἅπαν γὰρ σῶμα σώματος διαφέρει τοῖς αἰσθη-
5c τοῖς ἢ πλείοσιν ἢ ἐλάττοσιν ἢ τῷ μᾶλλον καὶ ἧττον τοῖς
5d αὐτοῖς· ἀλλὰ μὴν καὶ ἀλλοιοῦται τὸ ἀλλοιούμενον ὑπὸ τῶν εἰρημένων. ταῦτα γάρ ἐστι πάθη τῆς ὑποκειμένης ποιότητος· ἢ γὰρ θερμαινόμενον ἢ γλυκαινόμενον ἢ πυκνούμενον ἢ ξηραινόμενον ἢ λευκαινόμενον ἀλλοιοῦσθαί φαμεν, ὁμοίως τό τε ἄψυχον καὶ τὸ ἔμψυχον λέγοντες, καὶ πάλιν τῶν ἐμψύχων τά τε μὴ
10 αἰσθητικὰ τῶν μερῶν καὶ αὐτὰς τὰς αἰσθήσεις. ἀλλοιοῦνται γάρ πως καὶ αἱ αἰσθήσεις· ἡ γὰρ αἴσθησις ἡ κατ' ἐνέργειαν κίνησίς ἐστι διὰ τοῦ σώματος, πασχούσης τι τῆς αἰσθήσεως. καθ' ὅσα μὲν οὖν τὸ ἄψυχον ἀλλοιοῦται, καὶ τὸ ἔμψυχον, καθ' ὅσα δὲ τὸ ἔμψυχον, οὐ κατὰ ταῦτα πάντα τὸ ἄψυχον (οὐ γὰρ ἀλλοι-
15 οῦται κατὰ τὰς αἰσθήσεις)· καὶ τὸ μὲν λανθάνει, τὸ δ' οὐ
245[a] λανθάνει πάσχον. οὐδὲν δὲ κωλύει καὶ τὸ ἔμψυχον λανθάνειν, ὅταν μὴ κατὰ τὰς αἰσθήσεις γίγνηται ἡ ἀλλοίωσις. εἴπερ οὖν ἀλλοιοῦται τὸ ἀλλοιούμενον ὑπὸ τῶν αἰσθητῶν, ἐν ἅπασί γε τούτοις φανερὸν ὅτι ἅμα ἐστὶ τὸ ἔσχατον ἀλλοιοῦν
5 καὶ τὸ πρῶτον ἀλλοιούμενον· τῷ μὲν γὰρ συνεχὴς ὁ ἀήρ, τῷ δ' ἀέρι τὸ σῶμα. πάλιν δὲ τὸ μὲν χρῶμα τῷ φωτί, τὸ δὲ φῶς τῇ ὄψει. τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις· πρῶτον γὰρ κινοῦν πρὸς τὸ κινούμενον ὁ ἀήρ. καὶ

244[b] 1–2 = 244[a] 24–5 2–12 = [a] 25–[b] 27 12—245[a] 2 = [b] 27—245[a] 20 245[a] 2–10 = 20–26

---

[b] 2–3 ἀλλὰ . . . ἐπαγωγῆς ΣS : ὁμοίως δὲ κἂν εἴ τι ἔστι ποιητικὸν καὶ γεννητικὸν τοῦ ποιοῦ, καὶ τοῦτο ἀνάγκη ποιεῖν ἁπτόμενον βαρὺ κοῦφον γρ. A 5 πρῶτον AS, Spengel : om. Σ ὑπόκειται . . . 5ὁ ἀλλοιοῦσθαι addidi ex S : ὑπόκειται . . . παθητικὰς λεγομένας ποιότητας πάσχοντα ἀλλοιοῦσθαι· τὸ γὰρ ποιὸν ἀλλοιοῦται τῷ αἰσθητὸν εἶναι, αἰσθητὰ δ' ἐστίν, οἷς διαφέρουσι τὰ σώματα ἀλλήλων ex S addenda ci. Prantl (cf. [a] 27–[b] 16) 5ὁ–d ἅπαν . . . ἀλλοιούμενον H et ut vid. S : om. Σ 6 τῆς ὑποκειμένης HΣS : τοῖς ὑποκειμένοις Spengel : τοῦ ὑποκειμένου Prantl 8 τό τε scripsi : τε τὸ Σ : τὸ H 11 πως ΣS : om. H 12 τοῦ ΣS : om. H 14 ταῦτα om. H 245[a] 8 πρῶτον γὰρ] τῷ πρῶτον κινοῦντι· τὸ γὰρ πρῶτον H

olanaksız. Dolayısıyla şu açık: yere göre devinen ile devindiren nesne ara- 244b
sında hiçbir şey yoktur.

Nitelik değiştiren nesne ile nitelik değiştirten nesne [arasında da bir ara nesne] yok, bu tümevarımla açık: bütün nesnelerde son/doğrudan nitelik değiştirten ile ilk/doğrudan nitelik değiştirenin birlikte olması sözkonusu [[bizim kabulümüz şu: nitelik değiştiren nesneler "niteliksel" 5
diye adlandırılan duygulanımlar açısından bir etkilenim altında nitelik değiştirirler]]. Nitekim her cisim başka bir cisimden duyusal nitelikleri açısından daha çok ya da daha az olması ya da onların bunları daha çok ya da daha az derecede taşımaları açısından birbirinden ayrılır. Ama nitelik değiştiren nesne kesinlikle bu sözünü ettiğimiz şeyler aracılığıyla nitelik değiştirir, çünkü bunlar taşıyıcı nitelik durumlarıdır. Isınan, tatlılaşan, sıklaşan, kuruyan, aklaşan nesnenin nitelik değiştirdiğini söyleriz: hem canlı hem de cansız nesne açısından, yine canlılarla ilgili olarak da hem duyumlayamayan parçaları hem de duyumların/duyu organlarının kendileri açısından aynı biçimde konuşuruz. Çünkü duyumlar da bir bi- 10
çimde nitelik değiştirir. Nitekim duyum, duyu organının kendisi bir etki altında kaldığı için, beden aracılığıyla [gerçekleştirilen] etkinlik halindeki bir devinimdir. Öyleyse cansız nesne hangi açılardan nitelik değiştirirse, canlı nesne de o açılardan nitelik değiştirir, ama canlı nesnenin nitelik değiştirdiği bütün açılardan cansız nesne nitelik değiştirmez (çünkü duyu organlarının kendileri de nitelik değiştiriyor), canlı cisim etkile- 15
nimin farkına varır, öteki varmaz. Nitelik değiştirme duyu organlarına 245a
göre oluşmadığı zaman canlı nesnenin de farkına varmamasına bir engel yok. Demek ki nitelik değiştiren nesne duyumlanabilir niteliklerce nitelik değiştiriyorsa, bütün bunlarda son/doğrudan nitelik değiştirten ile ilk/doğrudan nitelik değiştiren birliktedir, bu açık. Nitekim bu 5
[son/doğrudan nitelik değiştiren] ile hava süreklidir, havayla da cisim. Yine renk ışıkla, ışık görme duyusu ile süreklidir. İşitme ile koku almada da bu böyle. Çünkü devindirilenin yanıbaşındaki ilk devindiren havadır.

2. 244^{b} 1 — 3. 246^{a} 1

ἐπὶ τῆς γεύσεως ὁμοίως· ἅμα γὰρ τῇ γεύσει ὁ χυμός. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων. ὥστ' οὐ- 10
δὲν ἔσται μεταξὺ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος. 11
οὐδὲ 11
μὴν τοῦ αὐξανομένου τε καὶ αὔξοντος· αὐξάνει γὰρ τὸ πρῶτον αὔξον προσγιγνόμενον, ὥστε ἓν γίγνεσθαι τὸ ὅλον. καὶ πάλιν φθίνει τὸ φθῖνον ἀπογιγνομένου τινὸς τῶν τοῦ φθίνοντος. ἀνάγκη οὖν συνεχὲς εἶναι καὶ τὸ αὔξον καὶ τὸ φθῖνον, τῶν 15
δὲ συνεχῶν οὐδὲν μεταξύ. φανερὸν οὖν ὅτι τοῦ κινουμένου καὶ τοῦ κινοῦντος πρώτου καὶ ἐσχάτου πρὸς τὸ κινούμενον οὐδέν 245^{b}
ἐστιν ἀνὰ μέσον.

3 Ὅτι δὲ τὸ ἀλλοιούμενον ἅπαν ἀλλοιοῦται ὑπὸ τῶν αἰσθητῶν, καὶ ἐν μόνοις ὑπάρχει τούτοις ἀλλοίωσις ὅσα καθ' αὑτὰ λέγεται πάσχειν ὑπὸ τῶν αἰσθητῶν, ἐκ τῶνδε θεωρητέον. τῶν γὰρ ἄλλων μάλιστ' ἄν τις ὑπολάβοι ἔν τε τοῖς σχήμασι καὶ ταῖς μορφαῖς καὶ ἐν ταῖς ἕξεσι καὶ ταῖς τούτων λήψεσι καὶ ἀποβολαῖς ἀλλοίωσιν ὑπάρχειν· ἐν οὐδετέροις δ' ἔστιν. τὸ μὲν γὰρ σχηματιζόμενον καὶ ῥυθμιζόμενον ὅταν ἐπιτελεσθῇ, οὐ λέγομεν ἐκεῖνο ἐξ οὗ ἐστιν, οἷον τὸν ἀνδριάντα χαλκὸν ἢ τὴν πυραμίδα κηρὸν ἢ τὴν κλίνην ξύλον, ἀλλὰ παρωνυμιάζοντες τὸ μὲν χαλκοῦν, τὸ δὲ κήρινον, τὸ δὲ ξύλινον. τὸ δὲ πεπονθὸς καὶ ἠλλοιωμένον προσαγορεύομεν· ὑγρὸν γὰρ καὶ θερμὸν καὶ σκληρὸν τὸν χαλκὸν λέγομεν καὶ τὸν κηρόν (καὶ οὐ μόνον οὕτως, ἀλλὰ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμὸν χαλκὸν λέγομεν), ὁμωνύμως τῷ πάθει προσαγορεύοντες τὴν ὕλην. ὥστ' εἰ κατὰ μὲν τὸ σχῆμα καὶ τὴν μορφὴν οὐ λέγεται 246^{a}

245^{a} 11–14 = 245^{a} 26–9 16–^{b} 2 = 29–^{b} 18 ^{b} 3–9 = ^{b} 19–24 9—246^{a} 1 = 24—246^{a} 22 246^{a} 1–4 = 22–5

---

^{a} 10 καὶ alt. ΣS : καὶ τῶν H 11 ἀλλοιουμένου . . . ἀλλοιοῦντος ΣS : ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου H οὐδέ] οὐδὲ μὴν τοῦ αὐξανομένου καὶ τοῦ ἀλλοιοῦντος οὐδὲ c 12 καὶ αὐξάνοντος H 13 ἓν om. H 16 οὖν] δὲ y ^{b} 1 τὸ ΣP : τι H 3 πᾶν S 4–5 καὶ . . . αἰσθητῶν HbS : om. cjy 5 αὑτὰ πάσχει S 6 τε om. S 7 ταῖς om. S : ἐν ταῖς bcj ἐν om. S καὶ] καὶ ἐν c : ἢ S 8 οὐδετέραις H 9 καὶ ῥυθμιζόμενον om. Σ 12 τὸ pr. et alt.] τὸν Σ 13–14 ὑγρὸν . . . σκληρὸν HIT : ξηρὸν γὰρ καὶ ὑγρὸν καὶ σκληρὸν καὶ θερμὸν Σ 14 καὶ τὸν κηρὸν λέγομεν I : λέγομεν καὶ τὸ ξύλον ST 15 καὶ alt. om. y καὶ alt. . . . 16 χαλκὸν] χαλκὸν καὶ τὸ θερμὸν ξύλον S 16—246^{a} 1 λέγομεν . . . ὕλην] ὁμωνύμως λέγοντες τῷ πάθει HI^{1} 246^{a} 1 μὲν κατὰ H καὶ om. Bekker (an casu ?) οὐ] μὴ H

Tadalma konusunda da bu böyle, çünkü tadalma organı ile şurup birliktedir. Cansız ve duyumdan bağımsız nesnelerde de bu böyle. Dolayısıyla nitelik değiştiren nesne ile nitelik değiştirten nesne arasında hiçbir şey yok.

Büyüyen nesne ile büyüten [arasında da] yok, çünkü ilk/doğrudan büyüten, 'bütün', bir birlik oluşturacak biçimde büyüyene eklenir. Yine eksilten de eksilenden bir şey çekerek eksiltir. İmdi hem büyütenin hem de eksiltenin sürekli olması zorunlu, sürekli nesnelerin arasında da hiçbir ara nesne yok. Öyleyse şu açık: devinenle devindirenin arasında, bunlar devinenle ilgili olarak ilk/doğrudan ve son/doğrudan diye alındıkta, bir ara nesne yoktur. 245b

3 Nitelik değiştiren her nesnenin duyulur olanlarca nitelik değiştirdiğine ve yalnızca 'kendi başlarına'/doğrudan duyulur olanlarca bir etkilenim altında kaldıkları söylenen nesnelerde nitelik değiştirmenin olduğuna şuradan bakmak gerekiyor: öteki nesneler arasında özellikle şekillerde (skhemasi), biçimlerde (morphais), durumlarda/huylarda (heksesi) bunların edinilmesi ve yitirilmesi açısından bir nitelik değiştirmesi olduğu kabul edilebilecektir, oysa hiçbirinde yok. Çünkü tamamlandığı/mükemmelleştiği zaman, 'şekillenen' ya da 'biçimlenen' nesneyi, geldiği nesneye göre adlandırmıyoruz, sözgelişi heykele "bronz", piramite "mum", yatağa "tahta" demiyor, türeterek adlandırıp "bronzdan", "mumdan", "tahtadan" diyoruz. Oysa etkilenen ve nitelik değiştiren nesneye, sözgelişi bronz ile muma "kaygan?/ıslak", "sıcak", "sert" diyoruz (bu kadarla kalmıyor, ıslak/kaygan ve sıcak nesneye "bronz" adını veriyoruz), diyesim maddeyi etkilenimle eşadlı olarak adlandırıyoruz. Dolayısıyla şeklini alıp, oluşmuş 246a

τὸ γεγονὸς ἐν ᾧ ἐστι τὸ σχῆμα, κατὰ δὲ τὰ πάθη καὶ τὰς ἀλλοιώσεις λέγεται, φανερὸν ὅτι οὐκ ἂν εἶεν αἱ γενέσεις ἀλλοιώσεις. ἔτι δὲ καὶ εἰπεῖν οὕτως ἄτοπον ἂν δόξειεν, ἠλλοιῶσθαι τὸν ἄνθρωπον ἢ τὴν οἰκίαν ἢ ἄλλο ὁτιοῦν τῶν γεγενημένων· ἀλλὰ γίγνεσθαι μὲν ἴσως ἕκαστον ἀναγκαῖον ἀλλοιουμένου τινός, οἷον τῆς ὕλης πυκνουμένης ἢ μανουμένης ἢ θερμαινομένης ἢ ψυχομένης, οὐ μέντοι τὰ γιγνόμενά γε ἀλλοιοῦται, οὐδ' ἡ γένεσις αὐτῶν ἀλλοίωσίς ἐστιν.

ἀλλὰ μὴν οὐδ' αἱ ἕξεις οὔθ' αἱ τοῦ σώματος οὔθ' αἱ τῆς ψυχῆς ἀλλοιώσεις. αἱ μὲν γὰρ ἀρεταὶ αἱ δὲ κακίαι τῶν ἕξεων· οὐκ ἔστι δὲ οὔτε ἡ ἀρετὴ οὔτε ἡ κακία ἀλλοίωσις, ἀλλ' ἡ μὲν ἀρετὴ τελείωσίς τις (ὅταν γὰρ λάβῃ τὴν αὑτοῦ ἀρετήν, τότε λέγεται τέλειον ἕκαστον—τότε γὰρ ἔστι μάλιστα [τὸ] κατὰ φύσιν—ὥσπερ κύκλος τέλειος, ὅταν μάλιστα γένηται κύκλος καὶ ὅταν βέλτιστος), ἡ δὲ κακία φθορὰ τούτου καὶ ἔκστασις· ὥσπερ οὖν οὐδὲ τὸ τῆς οἰκίας τελείωμα λέγομεν ἀλλοίωσιν (ἄτοπον γὰρ εἰ ὁ θριγκὸς καὶ ὁ κέραμος ἀλλοίωσις, ἢ εἰ θριγκουμένη καὶ κεραμουμένη ἀλλοιοῦται ἀλλὰ μὴ τελειοῦται ἡ οἰκία), τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶν καὶ τῶν ἐχόντων ἢ λαμβανόντων· αἱ μὲν γὰρ τελειώσεις αἱ δὲ ἐκστάσεις εἰσίν, ὥστ' οὐκ ἀλλοιώσεις.

ἔτι δὲ καί φαμεν ἁπάσας εἶναι τὰς ἀρετὰς ἐν τῷ πρός τι πῶς ἔχειν. τὰς μὲν γὰρ τοῦ σώματος, οἷον ὑγίειαν καὶ εὐεξίαν, ἐν κράσει καὶ συμμετρίᾳ θερμῶν καὶ ψυχρῶν τίθεμεν, ἢ αὐτῶν πρὸς αὐτὰ τῶν ἐντὸς ἢ πρὸς τὸ περιέχον· ὁμοίως δὲ καὶ τὸ κάλλος καὶ τὴν ἰσχὺν καὶ τὰς ἄλλας

246[a] 4-6 = 246[a] 25-6 8-12 = 28-30 12-17 = [b] 27—247[a] 20 17-20 = 246[a] 26-8 [b] 3-14 = [a] 30—[b] 27

---

[a] 3 γενέσεις HS : γενέσεις αὗται IΣ 4 εἰπεῖν οὕτως IΣS : οὕτως εἰπεῖν H 5 ἠλλοιῶσθαι τὸν ἄνθρωπον] ἢ ἀλλοιοῦσθαι τὸν ἄνθρωπον Σ : ἢ τὸν ἄνθρωπον ἠλλοιῶσθαι I 6 γίνεσθαι IS : γενέσθαι HΣ ἴσως om. S 9 γε om. I ἀλλοιοῦνται I : ἀλλοιοῦτε c 10–11 ἀλλὰ . . . ἀλλοιώσεις bHIS : om. cjy 13 τις] τις ἐστιν bcj γὰρ om. cj 14 ἕκαστον τέλειον I γὰρ] γὰρ καὶ I μάλιστά ἐστι HI : μάλιστα y 15 τὸ seclusi, om. ST 16 καὶ ὅταν βέλτιστος an omittenda ? : βέλτιστος Σ 17 οὔτε Σ 18 κέραμος ἀλλοιώσεις HI 19 εἰ] ἡ HI : εἰ ἡ j καὶ] ἢ I 20 ἡ om. HI αὐτὸν δὴ τρόπον y [b] 1 καὶ ἐπὶ τῶν HI καὶ ἐπὶ τῶν H 3 πάσας I εἶναι om. I 5 ψυχρῶν ἢ θερμῶν HI 6 αὐτῶν] αὐτὰ Hcjy αὐτὰ b ἢ] καὶ H

bir nesne şekline ve biçimine göre değil, etkilenimlerine ve nitelik değişimlerine göre adlandırılıyorsa, oluşlar, nitelik değiştirmesi olamaz, bu açık. Ayrıca 'insan'a, 'ev'e, oluşmuş olan nesnelerden birine "nitelik değiştirdi" demek de tutarsız görülse gerek. Ne ki herhalde herbir nesnenin oluşması için başka bir nesnenin nitelik değiştirmesi zorunlu, sözgelişi maddenin sıklaşması, seyrekleşmesi, ısınması ya da soğuması. Aslında oluşmakta olan nesneler nitelik değiştiriyor değiller, onların oluşması da nitelik değiştirme değil.

Gerek bedene gerekse ruha ait durumlar/huylar da nitelik değiştirme değil. bu huyların/durumların bazıları erdemlerdir, bazıları da kötülükler/kusurlar, erdem de kusurlar da bir nitelik değiştirmesi değil, erdem bir tür "tamamlanma/mükemmellik/amacını taşıma" (nitekim herbir nesne kendi erdemini kazandığından ona "tam/mükemmel" deriz - çünkü ancak o zaman doğasına uygun olur- tıpkı çembere, ancak çember olduğunda ve en iyi olduğunda "tam/mükemmel" denmesi gibi), kötülük erdemsizlik de bunun yokolması, yitirilmesidir. İmdi nasıl evin tamamlanmasına "nitelik değiştirme" *demiyorsak (çünkü, sıvayı, çatıyı bir* nitelik değiştirmesi diye düşünmek ya da sıvanınca, çatısı çatılınca "ev tamamlanıyor" değil de, "ev nitelik değiştiriyor" demek tutarsız olur), elde bulunanların ve elde edenlerin erdemleri ve kusurları/erdemsizlikleri konusunda da bu böyle, çünkü birinciler tamamlanma/mükemmelleşme, 246b ikinciler eksilme/yitirilme, dolayısıyla nitelik değiştirmesi değil.

Ayrıca bütün erdemlerin varlığı, "bir şeyle bağıntılı olarak belli bir durumda olmak"ta. Nitekim bedenin iyi durumlarını, sözgelişi sağlığını, zindeliğini, ya onların birbirleriyle içten bağlantısı olarak ya da dış çevreyle bağlantısı olarak sıcak ve soğuğun bir tür birliğinde, dengesinde buluyoruz. Güzellik, güç/kuvvet, öteki

3. 246ᵃ 2 — 247ᵃ 15

ἀρετὰς καὶ κακίας. ἑκάστη γάρ ἐστι τῷ πρός τι πῶς ἔχειν, καὶ περὶ τὰ οἰκεῖα πάθη εὖ ἢ κακῶς διατίθησι τὸ ἔχον· οἰκεῖα δ' ὑφ' ὧν γίγνεσθαι καὶ φθείρεσθαι πέφυκεν. ἐπεὶ οὖν τὰ πρός τι οὔτε αὐτά ἐστιν ἀλλοιώσεις, οὔτε ἔστιν αὐτῶν ἀλλοίωσις οὐδὲ γένεσις οὐδ' ὅλως μεταβολὴ οὐδεμία, φανερὸν ὅτι οὐθ' αἱ ἕξεις οὐθ' αἱ τῶν ἕξεων ἀποβολαὶ καὶ λήψεις ἀλλοιώσεις εἰσίν, ἀλλὰ γίγνεσθαι μὲν ἴσως αὐτὰς καὶ φθείρεσθαι ἀλλοιουμένων τινῶν ἀνάγκη, καθάπερ καὶ τὸ εἶδος καὶ τὴν μορφήν, οἷον θερμῶν καὶ ψυχρῶν ἢ ξηρῶν καὶ ὑγρῶν, ἡ ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτοις. περὶ ταῦτα γὰρ ἑκάστη λέγεται κακία καὶ ἀρετή, ὑφ' ὧν ἀλλοιοῦσθαι πέφυκε τὸ ἔχον· ἡ μὲν γὰρ ἀρετὴ ποιεῖ ἢ ἀπαθὲς ἢ ὠδὶ παθητικόν, ἡ δὲ κακία παθητικὸν ἢ ἐναντίως ἀπαθές.

ὁμοίως δὲ καὶ ἐπὶ τῶν τῆς ψυχῆς ἕξεων· ἅπασαι γὰρ καὶ αὗται τῷ πρός τι πῶς ἔχειν, καὶ αἱ μὲν ἀρεταὶ τελειώσεις, αἱ δὲ κακίαι ἐκστάσεις. ἔτι δὲ ἡ μὲν ἀρετὴ εὖ διατίθησι πρὸς τὰ οἰκεῖα πάθη, ἡ δὲ κακία κακῶς. ὥστ' οὐδ' αὗται ἔσονται ἀλλοιώσεις· οὐδὲ δὴ αἱ ἀποβολαὶ καὶ αἱ λήψεις αὐτῶν. γίγνεσθαι δ' αὐτὰς ἀναγκαῖον ἀλλοιουμένου τοῦ αἰσθητικοῦ μέρους. ἀλλοιωθήσεται δ' ὑπὸ τῶν αἰσθητῶν· ἅπασα γὰρ ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας τὰς σωματικάς, αὗται δὲ ἢ ἐν τῷ πράττειν ἢ ἐν τῷ μεμνῆσθαι ἢ ἐν τῷ ἐλπίζειν. αἱ μὲν οὖν ἐν τῇ πράξει κατὰ τὴν αἴσθησίν εἰσιν, ὥσθ' ὑπ' αἰσθητοῦ τινὸς κινεῖσθαι, αἱ δ' ἐν τῇ μνήμῃ καὶ ἐν τῇ ἐλπίδι ἀπὸ ταύτης εἰσίν· ἡ γὰρ οἷα ἔπαθον μεμνημένοι ἥδονται, ἢ ἐλπίζοντες οἷα μέλλουσιν. ὥστ' ἀνάγκη πᾶσαν τὴν τοιαύτην ἡδονὴν ὑπὸ τῶν αἰσθητῶν γίγνεσθαι. ἐπεὶ δ' ἡδονῆς καὶ λύπης ἐγγιγνομένης καὶ ἡ κακία καὶ ἡ ἀρετὴ ἐγγίγνεται (περὶ

246ᵇ 19–20 = 247ᵃ 22–3 247ᵃ 5–7 = 20–22 7–13 = 23–8

ᵇ 8 ἐστι] ἐν S 11 ἔστιν αὐτῶν HS : αὐτῶν ἐστὶν IΣ 12 οὔτε S οὐδ' Σ ὅλως HIS : ὅλως οὐδὲ Σ 15 καὶ et 16 ἢ om. S 17 πρώτοις HIΣSᵖ : πρώτως Sᶜ 19 ἢ pr. HIS : om. Σ ὠδὶ HIS : ὡς δεῖ Σ 20 ἢ ἐναντίως HIS : μὲν ἐναντίως καὶ Σ 247ᵃ 1 γὰρ] μὲν γὰρ γ 2 τελειώσεις εἰσὶν αἱ HI 3 δὲ om. HI πρὸς] τὸ ἔχον πρὸς I 5 αἱ pr. om I : καὶ cjy 7 ἀλλοιωθήσεται ΣS : ἀλλοιοῦται HI ἡ om. Hγ 9 ἢ pr.] τι ἢ S 11 κινεῖσθαι om. HI ἐν alt. om. Σ 12 εἰσίν om. I 13 μένουσιν H

erdemler ile kusurlarda da bu böyle. Çünkü herbiri bir şeyle bağıntılı olarak belli bir biçimde olmakla varoluyor, taşıyanını kendine özgü etkilenimleri çerçevesinde "iyi" veya "kötü" yere koyduruyor. -'kendilerine özgü' şeyler ise, oluşları ve yokoluşları doğal olarak onlara bağlı olan şeyler-. İmdi mademki 'bir şeyle' bağıntılı şeylerin, kendileri nitelik değiştirme değil, onlarda nitelik değiştirme, oluş, genelde hiçbir değişme de yok; durumların/huyların kendilerinin ve bunların edinilip yitirilmesinin nitelik değiştirme olmadığı açık. Ama belki kimi şeyler nitelik değiştirdiğinden ötürü onların oluşu, yokoluşu zorunlu, tıpkı biçimin ve şekilinki gibi; nesne ısınınca, soğuyunca ya da kuruyunca, ıslanınca, ya da nesnenin ilk anlamda [doğrudan içinde bulundukları nesneler] böyle olunca. Her erdem ile her kusur, taşıyanının doğal olarak niteliğini değiştiren şeylerle ilgili olarak ona yüklenir. Nitekim erdem taşıyanını ya etkiye uğramaz/sarsılmaz (apathes) kılar, ya da gereğince etkilenir kılar; erdemsizlik/kusur ise taşıyanını 'etkiye uğrar' ya da etkilenmesi gerekirken 'etkilenmez/etkiye uğramaz' kılar.

Ruh durumları/huyları konusunda da bu böyle: çünkü hepsi bir şeyle bağıntılı olarak belli bir biçimde olmakla varlık kazanıyor, ve erdem 247a
'tamlık/tamamlanma', erdemsizlik ise [bu tamlığın] yitirilmesi. Ayrıca erdem, taşıyanını kendine özgü etkilenimleri ile bağıntılı olarak iyi kılar, erdemsizlik ise kötü kılar. Dolayısıyla onlar da nitelik değiştirmesi değil, onların yitirilmesi ya da kazanılması da. Ama onların oluşması için ruhun duyan yanının nitelik değiştirmesi zorunlu, o da duyulur nesnelerce nitelik değiştirir. Nitekim her karakter erdemi bedensel haz ve acılarla ilgili, bunlarsa ya 'eylemekte', ya 'anımsamakta' ya da 'beklentide'. İmdi kimi duyuma göre eylemde sözkonusu, dolayısıyla duyulur bir şey tarafından devindirilir; kimi ise bundan, [duyumdan] kaynaklanan anı ile beklentide sözkonusu. Çünkü insanlar ya etkilendikleri kimi şeyleri anımsayarak ya da gelecekte etkileneceklerini umarak haz alırlar. Dolayısıyla bu tür her erdemin, [karakter erdeminin] duyulur şeyler tarafından oluşması zorunlu. Madem haz, acı oluşursa, kötülük, erdem oluşuyor

ταύτας γάρ εἰσιν), αἱ δ' ἡδοναὶ καὶ αἱ λῦπαι ἀλλοιώσεις τοῦ αἰσθητικοῦ, φανερὸν ὅτι ἀλλοιουμένου τινὸς ἀνάγκη καὶ ταύτας ἀποβάλλειν καὶ λαμβάνειν. ὥσθ' ἡ μὲν γένεσις αὐτῶν μετ' ἀλλοιώσεως, αὐταὶ δ' οὐκ εἰσὶν ἀλλοιώσεις.

247[b] ἀλλὰ μὴν οὐδ' αἱ τοῦ νοητικοῦ μέρους ἕξεις ἀλλοιώσεις, οὐδ' ἔστιν αὐτῶν γένεσις. πολὺ γὰρ μάλιστα τὸ ἐπιστῆμον ἐν τῷ πρός τι πῶς ἔχειν λέγομεν. ἔτι δὲ καὶ φανερὸν ὅτι οὐκ ἔστιν αὐτῶν γένεσις· τὸ γὰρ κατὰ δύναμιν ἐπιστῆμον οὐδὲν αὐτὸ κινηθὲν ἀλλὰ τῷ ἄλλο ὑπάρξαι γίγνεται ἐπιστῆμον. ὅταν γὰρ γένηται τὸ κατὰ μέρος, ἐπίσταταί πως τὰ καθόλου τῷ ἐν μέρει. πάλιν δὲ τῆς χρήσεως καὶ τῆς ἐνεργείας οὐκ ἔστι γένεσις, εἰ μή τις καὶ τῆς ἀναβλέψεως καὶ τῆς ἁφῆς οἴεται γένεσιν εἶναι· τὸ γὰρ χρῆσθαι καὶ τὸ ἐνεργεῖν ὅμοιον τούτοις. ἡ δ' ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης γένεσις οὐκ ἔστιν οὐδ' ἀλλοίωσις· τῷ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν διάνοιαν ἐπίστασθαι καὶ φρονεῖν λεγόμεθα, εἰς δὲ τὸ ἠρεμεῖν οὐκ ἔστι γένεσις· ὅλως γὰρ οὐδεμιᾶς μεταβολῆς, καθάπερ εἴρηται πρότερον. ἔτι δ' ὥσπερ ὅταν ἐκ τοῦ μεθύειν ἢ καθεύδειν ἢ νοσεῖν εἰς ταναντία μεταστῇ τις, οὐ φαμεν ἐπιστήμονα γεγονέναι πάλιν (καίτοι ἀδύνατος ἦν τῇ ἐπιστήμῃ χρῆσθαι πρότερον), οὕτως οὐδ' ὅταν ἐξ ἀρχῆς λαμβάνῃ τὴν ἕξιν· τῷ γὰρ καθίστασθαι τὴν ψυχὴν ἐκ τῆς φυσικῆς ταραχῆς φρόνιμόν τι γίγνεται καὶ ἐπιστῆμον. διὸ καὶ τὰ παιδία οὔτε μανθάνειν δύνανται οὔτε κατὰ τὰς αἰσθήσεις

248[a] ὁμοίως κρίνειν τοῖς πρεσβυτέροις· πολλὴ γὰρ ἡ ταραχὴ καὶ ἡ κίνησις. καθίσταται δὲ καὶ ἠρεμίζεται πρὸς ἕνια μὲν ὑπὸ τῆς φύσεως αὐτῆς, πρὸς ἕνια δ' ὑπ' ἄλλων, ἐν ἀμ-

247[b] 1 – 248[a] 9 = 247[a] 28 – 248[b] 28

---

[a] 16 αἱ alt. om. HI 18 ὥσθ' HIbS : ἔτι cjy 19 αὕτη (αὐτὴ S) δ' οὐκ ἔστιν ἀλλοίωσις ΣS [b] 1 αἱ (om. cjy) τοῦ νοητικοῦ (νοητοῦ Σ) μέρους ἕξεις ἀλλοιώσεις HΣSpT : τῷ νοητικῷ μέρει αἱ ἕξεις ἀλλοιώσεις I : ἡ τοῦ νοητικοῦ μέρους ἕξις ἀλλοίωσις S^{l} 2 αὐτῶν ΠΤ : αὐτῆς ἀλλοίωσις οὐδὲ S μάλιστα om. I : μᾶλλον S 4 τὸ γὰρ] ὅτι τὸ HI οὐδὲ I 5 ὑπάρξει Bekker errore preli 6 τὰ HIAT : τῇ ΣPS τῷ HIAT : τὸ cjy : τέ b : τὰ PS 8 καὶ alt.] τε καὶ b οἴοιτο HI 9 τὸ γὰρ χρῆσθαι S : τὸ γὰρ οἴεσθαι HI : om. Σ 10 οὐκ] μὲν οὐκ HS : μὲν οὖν οὐκ I οὐδ' ἀλλοίωσις ΣS : om. HI 11 τὸ cj γάρ] δὲ γρ. S ἠρεμῆσαι I 12 λέγομεν HI ὅλως] γενέσεως S οὐδεμία μεταβολὴ HIS 13 ὅταν om. S 15 ἀδύνατον c ἦν] ᾖ c : ᾖ y 16 οὕτως] ὅταν cjy 17 ἠθικῆς cj 18 ἀρετῆς Σ γένηται c 19 δύναται I 248[a] 1 κρίνει I 2 δὲ] γὰρ I ἠρεμίζεται HIS : ἠρεμίζει Σ πρὸς . . . 3 αὐτῆς HIS : om. Σ

(çünkü bunlarla bağıntılılar), haz ve acılar ise duyulur/duyan bir şeyin nitelik değiştirmeleri; şu açık: bunların yitirilmesi ile edinilmesi için de bir şeyin nitelik değiştirmesi zorunlu. Dolayısıyla onların oluşu bir nitelik değiştirmesi ile birliktedir, ama kendileri nitelik değiştirmesi değil.

Ama [ruhun] düşünen yanının durumları/huyları da nitelik değiş- 247b
irmesi değil, onların oluşu da yok. Çok özel bir biçimde birşeyle bağıntılı olarak belli bir biçimde olmasında/olmasıyla [kişiye] "bilen/bilgili" deriz. Ayrıca onların oluşu da yok, bu açık, çünkü olanak halinde 'bilen', kendisi devindiği için değil, onda başka bir şey bulunduğu için 'bilen' olur. Çünkü parça/tekil verilince, [ruh] o parça aracılığıyla bir 5
biçimde tümeli bilir. Yine [bu olanağın] kullanımı ile etkinliğinin de oluşu yok: meğer ki, görme duyusuyla dokunma duyusunun oluşu olduğuna inanılmasın, çünkü [düşünme olanağının] kullanımı ile etkinliği bunlara benzer. Bilginin baştaki kazanımı bir oluş da değil, bir nite- 10
lik değiştirmesi de. Nitekim durmasından ötürü (düşüncenin/anlıkın) bildiğini, bilgili olduğunu ve düşündüğünü söyleriz. Oysa 'durgunluğa doğru' olan bir oluş yok, daha önce dediğimiz gibi[67] genelde hiçbir değişmenin oluşu yok. Ayrıca nasıl biri, sarhoşluktan, uykudan ya da hastalıktan karşıtı duruma geçince, onun yeniden 'bilen' kişi olduğunu söyleyemezsek (daha önce onun bilgiyi kullanması olanaksız olsa bile), 15
huyu/durumu başlangıçta kazanınca da bu böyle. Çünkü ruh doğal olan sarsıntıdan [sonra] kendine geldiğinden ötürü, kişi 'düşünceli-aklı başında' ve 'bilgili' olur. Bunun için çocuklar yaşlılarla aynı biçimde bilemezler/öğrenemezler, duyumlarıyla ilgili olarak onlar gibi karar veremezler. Çünkü onlarda sarsıntı ve devinim fazla. Kimi nesnelerle ilgi- 248a
li olarak kendi doğası aracılığıyla kendine gelinir, durağan hale gelinir, kimi nesnelerle ilgili olarak da başka etkenler aracılığıyla.

3. 247ª 16 — 4. 248ᵇ 4

φοτέροις δὲ ἀλλοιουμένων τινῶν τῶν ἐν τῷ σώματι, καθάπερ ἐπὶ τῆς χρήσεως καὶ τῆς ἐνεργείας, ὅταν νήφων γένηται καὶ ἐγερθῇ. φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι τὸ ἀλλοιοῦσθαι καὶ ἡ ἀλλοίωσις ἔν τε τοῖς αἰσθητοῖς γίγνεται καὶ ἐν τῷ αἰσθητικῷ μορίῳ τῆς ψυχῆς, ἐν ἄλλῳ δ' οὐδενὶ πλὴν κατὰ συμβεβηκός.

4 Ἀπορήσειε δ' ἄν τις πότερόν ἐστι κίνησις πᾶσα πάσῃ συμβλητὴ ἢ οὔ. εἰ δή ἐστιν πᾶσα συμβλητή, καὶ ὁμοταχὲς τὸ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενον, ἔσται περιφερὴς τις ἴση εὐθεία, καὶ μείζων δὴ καὶ ἐλάττων. ἔτι ἀλλοίωσις καὶ φορά τις ἴση, ὅταν ἐν ἴσῳ χρόνῳ τὸ μὲν ἀλλοιωθῇ τὸ δ' ἐνεχθῇ. ἔσται ἄρα ἴσον πάθος μήκει. ἀλλ' ἀδύνατον. ἀλλ' ἄρα ὅταν ἐν ἴσῳ ἴσον κινηθῇ, τότε ἰσοταχές, ἴσον δ' οὐκ ἔστιν πάθος μήκει, ὥστε οὐκ ἔστιν ἀλλοίωσις φορᾷ ἴση οὐδ' ἐλάττων, ὥστ' οὐ πᾶσα συμβλητή;

ἐπὶ δὲ τοῦ κύκλου καὶ τῆς εὐθείας πῶς συμβήσεται; ἄτοπόν τε γὰρ εἰ μὴ ἔστιν κύκλῳ ὁμοίως τουτὶ κινεῖσθαι καὶ τουτὶ ἐπὶ τῆς εὐθείας, ἀλλ' εὐθὺς ἀνάγκη ἢ θᾶττον ἢ βραδύτερον, ὥσπερ ἂν εἰ καταντες, τὸ δ' ἀναντες· οὐδὲ διαφέρει οὐδὲν τῷ λόγῳ, εἴ τίς φησιν ἀνάγκην εἶναι θᾶττον εὐθὺς ἢ βραδύτερον κινεῖσθαι· ἔσται γὰρ μείζων καὶ ἐλάττων ἡ περιφερὴς τῆς εὐθείας, ὥστε καὶ ἴση. εἰ γὰρ ἐν τῷ Α χρόνῳ τὴν Β διελήλυθε τὸ δὲ τὴν Γ, μείζων ἂν εἴη ἡ Β τῆς Γ· οὕτω γὰρ τὸ θᾶττον ἐλέγετο. οὐκοῦν καὶ εἰ ἐν ἐλάττονι ἴσον, θᾶττον· ὥστ' ἔσται τι μέρος τοῦ Α ἐν ᾧ τὸ Β τοῦ κύκλου τὸ ἴσον δίεισι καὶ τὸ Γ ἐν ὅλῳ τῷ Α [τὴν Γ]. ἀλλὰ μὴν εἰ

ª 4 τῷ HIS : om. Σ 5 ἐγέρσεως καὶ det. τῆς om. I 7 ἐν] ἢ ἐν Σ 8 μέρει HI 11 ὁμοιοταχὲς EI 12 ἐν] ἐν τῷ F ἴσον secl. Prantl ἴση καὶ εὐθεία K 14 φθορά E¹ ἴση] καὶ H τὸ alt. EHIS : τι τὸ FJK 15 ἴσον τὸ πάθος F 16 ἄρα Bonitz : ἀρα EF¹HIJK : om. F² ἴσον ἐν ἴσῳ I 17 ἔσται I πάθος πᾶν μηκει FJK² 19 τῆς EHIJ²KS : om. FJ¹ τε om. H 20 τουτὶ alt. Fy : τοῦτο cett. 22 ἂν FΣS : om. EHIJK οὐδὲ scripsi : οὐδὲν EK : ἔτι οὐδὲ cj : ἔτι οὐδὲν Λ : ἔτι δὲ by οὐδὲν Σ : οὐδ' ἐν EHIJK : om. F 23 φησιν EΣ : φήσει K : φήσειεν Λ ἀνάγκη EK ἢ om. E ᵇ 1 τὴν] τὸ μὲν τὴν FHIK²S διελήλυθε . . . β om. E διελήλυθε HIΣS : διῆλθε FJK τὴν . . . β om. K¹ μείζου J 3 ὥστ' ἔσται] εἰς τε E¹ : ἔσται E² : ὥστε K τὸ pr. E²ΛS : om. E¹K τὸ ἴσον δίεισι F²Σ : τὸ ἴσον δίεισι τὸ ἴσον F¹ : δίεισι EHIJKS 4 τὸ E¹ τὴν Γ seclusi : habent ΠS

Ama heriki durumda da bedendeki bazı şeyler nitelik değiştirdiğinden
olur bu; tıpkı biri becerikli olunca ve uyanık olunca, bilginin kulla- 5
nımında ve etkin halinde olduğu gibi. İmdi dediklerimizden çıkan şu: nitelik değiştirmek, nitelik değiştirme hem duyusal nesnelerde hem de ruhun duyan yanında oluyor, ilineksel anlamda olması dışında başka hiçbir şeyde yok.

4 Acaba her devinim her devinimle karşılaştırılabilir mi, diye soru- 10
labilir. Eğer karşılaştırılabilirse ve 'eş hızlı' nesne "eşit zamanda eşit yol alan nesne" ise, çember biçimindeki bir [devinim] düz çizgi biçimindekine eşit olacaktır, diyesim daha büyük, daha küçük de olacaktır. Ayrıca eşit zaman içinde bir nesne nitelik değiştirdiği, başka bir nesne yer değiştirdiği zaman, bir nitelik değiştirme ile bir yer değiştirme eşit olacak, sonuçta bir etkilenim/duygulanım bir uzunluğa eşit olacaktır. Oysa bu olanaksız. Yoksa acaba nesne eşit zamanda eşit yol aldığı zaman 'eş hızlı' olur, bir etkilenim/duygulanım ise bir uzunluğa eşit değildir, sonuçta bir 15
nitelik değiştirme bir yer değiştirmeye eşit de olmaz, ondan daha küçük de olmaz, dolayısıyla her [devinim her devinimle] karşılaştırılamaz mı?

Çember ve düz çizgi konusunda acaba nasıl olacak? Bir nesne [eş zaman içinde] çembersel ve düz çizgisel olarak aynı şekilde yol almazsa, biri aşağı öteki yukarı gidiyormuş gibi, hızlarının 'daha hızlı', 'daha ya- 20
vaş' olması zorunlu olsa, tutarsız olsa gerek. Burada hangisinin doğrudan/asıl anlamda 'daha hızlı' ya da 'daha yavaş' devinmesinin zorunlu olduğunun söylenmesi bizim temellendirmemiz açısından hiç önemli değil, çünkü bu durumda çember biçimindeki devinim düz çizgi biçimindekinden daha çok ya da daha az olacak, dolayısıyla eşit de olacaktır. A zamanında bir nesne (1), B uzunluğu, öteki nesne de (2) C uzun- 25
luğunu geçmişse [1. nesne 2. nesneden daha hızlı diye alındıkta], B, 248b
C'den daha uzun olacaktır, çünkü 'daha hızlı'yı böyle tanımlamıştık[68]. İmdi [1. nesne] daha az zamanda eşit uzunluğu geçerse, o daha hızlı olacaktır. Dolayısıyla A zamanının öyle bir parçası olacak ki, onun içinde [1. nesne] B çemberinin [C] düz çizgisine eşit olan uzunluğunu geçecek, [1. nesne] ise C'yi bütün A zamanında geçebilecektir. Ama

ἔστιν συμβλητά, συμβαίνει τὸ ἄρτι ῥηθέν, ἴσην εὐθεῖαν εἶναι κύκλῳ. ἀλλ' οὐ συμβλητά· οὐδ' ἄρα αἱ κινήσεις, ἀλλ' ὅσα μὴ συνώνυμα, πάντ' ἀσύμβλητα. οἷον διὰ τί οὐ συμβλητὸν πότερον ὀξύτερον τὸ γραφεῖον ἢ ὁ οἶνος ἢ ἡ νήτη; ὅτι ὁμώνυμα, οὐ συμβλητά· ἀλλ' ἡ νήτη τῇ παρανήτῃ συμβλητή, ὅτι τὸ αὐτὸ σημαίνει τὸ ὀξὺ ἐπ' ἀμφοῖν. ἆρ' οὖν οὐ ταὐτὸν τὸ ταχὺ ἐνταῦθα κἀκεῖ, πολὺ δ' ἔτι ἧττον ἐν ἀλλοιώσει καὶ φορᾷ;

ἢ πρῶτον μὲν τοῦτο οὐκ ἀληθές, ὡς εἰ μὴ ὁμώνυμα συμβλητά; τὸ γὰρ πολὺ τὸ αὐτὸ σημαίνει ἐν ὕδατι καὶ ἀέρι, καὶ οὐ συμβλητά. εἰ δὲ μή, τό γε διπλάσιον ταὐτό (δύο γὰρ πρὸς ἕν), καὶ οὐ συμβλητά. ἢ καὶ ἐπὶ τούτων ὁ αὐτὸς λόγος; καὶ γὰρ τὸ πολὺ ὁμώνυμον. ἀλλ' ἐνίων καὶ οἱ λόγοι ὁμώνυμοι, οἷον εἰ λέγοι τις ὅτι τὸ πολὺ τὸ τοσοῦτον καὶ ἔτι, ἄλλο τὸ τοσοῦτον· καὶ τὸ ἴσον ὁμώνυμον, καὶ τὸ ἓν δέ, εἰ ἔτυχεν, εὐθὺς ὁμώνυμον. εἰ δὲ τοῦτο, καὶ τὰ δύο, ἐπεὶ διὰ τί τὰ μὲν συμβλητὰ τὰ δ' οὔ, εἴπερ ἦν μία φύσις;

ἢ ὅτι ἐν ἄλλῳ πρώτῳ δεκτικῷ; ὁ μὲν οὖν ἵππος καὶ ὁ κύων συμβλητά, πότερον λευκότερον (ἐν ᾧ γὰρ πρώτῳ, τὸ αὐτό, ἡ ἐπιφάνεια), καὶ κατὰ μέγεθος ὡσαύτως· ὕδωρ δὲ καὶ φωνὴ οὔ· ἐν ἄλλῳ γάρ. ἢ δῆλον ὅτι ἔσται οὕτω γε πάντα ἓν ποιεῖν, ἐν ἄλλῳ δὲ ἕκαστον φάσκειν εἶναι, καὶ ἔσται ταὐτὸ ⟨τὸ⟩ ἴσον καὶ γλυκὺ καὶ λευκόν, ἀλλ' ἄλλο ἐν ἄλλῳ; ἔτι δεκτικὸν οὐ τὸ τυχὸν

[b] 5–6 *συμβαίνει . . . συμβλητά* om. F^1 5 *εἶναι εὐθεῖαν* HS 6 *ἀλλ'*] *ἀλλ' ἄρα γε γρ.* S : an *ἀλλ' ἄρα* ? 7 *συνώνυμα, πάντ' ἀσύμβλητα* scripsi : *συνώνυμα πάντα συμβλητά* E^1 : *συνώνυμα ἅπαντα (πάντα* E^2*) ἀσύμβλητα* E^2HΣ *γρ.* S: *ὁμώνυμα πάντα (ἅπαντα* AS) *συμβλητά* FJK AS: *ὁμώνυμα πάντα ἀσύμβλητα* l *συμβλητὸν τὸ πότερον* E 8 *γράφιον* E^1 *ὁ οἶνος* ΠΤ : *τὸ ὀξὸς* S *ὅτι*] *ὅτι γὰρ* E^2FHIJ 9 *ὁμώνυμον* EIK *συμβλητόν* K *τῇ* ΚΛS : om. E *συμβλητή* ΣS : *συμβλητόν* ΕΚΛ 10 *σημαίνει* HIS : *συμβαίνει* EFJK 14 *καὶ ἐν ἀέρι* H 16 *τὸ*] *καὶ τὸ* F 18 *τὸ* om. S *τὸ* ΛS : om. EK *ἔτι*] *εἴ τι* E : *ἔτι (ἔτι καὶ* b) *τὸ διπλάσιον τόσου* Σ *ἄλλο τὸ τοσοῦτον*] *ὅτι διπλάσιον τόσου. ἀλλὰ τὸ τοσοῦτον καὶ τὸ διπλάσιον* ci. Shute *ἀλλὰ* HIΣ *τὸ τοσοῦτον* om. F : *τὸ* om. EJ 19 *ὁμώνυμα* ci. Shute ante *καὶ* fort. addendum ex S *καὶ τὸ διπλάσιον* 21 *ἦν* om. I *ἄλλῳ τρόπῳ πρώτῳ* E^1 23 *τῷ αὐτῷ* I *καὶ* om. EK 24 *κατὰ*] *κατὰ τό* FHIS *καὶ ἡ φωνὴ* F 25 *γε οὕτω* FJ *ποιεῖν ἓν* K *ἓν* om. K 249[a] 1 *τὸ* addidi 2 *ἀλλ'* om. E^2 *ἄλλο* om. ΚΛ *ἄλλῳ*] *ἄλλῳ καὶ ἄλλῳ* I

bu biçimde karşılaştırılabilirlerse, az önce dediğimiz şey sözkonusu olu- 5
yor, diyesim düz çizginin çembere eşit olması. Oysa karşılaştırılamazlar,
öyleyse [onların üzerindeki] devinimler de karşılaştırılamaz. Eşanlamlı ol-
mayan bütün nesneler [birbiriyle] karşılaştırılamayan nesnelerdir. Sözge-
lişi niçin acaba kalem mi, sirke mi yoksa yüksek ton mu daha keskindir,
diye bir karşılaştırma olmaz? Çünkü bu durumda bir eşadlılık sözkonu-
su, [nesneler birbiriyle] karşılaştırılabilir nesneler değil. Oysa yüksek ton
bir alçak tonla karşılaştırılabilir, çünkü 'keskin' sözcüğü herikisi için de
aynı şeyi imler. İmdi 'hızlı' sözcüğü çember biçimindeki yer değiştirmede 10
ve düz çizgi biçimindeki yer değiştirmede aynı şey değilse, bir nitelik de-
ğiştirme ile yer değiştirme sözkonusu oldukta çok daha az aynı şeyi imle-
mez mi?

Yoksa bizim ilk [kabulümüz], diyesim eşadlı olmayanların karşılaştı-
rılabilir oldukları, doğru değil mi? nitekim 'çok', hem suda hem de hava-
da aynı şeyi imler ve bunlar [:çok hava ile çok su], karşılaştırılabilir değil-
ler. Bu da mı yetmedi! 'Misil' hep aynı şey (çünkü bir ile ikinin bağıntı-
sı) [1:2 oranındaki hava ile su] karşılaştırılamaz. Ya da bunlarda da aynı 15
temellendirme mi geçerli? Çünkü 'çok' da (eşanlamlı:çokanlamlı). Hattâ
bimi nesnelerin tanımları bile aynı: sözgelişi biri 'çok'u, "şu nicelikte ve
artı şu kadar" diye tanımlamaya kalksa, "şu nicelikte" her durumda baş-
ka bir şey olacaktır. 'Eşit' de eşadlı/çokanlamlı, 'bir' de rastgeldiğinde,
düpedüz eşadlı. Bir eşadlı ise 'iki' de öyle, çünkü onların doğası aynı ol-
duğuna göre, niçin biri karşılaştırılabilsin de öteki karşılaştırılamasın? 20

Yoksa [bunların] 'niçin'i daha başta/asıl anlamda başka bir kabulün
içinde mi? İmdi at ile köpek, "hangisi daha ak" diye karşılaştırılabilir (doğ-
rudan/asıl anlamda bulundukların şeyin içinde aynı şey, diyesim yüzey),
büyüklük açısından da bu böyle. Oysa su ile ses karşılaştırılamaz, çünkü
[doğrudan/asıl anlamda] başka bir şeyin içindeler. Ya da şu açık değil mi:
böylece hepsini bir kılmak, herbirinin başka bir şey içinde olduğunu söyle- 25
mek olanaklı olacak; eşit, tatlı, ak aynı şey olacak, yalnızca herbiri başka bir 249a
şey içinde olacak. Öte yandan kabulümüz, rastgele bir şeyin rastgele

4. 248^b 5 — 249^a 26

⟨τοῦ τυχόντος⟩ ἐστίν, ἀλλ' ἓν ἑνὸς τὸ πρῶτον. 3

ἀλλ' ἆρα οὐ μόνον 3
δεῖ τὰ συμβλητὰ μὴ ὁμώνυμα εἶναι ἀλλὰ καὶ μὴ ἔχειν διαφοράν, μήτε ὃ μήτε ἐν ᾧ; λέγω δὲ οἷον χρῶμα ἔχει διαί- 5
ρεσιν· τοιγαροῦν οὐ συμβλητὸν κατὰ τοῦτο (οἷον πότερον κεχρωμάτισται μᾶλλον, μὴ κατὰ τὶ χρῶμα, ἀλλ' ᾗ χρῶμα), ἀλλὰ κατὰ τὸ λευκόν. οὕτω καὶ περὶ κίνησιν ὁμοταχὲς τῷ ἐν ἴσῳ χρόνῳ κινεῖσθαι ἴσον τοσονδί· εἰ δὴ τοῦ μήκους ἐν τῳδὶ τὸ μὲν ἠλλοιώθη τὸ δ' ἠνέχθη, ἴση ἄρα αὕτη ἡ ἀλλοίωσις 10
καὶ ὁμοταχὴς τῇ φορᾷ; ἀλλ' ἄτοπον. αἴτιον δ' ὅτι ἡ κίνησις ἔχει εἴδη, ὥστ' εἰ τὰ ἐν ἴσῳ χρόνῳ ἐνεχθέντα ἴσον μήκος ἰσοταχῆ ἔσται, ἴση ἡ εὐθεῖα καὶ ἡ περιφερής. πότερον οὖν αἴτιον, ὅτι ἡ φορὰ γένος ἢ ὅτι ἡ γραμμὴ γένος; ὁ μὲν γὰρ χρόνος ὁ αὐτός, ἂν δὲ τῷ εἴδει ᾖ ἄλλα, καὶ ἐκεῖνα 15
εἴδει διαφέρει. καὶ γὰρ ἡ φορὰ εἴδη ἔχει, ἂν ἐκεῖνο ἔχῃ εἴδη ἐφ' οὗ κινεῖται (ὅτε δὲ ἐὰν ᾖ, οἷον εἰ ποδες, βάδισις, εἰ δὲ πτέρυγες, πτῆσις. ἢ οὔ, ἀλλὰ τοῖς σχήμασιν ἡ φορὰ ἄλλη;). ὥστε τὰ ἐν ἴσῳ ταὐτὸ μέγεθος κινούμενα ἰσοταχῆ, τὸ αὐτὸ δὲ καὶ ἀδιάφορον εἴδει καὶ κινήσει ἀδιάφορον· 20
ὥστε τοῦτο σκεπτέον, τίς διαφορὰ κινήσεως. καὶ σημαίνει ὁ λόγος οὗτος ὅτι τὸ γένος οὐχ ἕν τι, ἀλλὰ παρὰ τοῦτο λανθάνει πολλά, εἰσίν τε τῶν ὁμωνυμιῶν αἱ μὲν πολὺ ἀπέχουσαι, αἱ δὲ ἐχουσαί τινα ὁμοιότητα, αἱ δ' ἐγγὺς ἢ γένει ἢ ἀναλογίᾳ, διὸ οὐ δοκοῦσιν ὁμωνυμίαι εἶναι οὖσαι. πότε οὖν 25
ἕτερον τὸ εἶδος, ἐὰν ταὐτὸ ἐν ἄλλῳ, ἢ ἂν ἄλλο ἐν ἄλλῳ;

[a] 3 τοῦ τυχόντος addidi ex S ἓν ΛS : om. EK 4 δεῖ] δὴ H 5 ἐν ᾧ] τὸ ἐν ᾧ FJ : ἐν οἷς S ἔχει διαφοράν ἢ διαίρεσιν H 6 οὐ om. E κεχρωσται H 8 ἀλλὰ FIJKS : ἀλλ' ἢ E : ἀλλ' ἡ H καὶ om. H τῷ . . . 9 κινεῖσθαι scripsi : τὸ . . . κινεῖσθαι EIK : τὸ . . . κινηθὲν FHJΣ et ut vid. S 9 τοσόνδε FHJ εἰ δὴ EIKS : ἐπεὶ H : om. FJ 10 τὸ pr. EHIKS : εἰ δὲ τὸ FJ δὴ E ἆρα om. F^1 12 ἐν τῷ ἴσῳ FJ κινηθεντα μῆκος ἴσον H 13 ἡ alt. om. F 14 ὅτι ἔστιν ἡ EIKS ἡ ΛS : om. EK 15 ὁ alt. . . . ἐκεῖνα scripsi ex S : ὁ αὐτός· ἂν δὲ τῷ εἴδει ᾖ, καὶ ἐπ' ἐκεῖνα A : ἀεὶ (ὁ αὐτὸς ἀεὶ FJ γρ. A) ἄτομος τῷ (ἀν δὲ τῷ E^2, ἐν δὲ τῷ K) εἴδει ἢ ἅμα κἀκεῖνα (ἐκεῖνα E^1F, om. K) EKΛ γρ. A 16 εἴδει] εἰ E^1 εἴδη ἔχῃ H 17 ὁτε scripsi : ὅτε EFJ^1KΣ : ὅτι S : ἔτι HIJ^2 ἐαν (ἀν K) δι' οὐ I^2KS : ἐν ᾧ E^2FJ : E^1 incertum εἰ] οἱ I 18 δὲ om. FHJ οὐδ' E^1 19 ἴσῳ] ἴσῳ χρόνῳ E^2FIJ 20 καὶ om. Λ : τὸ E^2 ἀδιάφορον EHIJS : διάφορον FK ἀδιάφορον εἴδει ὥστε FJ 21 τοῦτο om. S ὁ] γε ὁ F 22 πολλὰ λανθάνει S 23 δὲ F ὁμωνύμων E^1S 24 αἱ δὲ ἔχουσα: KΛS : om. E ὁμοιοτητά τινα H 25 οὐδὲ I πότερον K 26 ταὐτα K ἂν om. E^2IK

bir şeyi değil, 'tek-bir' şeyin doğrudan/asıl anlamda 'tek-bir' şeyi.

Ama acaba karşılaştırılabilir nesnelerin yalnızca eşadlı olmaması [yetmiyor] da, aynı zamanda hem niteliğin kendisinin hem de taşıyanının bir ayırım taşımaması da mı gerekiyor? Dediğim şu: sözgelişi 'renk' kavramı bu tür bölümler/ayırımlar taşıyor, bunun için bu açıdan karşılaştırılamaz (sözgelişi belli bir renk açısından değil, 'renk olarak renk' açısından "acaba şu nesne ötekinden daha renkli mi"), ama sözgelişi 'aklık' açısından karşılaştırılabilir. Devinim konusunda da bu böyle: 'eş hızlı' nesne, "herhangibir nesneyle eş zaman içinde eşit yol alan nesnedir". İmdi nesnenin biri [deviniminin] belli bir parçasında nitelik değiştirdiyse, öteki nesne de yer değiştirdiyse, acaba bu nitelik değiştirme yer değiştirmeyle eşit [büyüklükte] ve eşit hızda mı olacak? Oysa bu saçma! Nedeni, [açıklaması] ise şu: devinimin türleri var, dolayısıyla eşit zaman içinde eşit yol alan nesneler 'eş hızlı' olacaksa, çember [biçimindeki devinim] ile düz çizgi [biçimindeki devinim] de eşit olacaktır. İmdi bunun nedeni acaba, yer değiştirmenin mi bir cins olması yoksa çizginin mi bir cins olması?[69] Çünkü zaman aynı, ama [düz ve çembersel] çizgiler türce farklı ise, devinimler de türce farklı olur. Nitekim üzerinde devinimin gerçekleştiği şeyin türleri varsa, yer değiştirmenin de türleri vardır (hattâ kimi kez devinim neyle gerçekleştiriliyorsa onun da, sözgelişi ayaklarsa "yürüme", kanatlarsa "uçma"). Yoksa böyle değil de, yer değiştirme yalnızca şekilleri açısından mı [düz, dairesel] başka başka? Dolayısıyla eşit zaman içinde aynı uzunluğu geçen nesneler 'eş hızlı', ama 'aynılık' burada hem türce [:uzam türü açısından, düz ya da çizgisel] hem de devinimce [:düz devinim, çembersel devinim] ayrımsızlık. Öyleyse şunu araştırmak gerekiyor: devinimin ayırıcı özelliği/ayırımı ne? Bizim bu konuşmamız/temellendirmemiz şunu da gösteriyor: cins, belli bir birlik değil, bunun yanında, gözden kaçan bir çokluk var, eşadlı nesnelerin kimi birbirinden çok uzak; kimi belli bir benzerlik taşıyor; kimi ise ya cinsce ya da benzeşimce birbirine yakın, bunun için bunlar eşadlı/anlamca farklı olmalarına karşın böyle değillermiş gibi görünüyorlar. İmdi tür ne zaman değişiktir? Başka taşıyıcılarda aynı özellik olduğunda mı, yoksa başka başka taşıyanlarda başka başka özellikler olduğunda mı? Ve sınır ne olacak?

καὶ τίς ὅρος; ἢ τῷ κρινοῦμεν ὅτι ταὐτὸν τὸ λευκὸν καὶ τὸ γλυκὺ ἢ ἄλλο—ὅτι ἐν ἄλλῳ φαίνεται ἕτερον, ἢ ὅτι ὅλως
29 οὐ ταὐτό;

29 περὶ δὲ δὴ ἀλλοιώσεως, πῶς ἔσται ἰσοταχὴς
30 ἑτέρᾳ ἑτέρα; εἰ δή ἐστι τὸ ὑγιάζεσθαι ἀλλοιοῦσθαι, ἔστι τὸν μὲν ταχὺ τὸν δὲ βραδέως ἰαθῆναι, καὶ ἅμα τινάς, ὥστ'
249[b] ἔσται ἀλλοίωσις ἰσοταχής· ἐν ἴσῳ γὰρ χρόνῳ ἠλλοιώθη. ἀλλὰ τί ἠλλοιώθη; τὸ γὰρ ἴσον οὐκ ἔστιν ἐνταῦθα λεγόμενον, ἀλλ' ὡς ἐν τῷ ποσῷ ἰσότης, ἐνταῦθα ὁμοιότης. ἀλλ' ἔστω ἰσοταχὲς τὸ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ μεταβάλλον.
5 πότερον οὖν ἐν ᾧ τὸ πάθος ἢ τὸ πάθος δεῖ συμβάλλειν; ἐνταῦθα μὲν δὴ ὅτι ὑγίεια ἡ αὐτή, ἔστιν λαβεῖν ὅτι οὔτε μᾶλλον οὔτε ἧττον ἀλλ' ὁμοίως ὑπάρχει. ἐὰν δὲ τὸ πάθος ἄλλο ᾖ, οἷον ἀλλοιοῦται τὸ λευκαινόμενον καὶ τὸ ὑγιαζόμενον, τούτοις οὐδὲν τὸ αὐτὸ οὐδ' ἴσον οὐδ' ὅμοιον, ἢ ἤδη ταῦτα
10 εἴδη ποιεῖ ἀλλοιώσεως, καὶ οὐκ ἔστι μία ὥσπερ οὐδ' αἱ φοραί. ὥστε ληπτέον πόσα εἴδη ἀλλοιώσεως καὶ πόσα φορᾶς. εἰ μὲν οὖν τὰ κινούμενα εἴδει διαφέρει, ὧν εἰσὶν αἱ κινήσεις καθ' αὐτὰ καὶ μὴ κατὰ συμβεβηκός, καὶ αἱ κινήσεις εἴδει διοίσουσιν· εἰ δὲ γένει, γένει, εἰ δ' ἀριθμῷ, ἀριθμῷ. ἀλλὰ
15 δὴ πότερον εἰς τὸ πάθος δεῖ βλέψαι, ἐὰν ᾖ τὸ αὐτὸ ἢ ὅμοιον, εἰ ἰσοταχεῖς αἱ ἀλλοιώσεις, ἢ εἰς τὸ ἀλλοιούμενον, οἷον εἰ τοῦ μὲν τοσονδὶ λελεύκανται τοῦ δὲ τοσονδί; ἢ εἰς ἄμφω, καὶ ἡ αὐτὴ μὲν ἡ ἄλλη τῷ πάθει, εἰ τὸ αὐτὸ ⟨ἢ μὴ τὸ⟩ αὐτό, ἴση δ' ἡ ἄνισος, εἰ ἐκεῖνο ⟨ἴσον ἢ⟩ ἄνισον; καὶ ἐπὶ γενέσεως δὲ καὶ φθορᾶς
20 τὸ αὐτὸ σκεπτέον. πῶς ἰσοταχὴς ἡ γένεσις; εἰ ἐν ἴσῳ χρόνῳ

[a] 27 ταυτὸν καὶ γλυκὺ καὶ λευκὸν H καὶ] ἢ S 28 ἐν ἄλλῳ om. H φέρεται J 29 δὴ om. K ἐστιν FK 30 ἑτέρα ἑτέρᾳ J : ἑτέρως ἑτέρας E[2] : E[1] incertum τὸν] δὲ τὸν FHI : τὸ J 31 ταχέως S τὸ J καὶ] ἔστι δὲ καὶ I τινός E [b] 1 ἔσται HΣS : ἐστιν EFIJK 2 οὐκέτι H ἔστιν EIJΣS : ἔσται FHK 3 ποσῷ ἡ ἰσότης H 4 ἰσοταχὲς hic EIS : ante [b] 5 πότερον FHJK ἐν . . . μεταβάλλον] αὐτὸ (τὸ αὐτὸ H, om. K) μεταβάλλον ἐν (τὸ ἐν H) ἴσῳ χρόνῳ FHJK 5 οὖν om. H συμβαλεῖν S 6 ὅτι] ἡ FJ ὅτι] ἢ ὅτι F 8 ᾖ οἷον KΛS : ποῖον E 9 εἴδη 1[1]J : om. F[2] 10 ὥσπερ om. K οὐδὲ φορά F : οὐδὲ φοραί J 11 πόσα E[2]ΛS : om. E[1]K φθορᾶς E[1] 13 αὐτὸ FS εἴδει καὶ αἱ κινήσεις S 15 ᾖ om. E 16 εἰ HJ[1]S : ἢ EJ[2]K : ᾖ F : om. I ἀλλοιώσεις . . . τὸ om. E[1] ἢ . . . ἀλλοιούμενον om. K[1] 17 τοιονδὶ HK 18 τὸ πάθος K εἰ FHI et fecit J[2] : εἴη E[1] : ἢ εἰ E[2] : εἰ εἴη K ἢ μὴ τὸ addidi αὐτὸ om. KΛ 19 εἰ fecit J[2] : ᾖ S ἴσον ἡ addidit Pacius δὲ ΛS : om. EK

Ya da neye göre biz ak ile tatlının türce aynı ya da başka olduğuna karar vereceğiz? Taşıyanları farklı olduğu için mi, yoksa temelde aynı şey olmadıkları için mi?

İmdi nitelik değiştirmeyle ilgili olarak da, bir nesne bir başka nesneyle nasıl 'eş hızlı' olacak? 'İyileşmek' bir niteik değiştirme ise, birinin hızlı bir başkasının daha yavaş iyileşmesi olanaklı; kimilerinin de aynı zaman içinde iyileşmesi olanaklı: dolayısıyla eşhızlı bir nitelik değiştirme olacaktır, çünkü eş zaman içinde nitelik değiştirilmiştir. Ama burada nitelik değiştirmiş olan ne? Nitekim sözü edilen şey 'eşitlik' değil; nasıl nicelikte bir eşitlik olursa, burada da bir 'benzerlik'. Ama diyelim bi, eşit zaman içinde aynı değişmeyi gerçekleştiren nesne 'eş hızlı' olsun. O zaman kendisinde etkilenim olan nesne mi yoksa etkilenimin kendisi mi karşılaştırılmalı? Çünkü burada 'sağlık' [kendisiyle] aynıdır, oysa 'daha çok', 'daha az' diye almak olanaklı değil, aynı/benzer biçimde bulunur. Ama etkilenim başka olsa, sözgelişi aklaşan ve iyileşen şey nitelik değiştirse, bunlarda hiçbir şey aynı değil, eşit değil, benzer de değil, çünkü bunlar zaten nitelik değiştirmenin türlerini oluşturuyor. Nasıl yer değiştirmeler 'bir' değilse, bunlar da 'bir' değil. Dolayısıyla nitelik değiştirmenin kaç türü, yer değiştirmenin kaç türü var, bunu ele almak gerekiyor. İmdi devinimleri, 'ilineksel anlamda' değil 'kendi başına' olan, *devinen nesneler türce farklı* ise devinimler de türce farklı olacaklardır. Cinsce farklılarsa devinimler de cinsce; sayıca farklılarsa, devinimler de sayıca farklı olacaklardır. Ne ki, nitelik değiştirmeleri 'eş hızlı' olursa, aynı mı yoksa benzer mi diye etkilenime mi bakmak gerekir, yoksa nitelik değiştiren nesneye mi? Sözgelişi bir nesnenin bu kadar öteki nesnenin şu kadar aklaşıp aklaşmadığına mı, yoksa herikisine de mi? Diyesim, etkilenim açısından, aynı ya da aynı değilse [nitelik değiştirme de] aynı ya da başka; ve [değişen nesne] eşit ya da eşit değilse [nitelik değiştirme de] eşit ya da eşitsiz mi olacak? Oluş ve yokoluş konusunda da aynı şeyi incelemek gerekiyor: oluş nasıl 'eş hızda' 249b

4. 249ª 27 — 5. 250ª 13

τὸ αὐτὸ καὶ ἄτομον, οἷον ἄνθρωπος ἀλλὰ μὴ ζῷον· θάττων δ', εἰ ἐν ἴσῳ ἕτερον (οὐ γὰρ ἔχομέν τινα δύο ἐν οἷς ἡ ἑτερότης ὡς ἡ ἀνομοιότης), ἤ, εἰ ἔστιν ἀριθμὸς ἡ οὐσία, πλείων καὶ ἐλάττων ἀριθμὸς ὁμοειδής· ἀλλ' ἀνώνυμον τὸ κοινόν, καὶ τὸ ἑκάτερον [ποιόν· τὸ μὲν ποιόν,] ὥσπερ τὸ πλεῖον πάθος ἢ τὸ ὑπερέχον μᾶλλον, τὸ δὲ ποσὸν μεῖζον.

'Επεὶ δὲ τὸ κινοῦν κινεῖ τι ἀεὶ καὶ ἕν τινι καὶ μέχρι τού (λέγω δὲ τὸ μὲν ἕν τινι, ὅτι ἐν χρόνῳ, τὸ δὲ μέχρι του, ὅτι ποσόν τι μῆκος· ἀεὶ γὰρ ἅμα κινεῖ καὶ κεκίνηκεν, ὥστε ποσόν τι ἔσται ὃ ἐκινήθη, καὶ ἐν ποσῷ), εἰ δὴ τὸ μὲν Α τὸ κινοῦν, τὸ δὲ Β τὸ κινούμενον, ὅσον δὲ κεκίνηται μῆκος τὸ Γ, ἐν ὅσῳ δέ, ὁ χρόνος, ἐφ' οὗ τὸ Δ, ἐν δὴ τῷ ἴσῳ χρόνῳ ἡ ἴση δύναμις ἡ ἐφ' οὗ τὸ Α τὸ ἥμισυ τοῦ Β διπλασίαν τῆς Γ κινήσει, τὴν δὲ τὸ Γ ἐν τῷ ἡμίσει τοῦ Δ· οὕτω γὰρ ἀνάλογον ἔσται. καὶ εἰ ἡ αὐτὴ δύναμις τὸ αὐτὸ ἐν τῳδὶ τῷ χρόνῳ τοσηνδε κινεῖ καὶ τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει, καὶ ἡ ἡμίσεια ἰσχὺς τὸ ἥμισυ κινήσει ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἴσον. οἷον τῆς Α δυνάμεως ἔστω ἡμίσεια ἡ τὸ Ε καὶ τοῦ Β τὸ Ζ ἥμισυ· ὁμοίως δὴ ἔχουσι καὶ ἀνάλογον ἡ ἰσχὺς πρὸς τὸ βάρος, ὥστε ἴσον ἐν ἴσῳ χρόνῳ κινήσουσιν. καὶ εἰ τὸ Ε τὸ Ζ κινεῖ ἐν τῷ Δ τὴν Γ, οὐκ ἀνάγκη ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἐφ' οὗ Ε τὸ διπλάσιον τοῦ Ζ κινεῖν τὴν ἡμίσειαν τῆς Γ· εἰ δὴ τὸ Α τὴν τὸ Β κινεῖ ἐν τῷ Δ ὅσην ἡ τὸ Γ, τὸ ἥμισυ τοῦ Α τὸ ἐφ' ᾧ Ε τὴν τὸ Β οὐ κινήσει ἐν τῷ

[b] 21 οἷον] οἷον εἰ I θάττων ΛS : θᾶττον EK 22 δ' ΛS : δὴ EK ἴσῳ ἕτερον E²ΛPS : ἀνίσῳ E¹K τινα IJ²ΣS : τι EFHJ¹K ἐν οἷς FJΣ : om. EHIKS 23 ἡ alt.] εἰ F ἤ om. E : καὶ FJ 24 ὁμοειδὴς EHIJS : ὁμοιοειδὴς FK 25 ποιόν . . . ποιόν Moreliana : om. Π 27 κινεῖ τι ἀεὶ HIKS : κινεῖται ἀεὶ E : κινεῖ τε ἀεί τι FJ 29 εἰ γὰρ EK καὶ om. E²K : E¹ incertum κεκίνηται H 250ª 1 δὲ χρόνος E : δὲ χρόνῳ K ᾧ K τὸ EΣ : om. KΛ 2 ἴση om. HI ἡ om. EJK ᾧ FH τὸ om. J τὸ] τὸ μὲν I διπλασιάσαν EJ τῆς τοῦ γ I 3 κινήσει τὴν ζ τὴν HI 4 εἰ om. E² et fort. S τῳδὶ τῷ] τῷ διττῷ E 5 ἐν] τῆς γ ἐν ΣS post ἡμίσει add. χρόνῳ κινήσει I, τοῦ δ χρόνου (χρόνῳ j) Σ, τοῦ Δ χρόνου κινήσει S 6 τὸ pr.] τῆς α τὸ ΣS 7 ἥμισυ K : ἡ ἡμίσεια H : ἡμίσει δ' E ἡ om. K τοῦ E 8 ἀναλόγως H ἡ om. EK 9 καὶ] διὸ κἂν E² 10 Δ] δ χρόνῳ bcj γρ. S οὐκ ἀνάγκη E²H1JΣP γρ. S : οὐκ ἀναγκαῖον F : ἀναγκαῖον E¹KS 11 Ε] τὸ ε F¹ τὸ om. γρ. S Ζ] ζ βαρους Σ γρ. S 12 γ Π γρ. S : γ, τοῦ μήκους S δὴ ΛΣ : δὲ EK το] τὴν τὸ F¹ τὸ FHJS : om. EIK κινεῖ E¹H et post Α K : κινήσει E²FIJS ὅσην E²FIJΣS : ὅση E¹HK ἡ om. E²I 13 Ε] τὸ ε HI ἦν om. S

olabilir? Aynı ve bölünmez nesne, sözgelişi bir 'canlı' değil, 'bir insan' eş zamanda oluşur. Eş zamanda değişik bir nesne eş zamanda oluşursa, oluş daha hızlıdır (nitekim aralarındaki 'değişiklik', 'benzemezlik' [yerine geçen] iki [karşıta] sahip değiliz); ya da eğer (gerçekten) töz bir sayı ise, eşlik[li]-eştürden bir sayı 'daha çok' ve 'daha az' olabilir. Ama [burada] 'ortak' olanın da adı yok, heriki [niteliğin de: nitelikle, daha çok ya da aynı olan etkilenim gibi, 'daha çok' [denebilir], 'niceliğe' ise 'daha bü- 25
yük' denebilir.

5 Madem 'devindiren', hep 'bir şeyi', 'bir şeyde' ve 'bir şeye değin' devindiriyor ('bir şeyde' ile kastettiğim, 'bir zaman içinde'; 'bir şeye değin' ile kastettiğim de 'belli bir nicelikteki uzunluk-uzam); çünkü nesne aynı anda devindirir ve [bir parçayı da] devindirmiştir, dolayısıy- 30
la [hep] belli bir nicelikte ve bir nicelik içinde gerçekleştirilmiş bir devinimi [[geride bırakır]], o zaman şöyle diyebiliriz: A devindiren, B devinen, C devinilen uzunluk, D, içinde devinilen zaman olsun. A'ya eşit 250a
güç, B'nin yarısını C'nin iki katı, D'nin ise yarısında devindirir. Çünkü onun bu olacaktır. Aynı güç aynı nesneyi şu kadar zamanda şu kadar [uzunlukta] devindirirse, yarı zamanda yarısı kadar uzunlukta devindirirse, bu gücün yarısı da nesnenin yarısını eş zamanda eş uzunlukta de- 5
vindirecektir! Sözgelişi A gücünün yarısı E, B'nin yarısı da F olsun. [Ama] gücün ağırlıkla oranı da aynı şekilde olur, dolayısıyla eşit zamanda [eşit uzunlukta] bir devinim gerçekleştireceklerdir. Ama E, F'yi D za- 10
manında C kadar devindirirse, eşit zaman içinde, E'nin, F'nin iki katını C'nin yarısı kadar devindirmesi zorunlu değil. Demek ki A, B'yi D zamanında C kadar devindirirse, A'nın yarısı, yani E, B'yi D

χρόνῳ ἐφ' ᾧ τὸ Δ οὐδ' ἔν τινι τοῦ Δ τι τῆς Γ ἀνάλογον πρὸς τὴν ὅλην τὴν Γ ὡς τὸ Α πρὸς τὸ Ε· ὅλως γὰρ εἰ ἔτυχεν οὐ κινήσει οὐδέν· οὐ γὰρ εἰ ἡ ὅλη ἰσχὺς τοσήνδε ἐκίνησεν, ἡ ἡμίσεια οὐ κινήσει οὔτε ποσὴν οὔτ' ἐν ὁποσῳοῦν· εἰς γὰρ ἂν κινοίη τὸ πλοῖον, εἴπερ ἥ τε τῶν νεωλκῶν τέμνεται ἰσχὺς εἰς τὸν ἀριθμὸν καὶ τὸ μῆκος ὃ πάντες ἐκίνησαν. διὰ τοῦτο ὁ Ζήνωνος λόγος οὐκ ἀληθής, ὡς ψοφεῖ τῆς κέγχρου ὁτιοῦν μέρος· οὐδὲν γὰρ κωλύει μὴ κινεῖν τὸν ἀέρα ἐν μηδενὶ χρόνῳ τοῦτον ὃν ἐκίνησεν πεσὼν ὁ ὅλος μέδιμνος. οὐδὲ δὴ τοσοῦτον μόριον, ὅσον ἂν κινήσειεν τοῦ ὅλου εἰ εἴη καθ' αὐτὸ τοῦτο, οὐ κινεῖ. οὐδὲ γὰρ οὐδὲν ἔστιν ἀλλ' ἢ δυνάμει ἐν τῷ ὅλῳ. εἰ δὲ τὰ ⟨κινοῦντα⟩ δύο, καὶ ἑκατέρου τῶνδε ἑκάτερον κινεῖ τὸ τοσόνδε ἐν τοσῷδε, καὶ συντιθέμεναι αἱ δυνάμεις τὸ συνθετον ἐκ τῶν βαρῶν τὸ ἴσον κινήσουσιν μῆκος καὶ ἐν ἴσῳ χρόνῳ· ἀνάλογον γάρ.

ἆρ' οὖν οὕτω καὶ ἐπ' ἀλλοιώσεως καὶ ἐπ' αὐξήσεως; τὶ μὲν γὰρ τὸ αὔξον, τὶ δὲ τὸ αὐξανόμενον, ἐν ποσῷ δὲ χρόνῳ καὶ ποσὸν τὸ μὲν αὔξει τὸ δὲ αὐξάνεται. καὶ τὸ ἀλλοιοῦν καὶ τὸ ἀλλοιούμενον ὡσαύτως—τὶ καὶ ποσὸν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἠλλοίωται, καὶ ἐν ποσῷ χρόνῳ, ἐν διπλασίῳ διπλάσιον, καὶ τὸ διπλάσιον ἐν διπλασίῳ· τὸ δ' ἥμισυ ἐν ἡμίσει χρόνῳ (ἢ ἐν ἡμίσει ἥμισυ), ἢ ἐν ἴσῳ διπλάσιον. εἰ δὲ τὸ ἀλλοιοῦν ἢ αὔξον τὸ τοσόνδε ἐν τῷ τοσῷδε αὔξει ἢ ἀλλοιοῖ, οὐκ ἀνάγκη καὶ τὸ ἥμισυ ἐν ἡμίσει καὶ ἐν ἡμίσει ἥμισυ, ἀλλ' οὐδέν, εἰ ἔτυχεν, ἀλλοιώσει ἢ αὐξήσει, ὥσπερ καὶ ἐπὶ τοῦ βάρους.

[a] 14 τὸ om. FHJ τι Aldina et ut vid. S : τις K : om. ΕΛΣ γ . . . 15 γ FJS : γ ἢ . . . γ HI : γ EK 15 τὴν alt. om. FJ ε FHIΣ : ζ EJKS 16 οὐ γὰρ εἰ] οὐ γὰρ J : εἰ γὰρ FK ἡ om. E : εἴη K κίνησιν ἡ ἡ K 17 οὐ om. HIK ποσὸν HI εἰς] εἰ E 18 ἢ] εἰ J τε om. K 20 ζήνων ὡς λόγος I ἀληθες K τῆς FHJKT : τοῦ EI 22 τοῦτον om. F πεσὼν HJΣ : ἐμπεσὼν E : ἐμπεσὼν FIK ὅλος ὁ K : ὅλος H δὴ] δὴ τὸ HI 24 οὐ . . . γὰρ om. EK δυνάμει om. H 25 κινοῦντα addidi, fort. legit P καὶ FJΣP : om. EHIK τῶνδε] τῶνδε καὶ K : τῶνδε καὶ εἰς E : δὲ τῶνδε I[2] ἑκίνει HIK 26 τὸ om. Λ 28 ἐπ' om. HI ἐπ' om. S 29 αὐξόμενον F 30 δὲ om. EK δὲ αὔξεται S [b] 1 ἠλλοίωνται FJK 2 διπλασιῳ E[2]ΛS : διπλασίονι K : om. E[1] διπλάσιον om. K καὶ] κατὰ I τὸ δ'] καὶ τὸ ΣS 3 ἢ pr.] καὶ H 4 τοσωδὶ HJ 5 ἢ αὔξει ἢ HI ἀναγκαῖον F καὶ ἐν ἡμίσει] ἢ καὶ F : καὶ J 6 ἥμισυ FJKS : τὸ ἥμισυ EHI οὐδὲ F

kadar zaman içinde devindirmez, D'nin bir parçasında, A'nın E ile bağıntısı gibi, C'nin bütününe oranına göre C'nin bir parçası kadar da devindirmez.[70] Genelde bu durum olsa, hiçbir uzunlukta devindirmeyecektir, çünkü tüm güç şu kadar devindirdiyse, yarısı herhangi bir nicelik kadar devindirmeyecek, belli bir nicelikteki zaman içinde de devindirmeyecektir. Nitekim gemiyi çekenlerin gücü ve herkesin [birlikte] gemiyi devindirdikleri uzunluk/yol sayıya bölünseydi, tek kişi bir gemiyi devindirebilirdi. Bunun için Zenon'un "bir darı tanesinin, en küçük tane de olsa, ses çıkardığı" yollu savı doğru değil. Çünkü bu tanenin, bütün darı toplamının düşerek devindirdiği havayı hiçbir zaman içinde devindirememesine bir engel yok. Bu darı tanesi, kendi başına alındıkta bütünün içindeyken devindirebildiği kadar hava parçasını da devindirmez, çünkü bütünde 'olanak halinde' olmaktan başka bir şey yok. Devindirenler [sayıca] iki ise, ikisinden herbiri de iki nesneden herbirini şu kadar zamanda şu kadar uzunlukta devindirirse, bu güçler birlikte alındıkta, ağırlıklardan oluşan birliği eş uzunlukta ve eş zamanda devindirirler, çünkü oran bu.

İmdi nitelik değiştirme ile büyüme konusunda da acaba bu böyle mi? Nitekim 'büyüten' bir şey var, bir de 'büyütülen' bir şey; belli nicelikte bir zaman içinde, biri belli nicelikte büyütüyor, öteki büyüyor/büyütülüyor. Nitelik değiştirten ile nitelik değiştiren/değiştirtilen nesne için de bu böyle. Bir şey çok ya da az, belli nicelikte nitelik değiştiriyor ve belli nicelikte bir zaman içinde: zaman iki misliyse, iki misli zaman içinde; iki misli nitelik değiştirdiyse iki misli zaman içinde. Yarı nicelikteki yarı zaman içinde (ya da yarı zamanda yarı nitelik değiştirme), ya da eş zaman içinde iki misli... Ne ki nitelik değiştirten ya da büyüten nesne belli bir zamanda belli bir nicelikte büyütüyor ya da nitelik değiştirtiyorsa, yarı [gücün etkinliğe geçmesi için] yarı zamana gereksinim duyması ya da yarı zamandaysa yarı güce gereksinim duyması sorunlu değil.[71] Tersine böyle olsa, ağırlıkla ilgili olarak da söylediğimiz gibi, hiçbir güç nitelik değiştirtemeyecek ya da büyütemeyecektir.

5. 250ª 14 — 1. 251ª 5

Θ.

1 Πότερον γέγονέ ποτε κίνησις οὐκ οὖσα πρότερον, καὶ φθείρεται πάλιν οὕτως ὥστε κινεῖσθαι μηδέν, ἢ οὔτ' ἐγένετο οὔτε φθείρεται, ἀλλ' ἀεὶ ἦν καὶ ἀεὶ ἔσται, καὶ τοῦτ' ἀθάνατον καὶ ἄπαυστον ὑπάρχει τοῖς οὖσιν, οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσιν; εἶναι μὲν οὖν κίνησιν πάντες φασὶν οἱ περὶ φύσεώς τι λέγοντες διὰ τὸ κοσμοποιεῖν καὶ περὶ γενέσεως καὶ φθορᾶς εἶναι τὴν θεωρίαν πᾶσαν αὐτοῖς, ἣν ἀδύνατον ὑπάρχειν μὴ κινήσεως οὔσης· ἀλλ' ὅσοι μὲν ἀπείρους τε κόσμους εἶναί φασιν, καὶ τοὺς μὲν γίγνεσθαι τοὺς δὲ φθείρεσθαι τῶν κόσμων, ἀεί φασιν εἶναι κίνησιν (ἀναγκαῖον γὰρ τὰς γενέσεις καὶ τὰς φθορὰς εἶναι μετὰ κινήσεως αὐτῶν)· ὅσοι δ' ἕνα ⟨ἢ ἀεὶ⟩ ἢ μὴ ἀεί, καὶ περὶ τῆς κινήσεως ὑποτίθενται κατὰ λόγον. εἰ δὴ ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι, διχῶς ἀνάγκη τοῦτο συμβαίνειν· ἢ γὰρ ὡς Ἀναξαγόρας λέγει (φησὶν γὰρ ἐκεῖνος, ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι), ἢ ὡς Ἐμπεδοκλῆς ἐν μέρει κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν, κινεῖσθαι μὲν ὅταν ἡ φιλία ἐκ πολλῶν ποιῇ τὸ ἓν ἢ τὸ νεῖκος πολλὰ ἐξ ἑνός, ἠρεμεῖν δ' ἐν τοῖς μεταξὺ χρόνοις, λέγων

οὕτως ἦ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι,
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσιν,
τῇ μὲν γίγνονταί τε καὶ οὐ σφισιν ἔμπεδος αἰών·
ἦ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἐασιν ἀκίνητοι κατὰ κύκλον.

τὸ γὰρ "ἦ δὲ τάδ' ἀλλάσσοντα" ἐνθένδε ἐκεῖσε λέγειν αὐτὸν ὑποληπτέον. σκεπτέον δὴ περὶ τούτων πῶς ἔχει· πρὸ ἔργου

Tit. *περὶ κινήσεως τῶν εἰς ϝ τὸ ϝ* : Θ E : *φυσικῆς ἀκροάσεως ηον* H
ᵇ 11 *γέγονε* KS : *δὲ γέγονε* EΛ *ποτε* E^2KAST : om. E^1 12 *ὥστε* E^2KAT : om. E^1 13 *ἀλλ' εἶην* J^1 15 *μὲν* KΛS : *μὴ* E 17 *καὶ περὶ φθορᾶς* K *πᾶσαν* Camotiana : *πᾶσιν* Π 18 *ὅσοι* EKST : *ὁπόσοι* Λ *τε* om. FKST 19 *εἶναί* om. K 20 *τὸν κόσμον* I 21 *τὰς* KAT : om. E *φορὰς* J^1 22 *ἕνα ἢ ἀεὶ ἢ* scripsi, cum T ut vid. : *ἢ ἕνα ἢ* E^1S : *εἷεν ἀεὶ* E^2 : *ἕνα ἢ* KΛ 23 *δὲ* J^2K *μὴ* K 24 *τοῦτο* om. H 27 *κινεῖσθαι* pr. om. E 28 *ποιεῖ* J : *ἡ ποιῇ* E^2 30 *"οὕτως ἦ μὲν* Diels : *"οὕτως ἡ μὲν* S : *οὕτως "ἦμὲν* Bekker *ἦμεν* JH *ἓν* om. S 31 *ἠδὲ* JKS : *ἦ δὲ* EFHI 251ª 2 *τῇ* J *τὰ ὀιαλλάσσοντα* F *διαμπερές* om. H 3 *δ'* om. H 4–5 *τὸ . . . ὑποληπτεον*] *δεῖ γὰρ ὑπολαβεῖν λέγειν αὐτὸν ἦ δὲ τάδ' ἐνθένδε τὰ* (*τὰ* om. S) *ἀλλάσσοντα* EKS 4 *γὰρ τηδε* FIJ *διαλλάσσοντα* J : *διαλάσσοντα* I 5 *δὴ* KAS : *δ'* ET *τούτων* EFT : *τούτου* HIJKS

Sekizinci Kitap

1 Acaba devinim, daha önce yoktu da, bir zaman geldi oluştu mu ve yine hiçbir şey devinmeyecek şekilde yok mu olacak, yoksa oluşmamıştı ve yok da olmayacak mı, yani hep vardı hep varolacaktır da, tıpkı doğa gereği varolan her nesnede olan bir tür canlılık gibi, ölümsüz, hiç tükenmeyen bir şey olarak mı varolanlarda bulunuyor? İmdi evrenin oluşması konusunda bir şey söyleyen ve tüm devinim kuramını, devinim olmasa bulunması olanaksız olan oluş ile yokoluş üzerine yoğunlaştıran herkes devinimin varolduğunu ileri sürüyor. Ne ki evrenlerin sonsuz sayıda olduğunu ve bu evrenlerden kiminin oluştuğunu kiminin yokolduğunu söyleyenler devinimin her zaman varolduğunu ileri sürmekteler demektir (çünkü oluş ile yokoluşların o evrenlerin devinimiyle birlikte olması zorunlu). Ebedi ya da ebedi olmayan tek bir evrenden sözedenler de devinim üzerine temellendirmelerine uygun kabuller ileri sürüyor. İmdi bir zaman hiçbir şeyin devinmemesi olası olsa, bunun iki biçimde sözkonusu olması zorunlu: ya Anaksagoras'ın dediği gibi (o, herşey birarada iken ve sonsuz zaman boyunca duradurmakta iken US'un devinim yarattığını ve nesneleri birbirinden ayırdığını ileri sürüyor) ya da Empedokles'in dediği gibi: bir zaman diliminde devinme var, yine bir başka zaman diliminde durağanlık, DOSTLUK çok şeyden tek bir şey oluşturunca ya da KİN tek şeyden çok şey oluşturunca devinim, [bu ikisi] arasındaki zamanda ise durağanlık var. Şöyle diyor:

"BİR, ÇOK'tan doğmayı nasıl öğrendiyse
Yine BİR bölününce, ÇOK nasıl kendini tamamlıyorsa,
İşte [nesneler] tam böyle oluşurlar ve zaman onlar için bir engel değil.
Nasıl onların sürekli nitelik değiştirmesini hiçbir durak kesmiyorsa,
o şekilde çember içinde hep devinimsiz kalıyorlar."

Buradaki "nasıl... nitelik değiştirmelerini" ile o bizim kabulümüzü ifade etmektedir. Öyleyse bunların nasıl olduğunu incelemek

γὰρ οὐ μόνον πρὸς τὴν περὶ φύσεως θεωρίαν ἰδεῖν τὴν ἀλήθειαν, ἀλλὰ καὶ πρὸς τὴν μέθοδον τὴν περὶ τῆς ἀρχῆς τῆς πρώτης.

ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν ἐν τοῖς φυσικοῖς πρότερον. φαμὲν δὴ τὴν κίνησιν εἶναι ἐνέργειαν τοῦ κινητοῦ ᾗ κινητόν. ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. καὶ χωρὶς δὲ τοῦ τῆς κινήσεως ὁρισμοῦ, πᾶς ἂν ὁμολογήσειεν ἀναγκαῖον εἶναι κινεῖσθαι τὸ δυνατὸν κινεῖσθαι καθ' ἑκάστην κίνησιν, οἷον ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιωτόν, φέρεσθαι δὲ τὸ κατὰ τόπον μεταβλητόν, ὥστε δεῖ πρότερον καυστὸν εἶναι πρὶν κάεσθαι καὶ καυστικὸν πρὶν κάειν. οὐκοῦν καὶ ταῦτα ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα ἢ ἀΐδια εἶναι. εἰ μὲν τοίνυν ἐγένετο τῶν κινητῶν ἕκαστον, ἀναγκαῖον πρότερον τῆς ληφθείσης ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν, καθ' ἣν ἐγένετο τὸ δυνατὸν κινηθῆναι ἢ κινῆσαι· εἰ δ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, ἄλογον μὲν φαίνεται καὶ αὐτόθεν ἐπιστήσασιν, οὐ μὴν ἀλλὰ μᾶλλον ἔτι προάγουσι τοῦτο συμβαίνειν ἀναγκαῖον. εἰ γὰρ τῶν μὲν κινητῶν ὄντων τῶν δὲ κινητικῶν ὁτὲ μὲν ἔσται τι πρῶτον κινοῦν, τὸ δὲ κινούμενον, ὁτὲ δ' οὐθέν, ἀλλ' ἠρεμεῖ, ἀναγκαῖον τοῦτο μεταβάλλειν πρότερον· ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας· ἡ γὰρ ἠρέμησις στέρησις κινήσεως. ὥστε πρὸ τῆς πρώτης μεταβολῆς ἔσται μεταβολὴ προτέρα. τὰ μὲν γὰρ κινεῖ μοναχῶς, τὰ δὲ καὶ τὰς ἐναντίας κινήσεις, οἷον τὸ μὲν πῦρ θερμαίνει, ψύχει δ' οὔ, ἡ δ' ἐπιστήμη δοκεῖ τῶν ἐναντίων εἶναι μία. φαίνεται μὲν οὖν κἀκεῖ τι εἶναι ὁμοιότροπον· τὸ γὰρ ψυχρὸν θερμαίνει στραφέν πως καὶ ἀπελθόν, ὥσπερ καὶ ἁμαρτάνει ἑκὼν ὁ ἐπιστήμων, ὅταν ἀνάπαλιν χρήσηται τῇ ἐπιστήμῃ. ἀλλ' οὖν ὅσα γε δυνατὰ ποιεῖν καὶ πάσχειν ἢ κινεῖν, τὰ δὲ κινεῖσθαι, οὐ πάντως δυνατά ἐστιν, ἀλλ' ὠδὶ ἔχοντα

[a] 7 τὴν alt. EHIKS : om. FJ 9 ἐνέργειαν EKS : ἐντελέχειαν ΛT 11 τὰ om. K καὶ om. H 14 τὸ alt. post [a] 15 τόπον H : om. K 15 δὴ EJ 18 κινητικῶν K ἀναγκαῖον E²FIJKS : ἀνάγκη H : om. E¹ 21 φανεῖται E² 22 προϋπῆρχεν FH²IJKS ἀναγκαῖον τοῦτο συμβαίνειν F 24 ὅτι E ἔστι F τι] τὸ F¹ 25 ἠρεμεῖν I ἀναγκαῖον] δεῖ Λ : ἀναγκαῖον δεῖ K 26 ἦν E²ΚΛS : om. E¹ γὰρ ἠρεμία S 27 κινήσεως ΚΛS : τῆς κινήσεως E πρὸ τῆς] πρώτης E¹ 28 τῷ μὲν K 29 καὶ om. H 31 τι εἶναι om. E [b] 1 καὶ] ἡ EK 2 ἀλλ' om. E²

gerekiyor. İşimiz yalnızca doğa üzerine kuramla ilgili olarak değil, aynı zamanda ilk ilke konusundaki araştırma ile ilgili olarak da hakikati görmek.

İlkin Fizik derslerimizde daha önceki belirlemelerimizden başlayalım: imdi şunu ileri sürüyorduk: "Devinim, devinebilir olarak devinebilen bir nesnenin etkinlik halidir". Demek her devinime göre, devinmeleri olanaklı olan nesnelerin bulunması zorunlu. Devinimin tanımını bir yana bıraksak bile herkes her devinime göre devinmesi olanaklı olan nesnenin devinmesinin, sözgelişi nitelik değiştirebilen bir nesnenin nitelik değiştirmesinin, yer değiştirebilen bir nesnenin yer değiştirmesinin zorunlu olduğu konusunda anlaşır, dolayısıyla bir nesnenin yanmadan önce 'yanabilir' olması, yakmadan önce 'yakabilir' olması gerekir. Yine şu da zorunlu: bu nesneler ya bir zaman yokken oluştular ya da ebedidirler. Devinebilir nesnelerin herbiri oluştu ise ele aldığımızdan önce, kendisine göre devindirilme ya da devindirme olanağı olan nesnenin oluştuğu başka bir değişme ve devinimin oluşması zorunlu. Ne ki, devinim varolmadan, hep varolan kimi nesnelerin olması, düşünülür düşünülmez saçma görünür ama araştırma yol aldıkça bu saçmalık çok daha göze batar, bu zorunlu. Bir yanda devindirebilen öte yanda devinebilen nesneler olduğuna göre, kimi zaman ilk devindiren ile ilk devindirilen şey olacak, kimi zaman da bu olmayacaksa, her şey duraduracaksa, daha önce bir değişmenin olması zorunlu, çünkü duradurmanın nedeni olan bir şey vardı [demektir], nitekim "durağanlık bir devinim yokluğudur". Dolayısıyla ilk değişmeden daha önce bir değişme olacaktır. Kimi nesneler tek biçimde devinir, kimi nesneler karşıt devinimleri de gerçekleştirir, sözgelişi ateş ısıtır, soğutmaz; bilgi ise karşıtların birliği gibi görünmektedir. Yine de ilk örnekte ikinciyle benzer bir şey olduğu görünüyor, nitekim soğuk, tıpkı bilgilinin, yine bilgisini kullanıp isteyerek yanılması gibi, deyim yerindeyse, kalkıp gidince ısıtır. Ne ki etkinlikte bulunma, etkilenme ya da devinebilme olanağı taşıyan nice nesne varsa, bunlar her durumda değil, ancak belli bir

1. 251ᵃ 6 — ᵇ 28

καὶ πλησιάζοντα ἀλλήλοις. ὥσθ' ὅταν πλησιάσῃ, κινεῖ, τὸ δὲ κινεῖται, καὶ ὅταν ὑπάρξῃ ὡς ἦν τὸ μὲν κινητικὸν τὸ δὲ κινητόν. εἰ τοίνυν μὴ ἀεὶ ἐκινεῖτο, δῆλον ὡς οὐχ οὕτως εἶχον ὡς ἦν δυνάμενα τὸ μὲν κινεῖσθαι τὸ δὲ κινεῖν, ἀλλ' ἔδει μεταβάλλειν θάτερον αὐτῶν· ἀνάγκη γὰρ ἐν τοῖς πρός τι τοῦτο συμβαίνειν, οἷον εἰ μὴ ὂν διπλάσιον νῦν διπλάσιον, μεταβάλλειν, εἰ μὴ ἀμφότερα, θάτερον. ἔσται ἄρα τις προτέρα μεταβολὴ τῆς πρώτης.

πρὸς δὲ τούτοις τὸ πρότερον καὶ ὕστερον πῶς ἔσται χρόνου μὴ ὄντος; ἢ χρόνος μὴ οὔσης κινήσεως; εἰ δή ἐστιν ὁ χρόνος κινήσεως ἀριθμὸς ἢ κίνησίς τις, εἴπερ ἀεὶ χρόνος ἔστιν, ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι. ἀλλὰ μὴν περί γε χρόνου ἔξω ἑνὸς ὁμονοητικῶς ἔχοντες φαίνονται πάντες· ἀγένητον γὰρ εἶναι λέγουσιν. καὶ διὰ τούτου Δημόκριτός γε δείκνυσιν ὡς ἀδύνατον ἅπαντα γεγονέναι· τὸν γὰρ χρόνον ἀγένητον εἶναι. Πλάτων δὲ γεννᾷ μόνος· ἅμα μὲν γὰρ αὐτὸν τῷ οὐρανῷ [γεγονέναι], τὸν δ' οὐρανὸν γεγονέναι φησίν. εἰ οὖν ἀδύνατόν ἐστιν καὶ εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν, τὸ δὲ νῦν ἐστι μεσότης τις, καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον ἅμα, ἀρχὴ μὲν τοῦ ἐσομένου χρόνου, τελευτὴ δὲ τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι χρόνον. τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου ἔν τινι τῶν νῦν ἔσται (οὐδὲν γὰρ ἔστι λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν), ὥστ' ἐπεί ἐστιν ἀρχή τε καὶ τελευτὴ τὸ νῦν, ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα εἶναι ἀεὶ χρόνον. ἀλλὰ μὴν εἴ γε χρόνου, φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος τι κινήσεως.

ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ

ᵇ 3 *πλησιάζῃ* Λ 4 *ἦν*] *εἶναι* FHIJ²K *κινητὸν τὸ δὲ κινητικὸν* F 5 *ἐκεῖτο* E² 6 *ἦν* EJ¹KS : *μὴ* F¹I : om. F²HJ² 7 *ἔδει μεταβάλλειν*] *μετέβαλλεν* KT : *μετεβαλεν* E 9 *μεταβάλλει* E²HK *εἰ*] *καὶ εἰ* I *τις ἄρα* I 10 *τὸ* E²KΛS : om. E¹ 11 *ἢ*] *ἡ ὁ* Λ 12 *ὁ χρόνος ἐστὶν* KΛ *ἀριθμὸς κινήσεως* F 15 *πάντες* om. H *ἀγέννητον* FK 16 *τοῦτο* FIK *τε* Λ *ἅπαν* E¹ 17 *τὸν . . . εἶναι* om. F¹ *ἀγένητον εἶναι* T : *ἀγέννητον εἶναι* E : *ἀδύνατον γεγονέναι* F²HIJ : *ἀγέννητον γεγονέναι* K 18 *γεννᾷ*] *αὐτὸν γεννᾷ* KΛ : *γεγονέναι* S *μὲν* om. IKS *αὐτὸν* ΛS : om. EK *γεγονέναι* seclusi : habent HS 19 *οὖν* KΛS : *δὲ* E *ἐστιν* om. S *καὶ* om. ΛS 21 *καὶ* pr. EKT : om. Λ *ἅμα*] *ἀλλ'* E 22 *χρόνου* om. F *παρεληλυθότος* Λ 25 *τὸν* E *τε* om. FH 26 *ἀεὶ* om. EK

bağımda ve birbirlerine yakınlaşarak bu olanağı taşırlar. Dolayısıyla yakınlaştıklarında biri devinir, öteki devindirilir ve bu biri devindirilebilir, öteki devindirebilir idiyse gerçekleşir. İmdi devinim her zaman yok idiyse devinim ebedi değildiyse> açık ki, biri devindirilme, öteki devindirme olanağı taşıyacak şekilde bulunamazdı, onlardan birinin değişmesi gerekirdi. Görelilerde bunun sözkonusu olması zorunlu, sözgelişi bir nesne önce ikimisli değilken şimdi iki misli olduysa, herikisi değişmese bile, iki nesneden birinin değişmesi zorunlu. Demek ki ilk değişmeden daha önce bir değişme olacak!

Bunlardan başka, eğer zaman yoksa 'daha önce' ile 'daha sonra' nasıl olacak? Ya da devinim yoksa zaman nasıl olacak? İmdi zaman devinimin ölçüsü ya da bir tür devinim ise ve zaman hep varsa devinimin de ebedi olması zorunlu. Ne ki, zaman üzerine, bir düşünür dışında herkesin düşüncesi benzerlik taşıyor gibi, çünkü onlar zamanın oluşmamış/doğmamış olduğunu söylüyorlar. Demokritos bu yolla bütün nesnelerin doğmuş olmasının olanaksızlığını gösteriyor, çünkü ona göre zaman doğmamıştır. Yalnızca Platon zamanı doğurtuyor,[72] nitekim zamanın gökyüzüyle birlikte oluşmuş olduğunu, gökyüzünün ise doğmuş bir şey olduğunu söylüyor. İmdi zamanın 'an'dan bağımsız olması ve düşünülmesi olanaksızsa, 'an'da bir orta ise, başlangıcı ve sonu, gelecek zamanın başlangıcını geçmiş zamanın sonunu birlikte taşıyorsa, hep 'bir zaman' olması zorunlu. Çünkü son diye kabul edilen zaman sınırı 'an'lardan birinin içinde olacaktır (zamanda 'an' dışında bir şey almak olanaksız), dolayısıyla madem 'an' hem başlangıç hem de son, onun iki yönünün de hep bir zaman olması zorunlu. Ama zaman öyleyse, devinimin de öyle olmasının zorunlu olduğu açık, çünkü zaman devinimin bir niteliği.

Devinimin yokolmaz olduğu konusunda da aynı temellendirme

ἄφθαρτὸν εἶναι τὴν κίνησιν· καθάπερ γὰρ ἐπὶ τοῦ γενέσθαι κίνησιν συνέβαινεν προτέραν εἶναί τινα μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας· οὐ γὰρ ἅμα παύεται κινούμενον καὶ κινητὸν ὄν, οἷον καιόμενον καὶ καυστὸν ὄν (ἐνδέχεται γὰρ καυστὸν εἶναι μὴ καιόμενον), οὐδὲ 252ᵃ κινητικὸν καὶ κινοῦν. καὶ τὸ φθαρτικὸν δὴ δεήσει φθαρῆναι ὅταν φθείρῃ· καὶ τὸ τούτου φθαρτικὸν πάλιν ὕστερον· καὶ γὰρ ἡ φθορὰ μεταβολή τίς ἐστιν. εἰ δὴ ταῦτ' ἀδύνατα, δῆλον ὡς ἔστιν ἀίδιος κίνησις, ἀλλ' οὐχ ὁτὲ μὲν ἦν ὁτὲ δ' οὔ· καὶ γὰρ ἔοικε τὸ οὕτω λέγειν πλάσματι μᾶλλον.

ὁμοίως δὲ καὶ τὸ λέγειν ὅτι πέφυκεν οὕτως καὶ ταύτην δεῖ νομίζειν εἶναι ἀρχήν, ὅπερ ἔοικεν Ἐμπεδοκλῆς ἂν εἰπεῖν, ὡς τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει τὴν φιλίαν καὶ τὸ νεῖκος ὑπάρχει τοῖς πράγμασιν ἐξ ἀνάγκης, ἠρεμεῖν δὲ τὸν μεταξὺ χρόνον. τάχα δὲ καὶ οἱ μίαν ἀρχὴν ποιοῦντες, ὥσπερ Ἀναξαγόρας, οὕτως ἂν εἴποιεν. ἀλλὰ μὴν οὐδέν γε ἄτακτον τῶν φύσει καὶ κατὰ φύσιν· ἡ γὰρ φύσις αἰτία πᾶσιν τάξεως. τὸ δ' ἄπειρον πρὸς τὸ ἄπειρον οὐδένα λόγον ἔχει· τάξις δὲ πᾶσα λόγος. τὸ δ' ἄπειρον χρόνον ἠρεμεῖν, εἶτα κινηθῆναί ποτε, τούτου δὲ μηδεμίαν εἶναι διαφοράν, ὅτι νῦν μᾶλλον ἢ πρότερον, μηδ' αὖ τινὰ τάξιν ἔχειν, οὐκέτι φύσεως ἔργον. ἡ γὰρ ἁπλῶς ἔχει τὸ φύσει, καὶ οὐχ ὁτὲ μὲν οὕτως ὁτὲ δ' ἄλλως, οἷον τὸ πῦρ ἄνω φύσει φέρεται καὶ οὐχ ὁτὲ μὲν ὁτὲ δ' οὔ· ἢ λόγον ἔχει τὸ μὴ ἁπλοῦν. διόπερ βέλτιον ὡς Ἐμπεδοκλῆς, κἂν εἴ τις ἕτερος εἰρηκεν οὕτως ἔχειν, ἐν μέρει τὸ πᾶν ἠρεμεῖν καὶ κινεῖσθαι πάλιν· τάξιν γὰρ ἤδη τιν' ἔχει τὸ τοιοῦτον. ἀλλὰ καὶ τοῦτο δεῖ τὸν λέγοντα μὴ φάναι μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν αὐτοῦ λέγειν, καὶ μὴ

ᵇ 29 γὰρ EFHKS : om. IJ 30 κίνησιν ΚΑST : καὶ κίνησιν E τινὰ εἶναι ΚΑS : εἶναι τὴν E² 31 ἅμα] ἅμα ἀλλὰ E² 32 παύεται EJKSᶜ : παύσεται FHISᵖ καιόμενον EKS : καόμενον Λ 33 ὂν om. K γὰρ] γὰρ καὶ F καόμενον Λ 252ᵃ 1 κινητὸν I¹ φθαρτικὸν EKS : φθαρτὸν Λ δὴ EIJSᶜ : δὲ FHKSᵖ 2 φθείρῃ KS : φθειρῇ E² : φθαρῇ E¹ : φθείρηται Λ 3 ταῦτ' EIKS : τοῦτ' FHJ ἀδύνατα EKS : ἀδύνατον Λ 6 δεῖ ταύτην E : ταύτην δεῖν F εἶναι νομίζειν E 8 ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασιν S ὑπάρχειν FK 10 ὥσπερ] ὥσπερ καὶ Λ 12 ἢ] εἰ F¹ τάξεως πᾶσι H 14 λόγω H 15 δὴ E 16 οὐκ ἔστι K 17 καὶ EJT : om. FHIK 19 ἔχειν E²S ἄμεινον KS ὡς] ὡς ὁ H 20 ἕτερος] ἕτερος οὕτως F 22 δεῖ] δὴ J 23 ἀποφάναι Λ

geçerli. Nasıl devinimin oluşması konusunda, ilk değişmeden daha önce bir değişmenin olması sözkonusu oluyorduysa aynı şekilde burada da son değişmeden daha sonra bir değişme olması zorunlu. Çünkü devindirilen şey ve devindirilebilir olan şey, sözgelişi yanmakta olan ile yanabilir olan şey birlikte son bulmaz (nitekim yanmakta olmayan bir nesnenin yanabilir olması olası); devindirebilir olan ile devindirmekte olan da öyle. Demek ki yokolabilir nesnenin yokolmakta olduğu sırada zaten yokolmuş olması gerekecek, onu yokedebilen de yine daha sonra, çünkü yokolma bir değişmedir. İmdi bunlar olanaksızsa şu açık: devinim ebedidir, bir zaman varolduğu bir zaman varolmadığı doğru değil. Bunu ileri sürmek olsa olsa "edebiyat yapmak".

'Doğal olarak' böyle olduğunu ve bunun ilke olduğuna inanmak gerektiğini ileri sürmek de aynı şekilde, yani Empedokles'in iddia eder göründüğü gibi, zorunlu olarak DOSTLUK ile KİN'in nesnelere birer zaman diliminde egemen olması, aradaki zaman boyunca da durağanlık! Herhalde Anaksagoras gibi tek ilke koyanlar da bunu ileri sürseler gerek. Ne ki 'doğal olan' ve 'doğaya göre olan' nesneler içinde hiçbiri düzenden bağımsız değil, çünkü "doğa bütün nesneler için bir düzen nedenidir". 'Sonsuz'un 'sonsuz'la bağıntısının ise hiçbir akla uyar yanı yok. Düzen ise bütünüyle mantıksal bir bağıntı. Sonsuz bir zaman boyunca duradurmak, bir zaman gelip de devinmek, bunun hiçbir ayırımının olmaması, yani niçin daha önce değil de şimdi olması, hiçbir şeyin bir düzen taşımaması, bütün bunlar doğanın işi değildir! Nitekim ya doğa gereği olan nesne yalınlık taşır, bir zaman şöyle bir zaman başka olmaz, sözgelişi alev doğa gereği yukarı gider, yoksa bir zaman yukarı gider bir zaman gitmez değil; ya da yalınlık taşımayan nesnenin bir açıklaması/nedeni (logos) vardır. Bunun için Empedokles'in, ve başka biri de böyle olduğunu savunduysa onun, dediği gibi, her şeyin bir zaman diliminde durduğunu yine başka bir zaman diliminde devindiğini söylemek daha iyi, nitekim böyle bir şey zaten belli bir sıra/düzen taşıyor demektir. Ne ki, bunu ileri sürerken yalnızca iddia etmekle kalmamalı, bunun nedenini de

1. 251b 29 — 2. 252b 17

τίθεσθαι μηδὲν μηδ' ἀξιοῦν ἀξίωμ' ἄλογον, ἀλλ' ἢ ἐπαγωγὴν ἢ ἀπόδειξιν φέρειν· αὐτὰ μὲν γὰρ οὐκ αἴτια τὰ ὑποτεθέντα, οὐδὲ τοῦτ' ἦν τὸ φιλότητι ἢ νείκει εἶναι, ἀλλὰ τῆς μὲν τὸ συνάγειν, τοῦ δὲ τὸ διακρίνειν. εἰ δὲ προσοριεῖται τὸ ἐν μέρει, λεκτέον ἐφ' ὧν οὕτως, ὥσπερ ὅτι ἔστιν τι ὃ συνάγει τοὺς ἀνθρώπους, ἡ φιλία, καὶ φεύγουσιν οἱ ἐχθροὶ ἀλλήλους· τοῦτο γὰρ ὑποτίθεται καὶ ἐν τῷ ὅλῳ εἶναι· φαίνεται γὰρ ἐπί τινων οὕτως. τὸ δὲ καὶ δι' ἴσων χρόνων δεῖται λόγου τινός. ὅλως δὲ τὸ νομίζειν ἀρχὴν εἶναι ταύτην ἱκανήν, εἴ τι αἰεὶ ἢ ἔστιν οὕτως ἢ γίγνεται, οὐκ ὀρθῶς ἔχει ὑπολαβεῖν, ἐφ' ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας, ὡς οὕτω καὶ τὸ πρότερον ἐγίγνετο· τοῦ δὲ ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν, λέγων ἐπί τινων ὀρθῶς, ὅτι δ' ἐπὶ πάντων, οὐκ ὀρθῶς. καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας, ἀλλ' ὅμως ἐστίν τι τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον· τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν ἕτερον αἴτιον ἀϊδίων οὐσῶν.

ὅτι μὲν οὖν οὐδεὶς ἦν χρόνος οὐδ' ἔσται ὅτε κίνησις οὐκ ἦν ἢ οὐκ ἔσται, εἰρήσθω τοσαῦτα.

2 Τὰ δὲ ἐναντία τούτοις οὐ χαλεπὸν λύειν. δόξειε δ' ἂν ἐκ τῶν τοιῶνδε σκοποῦσιν ἐνδέχεσθαι μάλιστα κίνησιν εἶναί ποτε μὴ οὖσαν ὅλως, πρῶτον μὲν ὅτι οὐδεμία ἀΐδιος μεταβολή· μεταβολὴ γὰρ ἅπασα πέφυκεν ἔκ τινος εἴς τι, ὥστε ἀνάγκη πάσης μεταβολῆς εἶναι πέρας τὰ ἐναντία ἐν οἷς γίγνεται, εἰς ἄπειρον δὲ κινεῖσθαι μηδέν. ἔτι ὁρῶμεν ὅτι δυνατὸν κινηθῆναι μήτε κινούμενον μήτ' ἔχον ἐν ἑαυτῷ μηδεμίαν κίνησιν, οἷον ἐπὶ τῶν ἀψύχων, ὧν οὔτε μέρος οὐδὲν οὔτε τὸ ὅλον κινούμενον ἀλλ' ἠρεμοῦν κινεῖται ποτε· προσῆκεν δὲ ἢ ἀεὶ κινεῖσθαι ἢ μηδέποτε, εἴπερ μὴ γίγνεται οὐκ οὖσα. πολὺ δὲ μάλιστα τὸ τοιοῦτον ἐπὶ τῶν ἐμψύχων εἶναι φα-

a 24 ἢ] ἀεὶ I 25 γὰρ om. E¹ οὐκ αἴτια τὰ] οὐκ αἴτια E : οὐκέτι J 26 ταὐτὸ ES 27 προσδιοριεῖται K 28 ὅτι] τι E τι τὸ συνάγον FH 30 εἶναι om. I 31 δι' om. E¹ δεῖται καὶ λόγου H 33 εἴ τι EK et ut vid. S : ὅτι Λ et ut vid. P ἢ pr. ΛP : om. EKT ἔχει ΚΛS : ἔχειν E 34 εἰς K 35 ὅτι E τα JKS πρότερα K ἐγένετο H b 1–2 ὅτι . . . ὀρθῶς om. E¹ 3 ταῖς γωνίαις E¹ τι om. K ἰδιότητος E¹ 5 οὖν EIJKS : τοίνυν FH ἦν fecit E 6 οὐκ pr. E¹FIJT : ἢ οὐκ E²HK ἔστι E¹ ταῦτα E 10 πᾶσα KT 11 ἅπασης HI 17 τὸ τοιοῦτον μάλιστα I μᾶλλον S εἶναι] ἐστὶ FH

[illegible]; hiçbir kabul koymamak ya da tutarsız bir kabul ileri sürmek [illegible] ya tümnevarıma gitmeli ya da mantıksal kanıtlama getirmeli. Nite- 25
[illegible] Empedokkles'in bu kabullerinin kendileri neden değil, DOSTLUK [illegible] da KİN'in varlığı da neden değil, tersine birleştirme birinin nedeni, [illegible] ise ötekinin. Eğer "bir zaman diliminde" ifadesi eklenecekse, niye [illegible] olduğunu, sözgelişi insanları birleştiren bir şeyin, yani dostluğun [illegible] ve düşmanların birbirlerinden kaçtıklarını eklemek gerekir. O 30
[illegible] bunun bütünde de böyle olduğu düşünülür, çünkü bazı nesneler- [illegible] böyle görüünüyor. Kaldı ki, [olgunun] eş zamanda olması da bir açıkla- [illegible] gerektirir.r. Kısaca "eğer bir şey hep böyle ise ya da hep böyle oluyor- [illegible] ya yeterli bir ilke diye kabul etmek doğru değil. Demokritos doğa ko- [illegible] nedenleri "daha önce de böyle oluşmuştu"ya indirgiyor, 'her [illegible] 'in, [zorunlunun] ilkesini araştırmaya değer bulmazken, kimi ko- 35
[illegible] doğru konuşuyor, ama 'her şeyde' bunun geçerliliğini ileri sür- 252b
[illegible] yerinde değil. Çünkü üçgenin de açıları hep iki dik açıya eşit, ama [illegible] bu ebedi geçerliliğin [üçgenin kendinden] başka bir nedeni var. [illegible] ebedi olan ilkelerin nedeni [kendilerinden] başka bir şey değildir.

İmdi "devinimin olmadığı ve olmayacağı bir zaman yoktu ve olma- 5
[illegible]" konusu böylece açıklanmış oldu.

2 Bunnlara karşıt düşünceleri çürütmek güç değil. Devinimin hep- [illegible] yokken bir zaman varolması olasılığı özellikle şöyle bakanlarca düşü- [illegible]: ilkkin, 'hiçbir değişmenin ebedi olmaması'. Nitekim her değiş- [illegible] doğal olalarak bir şeyden bir şeye doğru, dolayısıyla her devinimin sını- 10
[illegible] içinde oluuştuğu karşıtlar var, hiçbir şey sonsuza değin devinmez, bu zo- [illegible]. İkincileyin, görüyoruz ki, devindirilmediği halde, kendinde hiçbir [illegible] devinim de taşımadığı halde bir nesne devinebiliyor, sözgelişi ne onların [illegible] parçası ne de tümü devinmezken, duradurmakta iken, kimi zaman [illegible] canlısız nesneler. Oysa madem devinim yokken oluşan bir şey 15
[illegible], [bunhların] ya hep devinmeleri ya da hiç devinmemeleri gerekirdi. Ama bu tutur bir şeyin özellikle canlılarda olduğu çok açık: kimileyin

νερόν· οὐδεμιᾶς γὰρ ἐν ἡμῖν ἐνούσης κινήσεως ἐνίοτε, ἀλλ' ἡσυχάζοντες ὅμως κινούμεθά ποτε, καὶ ἐγγίγνεται ἐν ἡμῖν ἐξ ἡμῶν αὐτῶν ἀρχὴ κινήσεως, κἂν μηθὲν ἔξωθεν κινήσῃ. τοῦτο γὰρ ἐπὶ τῶν ἀψύχων οὐχ ὁρῶμεν ὁμοίως, ἀλλ' ἀεὶ κινεῖ τι αὐτὰ τῶν ἔξωθεν ἕτερον· τὸ δὲ ζῷον αὐτό φαμεν ἑαυτὸ κινεῖν. ὥστ' εἴπερ ἠρεμεῖ ποτὲ πάμπαν, ἐν ἀκινήτῳ κίνησις ἂν γίγνοιτο ἐξ αὑτοῦ καὶ οὐκ ἔξωθεν. εἰ δ' ἐν ζῴῳ τοῦτο δυνατὸν γενέσθαι, τί κωλύει τὸ αὐτὸ συμβῆναι καὶ κατὰ τὸ πᾶν; εἰ γὰρ ἐν μικρῷ κόσμῳ γίγνεται, καὶ ἐν μεγάλῳ· καὶ εἰ ἐν τῷ κόσμῳ, κἂν τῷ ἀπείρῳ, εἴπερ ἐνδέχεται κινεῖσθαι τὸ ἄπειρον καὶ ἠρεμεῖν ὅλον.

τούτων δὴ τὸ μὲν πρῶτον λεχθέν, τὸ μὴ τὴν αὐτὴν ἀεὶ καὶ μίαν τῷ ἀριθμῷ εἶναι τὴν κίνησιν τὴν εἰς τὰ ἀντικείμενα, ὀρθῶς λέγεται. τοῦτο μὲν γὰρ ἴσως ἀναγκαῖον, εἴπερ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν εἶναι δυνατὸν τὴν τοῦ αὐτοῦ καὶ ἑνὸς κίνησιν· λέγω δ' οἷον πότερον τῆς μιᾶς χορδῆς εἷς καὶ ὁ αὐτὸς φθόγγος, ἢ ἀεὶ ἕτερος, ὁμοίως ἐχούσης καὶ κινουμένης. ἀλλ' ὅμως ὁποτέρως ποτ' ἔχει, οὐδὲν κωλύει τὴν αὐ-
253[a] τὴν εἶναί τινα τῷ συνεχῆ εἶναι καὶ ἀΐδιον· δῆλον δ' ἔσται μᾶλλον ἐκ τῶν ὕστερον. τὸ δὲ κινεῖσθαι μὴ κινούμενον οὐδὲν ἄτοπον, ἂν ὁτὲ μὲν ᾖ τὸ κινῆσον ἔξωθεν, ὁτὲ δὲ μή. τοῦτο μέντοι πῶς ἂν εἴη, ζητητέον, λέγω δὲ ὥστε τὸ αὐτὸ ὑπὸ τοῦ αὐτοῦ κινητικοῦ ὄντος ὁτὲ μὲν κινεῖσθαι ὁτὲ δὲ μή· οὐδὲν γὰρ ἄλλ' ἀπορεῖ ὁ τοῦτο λέγων ἢ διὰ τί οὐκ ἀεὶ τὰ μὲν ἠρεμεῖ τῶν ὄντων τὰ δὲ κινεῖται. μάλιστα δ' ἂν δόξειεν τὸ τρίτον ἔχειν ἀπορίαν, ὡς ἐγγιγνομένης οὐκ ἐνούσης πρότερον κινήσεως, τὸ συμβαῖνον ἐπὶ τῶν ἐμψύχων· ἠρεμοῦν γὰρ πρότερον μετὰ ταῦτα βαδίζει, κινήσαντος τῶν ἔξωθεν οὐδενός, ὡς δοκεῖ. τοῦτο δ' ἐστὶ ψεῦδος. ὁρῶμεν γὰρ ἀεί τι κινούμενον ἐν τῷ ζῴῳ τῶν συμφύτων· τούτου δὲ τῆς

[b] 18 ἐν ἡμῖν om. FH οὔσης F 19 ὁμοίως E 20 αὐτῶν om. E[1] κινήσεως ἐνίοτε κἂν Λ κινήσει J 22 τι αὐτὰ κινεῖ F : τι κινεῖ αὐτὰ H : κινεῖ τι I 23 ἠρεμεῖν J 24 γένοιτο FK 25 ἐν ΚΛS : om. E τὸ ΚΛS : τοῦτο τὸ E 26 κατὰ τὸ ΚΛS : τὸ κατὰ E γίγνεσθαι HIJ 27 καὶ pr.] κἂν E κἂν] καὶ F : καὶ ἐν HIJKS 30 τὰ om. FJ : τ' I 34 ἀεὶ om. I ἠχούσης fecit H 35 ποτ' EIJKS : πως H : om. F 253[a] 1 ἐστὶ J[1] 3 κινήσαν EFIK τοῦτο ... 5 μή EIJKS : in marg. F : om. H 6 οὐκ ἀεὶ ΠSP : om. S[1] 9 ὑπὸ I 11 γὰρ δὴ αἰεὶ K 12 τι om. J[1] τούτων E

bizim içimizde hiçbir devinim olmamasına, sakin olmamıza karşın, hiçbir şey dışardan devindirmese de, yine de bazan deviniyoruz ve bizde bizzat kendimizden kaynaklanan bir devinim ilkesi oluşuyor. Bunu cansız nesnelerde aynı biçimde göremiyoruz, onları hep dışardan başka bir şey devindiriyor. Canlı nesnenin ise kendi kendini devindirdiğini ileri sürüyoruz. Dolayısıyla eğer bir zaman hepten duraduruyorsa, devinebilir olmayan bir nesnede dışardan değil, kendinden kaynaklanan bir devinim oluşabiliyor. Canlı bir nesnede bunun oluşması olanaklı ise, 'bütünde' <bütün evrende> de bu aynı şeyin sözkonusu olmasına ne engel var? Küçük evrende oluyorsa, büyük evrende de oluşur, madem sonsuzluğun bütün olarak devinmesi ve durması olası, evrende oluşursa sonsuzlukta da oluşur[73].

İmdi bunlardan ilk söylediğimiz, yani karşıtlara olan devinimin hep aynı ve sayıca tek olmadığı doğru. Madem tek ve aynı nesnenin devinimlerinin her zaman tek ve aynı olması olanaklı değil, bu belki de zorunlu. Sözgelişi acaba tek telin sesi hep tek ve aynı mı, yoksa aynı biçimde gerili olup aynı biçimde vurulmasına karşın hep değişik mi, kastettiğim bu işte. Yine de her ne şekilde olursa olsun, devinimin sürekli ve ebedi olmakla, aynı belli bir şey olmasına hiçbir engel yok. Daha sonra söyleyeceklerimizle bu daha açıklığa kavuşacak. Dışardan devindiren, kimi kez 253a
varsa kimi kez de yoksa, devinmeyen nesnenin devinmesi hiç de tutarsız değil. Bunun, yani aynı nesnenin devindirilebilir olan aynı nesne tarafından kimi kez devindirilip kimi kez devindirilmemesinin nasıl olduğunu incelemek gerekiyor. Ama bu soruyu soran kişi, "niçin varolanların kimi hep duradurmaz, kimi de hep devinmez" sorusunu ortaya koymaktan başka bir şey yapmamaktadır. Ne ki özellikle üçüncüsü bir sorun taşıyor görünmekte, çünkü bu canlı nesnelerde sözkonusu olan şey, daha önce varolmadığı halde gerçekleşen devinim. Nitekim önce duradurmakta olan, sonra görüldüğü kadarıyla, dışardan hiçbir şey devindirmemesine karşın, yürümekte. Ama bu yanlış, çünkü her zaman canlıda, doğuştan getirdiği devinen bir parça görüyoruz, bunun deviniminin nedeni ise

2. 252b 18 — 3. 253b 6

κινήσεως οὐκ αὐτὸ τὸ ζῷον αἴτιον, ἀλλὰ τὸ περιέχον ἴσως. αὐτὸ δέ φαμεν αὐτὸ κινεῖν οὐ πᾶσαν κίνησιν, ἀλλὰ τὴν κατὰ τόπον. οὐδὲν οὖν κωλύει, μᾶλλον δ' ἴσως ἀναγκαῖον, ἐν μὲν τῷ σώματι πολλὰς ἐγγίγνεσθαι κινήσεις ὑπὸ τοῦ περιέχοντος, τούτων δ' ἐνίας τὴν διάνοιαν ἢ τὴν ὄρεξιν κινεῖν, ἐκείνην δὲ τὸ ὅλον ἤδη ζῷον κινεῖν, οἷον συμβαίνει περὶ τοὺς ὕπνους· αἰσθητικῆς μὲν γὰρ οὐδεμιᾶς ἐνούσης κινήσεως, ἐνούσης μέντοι τινός, ἐγείρεται τὰ ζῷα πάλιν. ἀλλὰ γὰρ φανερὸν ἔσται καὶ περὶ τούτων ἐκ τῶν ἑπομένων.

3 Ἀρχὴ δὲ τῆς σκέψεως ἥπερ καὶ περὶ τῆς λεχθείσης ἀπορίας, διὰ τί ποτε ἔνια τῶν ὄντων ὁτὲ μὲν κινεῖται ὁτὲ δὲ ἠρεμεῖ πάλιν. ἀνάγκη δὴ ἤτοι πάντα ἠρεμεῖν ἀεί, ἢ πάντα ἀεὶ κινεῖσθαι, ἢ τὰ μὲν κινεῖσθαι τὰ δ' ἠρεμεῖν, καὶ πάλιν τούτων ἤτοι τὰ μὲν κινούμενα κινεῖσθαι ἀεὶ τὰ δ' ἠρεμοῦντα ἠρεμεῖν, ἢ πάντα πεφυκέναι ὁμοίως κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ τὸ λοιπὸν ἔτι καὶ τρίτον. ἐνδέχεται γὰρ τὰ μὲν ἀεὶ τῶν ὄντων ἀκίνητα εἶναι, τὰ δ' ἀεὶ κινούμενα, τὰ δ' ἀμφοτέρων μεταλαμβάνειν· ὅπερ ἡμῖν λεκτέον ἐστίν· τοῦτο γὰρ ἔχει λύσιν τε πάντων τῶν ἀπορουμένων, καὶ τέλος ἡμῖν ταύτης τῆς πραγματείας ἐστίν. τὸ μὲν οὖν πάντ' ἠρεμεῖν, καὶ τούτου ζητεῖν λόγον ἀφέντας τὴν αἴσθησιν, ἀρρωστία τίς ἐστιν διανοίας, καὶ περὶ ὅλου τινὸς ἀλλ' οὐ περὶ μέρους ἀμφισβήτησις· οὐδὲ μόνον πρὸς τὸν φυσικόν, ἀλλὰ πρὸς πάσας τὰς ἐπιστήμας ὡς εἰπεῖν καὶ πάσας τὰς δόξας διὰ τὸ κινήσει 253t χρῆσθαι πάσας. ἔτι δ' αἱ περὶ τῶν ἀρχῶν ἐνστάσεις, ὥσπερ ἐν τοῖς περὶ τὰ μαθήματα λόγοις οὐδέν εἰσιν πρὸς τὸν μαθηματικόν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οὕτως οὐδὲ περὶ τοῦ νῦν ῥηθέντος πρὸς τὸν φυσικόν· ὑπόθεσις γὰρ ὅτι ἡ φυσις ἀρχὴ τῆς κινήσεως. 6

σχεδὸν δὲ καὶ τὸ φάναι κινεῖσθαι 6

---

a 15 ἴσως δ' F 16 ἐν μὲν EKT : om. Λ τῷ σώματι post κινήσεις F 17 ἔνια K ἐκείνη K 18 ὁποῖον ΚΛ 20 τὰ] πάντα τὰ E πάλιν om. E 22 ἥπερ JS : εἴπερ E : ἔσται ἥπερ FHIK περὶ om. J 23 ποτε om F οὔτε μὲν κινεῖ τε E¹ 24 δὴ ἤτοι FJKT : δ' ἤτοι EI : δή τοι H πάντα καὶ ἠρεμεῖν F 27 κινεῖσθαι om. F¹ 31 πάντων τε Λ : γε πάντων F 33 ἀφέντα K 35 τὸ HI ἁπάσας EKS b 2 χρῃ E¹ 3 ἐστιν E¹ : ἔτι E² τὸ FI : τὰ K μαθηματικὰ K : μαθητικὸν E 4 περὶ F οὕτως om. K οὐδὲν H 5 τὸν] τὸ I 6 τῆς EFKS : τις HIJ δέ τι καὶ IJS κινεῖσθαι πάντα EKS : πάντα κινεῖσθαι Λ

varlığın kendisi değil, ama herhalde onu saran şey. Ama canlının her devinim açısından değil, yere göre kendini devindirdiğini ileri sürüyoruz. İmdi bedende saran [çevre-koşul] tarafından oluşturulan pek çok devinim bulunmasına, bunlardan bazılarının düşünceyi ya da iştahı devindirmesine, onun da tüm canlıyı devindirmesine hiçbir engel yok, hatta belirli de bu zorunlu. Tıpkı rüyada olduğu gibi: hiçbir duyusal devinim bulunmamasına karşın yine de bir devinim olduğundan, canlılar yeniden uyanıyor; [ölmüyorlar]. Ne ki bu konu da ilerde açıklığa kavuşacak[74]

3 Araştırmamızın başlangıcı tam da dile getirdiğimiz sorun: niçin varolanların bazıları kimi zaman deviniyor kimi zaman da duruyor? İmdi ya zorunlu: [1] ya her şey hep durmakta, [2] ya her şey hep devinmekte, [3] ya da kimi nesneler devinmekte kimi nesneler durmaktadır. Yine bu sonuncu durumda: [3a] ya devinenler hep devinmekte, durmakta olanlar hep durmakta, [3b] ya her şey doğal olarak aynı şekilde [benzer zaman diliminde] devinmekte ve durmakta, [3c] ya da bir üçüncü durum daha oluyor, şu olasılık var: varolanların bazıları hiç devinmez, bazıları hep devinmekte, bazıları da herikisine de girer. İşte bu sonuncu durum bizim savunmamız gereken, çünkü bütün güçlüklerin çözümünü taşıyor, bilimizin amacı da bu. İmdi her şeyin durmakta olduğunu düşünmek, algıyı/duyumu bir yana bırakıp bunun nedenini aramak bir düşünce sakatlığı; evrenin yalnızca bir kısmı konusunda değil, tümü konusunda bir belirsizlik yaratır, üstelik bu yalnızca doğabilimcisiyle ilgili değil, bütün bilimlerle, hatta bütün sanılarla ilgili, çünkü hepsi devinimi kullanıyor/var sayıyor. Ayrıca ilkeler konusundaki eleştiriler olduklarından ötürü, nasıl matematik üzerine olan tartışmalar matematikçiyi ilgilendirmezse, öteki bilimlerde de bu böyleyse, aynı şekilde şimdi söylediğimiz konu da doğabilimcisini ilgilendirmez. Çünkü onun kabulü şu: "doğa bir devinim ilkesidir".

Belki her şeyin devindiğini ileri sürmek de yanlış ama alana

πάντα ψεῦδος μέν, ἧττον δὲ τούτου παρὰ τὴν μέθοδον· ἐτέθη μὲν γὰρ ἡ φύσις ἐν τοῖς φυσικοῖς ἀρχή, καθάπερ κινήσεως, καὶ ἠρεμίας, ὅμως δὲ φυσικὸν ἡ κίνησις· καί φασί τινες κινεῖσθαι τῶν ὄντων οὐ τὰ μὲν τὰ δ' οὔ, ἀλλὰ πάντα καὶ ἀεί, ἀλλὰ λανθάνειν τοῦτο τὴν ἡμετέραν αἴσθησιν· πρὸς οὓς καίπερ οὐ διορίζοντας ποίαν κίνησιν λέγουσιν, ἢ πάσας, οὐ χαλεπὸν ἀπαντῆσαι. οὔτε γὰρ αὐξάνεσθαι οὔτε φθίνειν οἷόν τε συνεχῶς, ἀλλ' ἔστι καὶ τὸ μέσον. ἔστι δ' ὅμοιος ὁ λόγος τῷ περὶ τοῦ τὸν σταλαγμὸν κατατρίβειν καὶ τὰ ἐκφυόμενα τοὺς λίθους διαιρεῖν· οὐ γὰρ εἰ τοσόνδε ἐξέωσεν ἢ ἀφεῖλεν ὁ σταλαγμός, καὶ τὸ ἥμισυ ἐν ἡμίσει χρόνῳ πρότερον· ἀλλ' ὥσπερ ἡ νεωλκία, καὶ οἱ σταλαγμοὶ οἱ τοσοιδὶ τοσονδὶ κινοῦσιν, τὸ δὲ μέρος αὐτῶν ἐν οὐδενὶ χρόνῳ τοσοῦτον. διαιρεῖται μὲν οὖν τὸ ἀφαιρεθὲν εἰς πλεῖω, ἀλλ' οὐδὲν αὐτῶν ἐκινήθη χωρίς, ἀλλ' ἅμα. φανερὸν οὖν ὡς οὐκ ἀναγκαῖον ἀεί τι ἀπιέναι, ὅτι διαιρεῖται ἡ φθίσις εἰς ἄπειρα, ἀλλ' ὅλον ποτὲ ἀπιέναι. ὁμοίως δὲ καὶ ἐπ' ἀλλοιώσεως ὁποιασοῦν· οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρα τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ' ἀθρόα γίγνεται πολλάκις, ὥσπερ ἡ πῆξις. ἔτι ὅταν τι νοσήσῃ, ἀνάγκη χρόνον γενέσθαι ἐν ᾧ ὑγιασθήσεται, καὶ μὴ ἐν πέρατι χρόνου μεταβάλλειν· ἀνάγκη δὲ εἰς ὑγίειαν μεταβάλλειν καὶ μὴ εἰς ἄλλο μηθέν. ὥστε τὸ φάναι συνεχῶς ἀλλοιοῦσθαι λίαν ἐστὶ τοῖς φανεροῖς ἀμφισβητεῖν. εἰς τοὐναντίον γὰρ ἡ ἀλλοίωσις· ὁ δὲ λίθος οὔτε σκληρότερος γίγνεται οὔτε μαλακώτερος. κατά τε τὸ φέρεσθαι θαυμαστὸν εἰ λέληθεν ὁ λίθος κάτω φερόμενος ἢ μένων ἐπὶ τῆς γῆς. ἔτι δ' ἡ γῆ καὶ τῶν ἄλλων ἕκαστον ἐξ ἀνάγκης μένουσι μὲν ἐν τοῖς οἰκείοις τόποις, κινοῦνται δὲ βιαίως

[b] 7 τοῦτο Λ 8 μέν om. E^2 9 ὅμως Camotiana : ὁμοίως Π : οὐχ ὁμοίως Gaye καί om. E 11 λανθάνει E^2 12 ἢ ⟨εἰ⟩ Thoresby Jones πᾶσαν I 13 ἀπαντᾶν J^1 14 ἔστι (ἔστι τι S) καὶ τὸ μέσον ΚΛS : om. E ὁ om. E 15 τοῦ om. I 16 ἔωσεν ΚΛΙΡ 17 πρότερον om. H 18 τοσοιδὴ E² : τοσοίδε FHST : E^1 incertum τοσονδὶ JT : τοσόνδε EFHIK 21 ἅμα] ἅμα ὅλον H 22–3 ὅτι . . . ἀπιέναι om. I 23 ὁποιασοῦν ΚΛST : ὁποιασποτοῦν E : 24 ἄπειρα EJ²KS^P : ἄπειρον FHIJ¹S^cT 26 νοστήσῃ τι FH : τις νοσήσῃ E^2 : νοσήσῃ τις IJK 27 πέρασι FK^2 ἀνάγκη . . . 28 μεταβάλλειν om. F^1 27 ἀνάγκη δὲ εἰς] καὶ E^1 : καὶ εἰῖς E^2 28 μὴ om. ΚΛ 30 δὲ] τε FIJ¹K 34 μὲν om. F κινεῖται FHI

maklığı ötekinden daha az, çünkü Fizik derslerimizde doğayı hem devinim ilkesi hem de durağanlık ilkesi diye koyduğumuz gibi[75], devinimi de fiziksel/doğal bir şey olarak ortaya koyduk. Kaldı ki, kimileri varolanların bazılarının devindiğini, bazılarının devinmediğini değil, her şeyin her zaman devindiğini, ama bunun bizim algımız bakımından gizli kaldığını ileri sürüyor[76]. Hangi devinimden sözettiklerini, acaba her tür devinimden mi sözettiklerini belirleyemesek de, bunlara karşı çıkmak zor değil, çünkü büyümek de eksilmek de sürekli olamaz, orta diye bir şey de var [bu burada devinim kesiliyor]. Bu sav, su damlalarının ve parazitlerin üzerinden çıktıkları taşı parçalamaları ile ilgili olanla aynı, çünkü damlalar ne kadar zamanda şu kadar taşı aşındırırsa, yarı kadarı da daha önce yarı zamanda bunu yapar [demek değildir]. Gemi örneğimizde olduğu gibi[77] belli bir micelikteki damla belli bir devinim yaratır ama onların yarısı belli bir devinimi hiçbir zaman diliminde gerçekleştiremeyebilir. Yine çok parçaya [bölünen şey de ayrılır ama onların hiçbiri, ayrıbaşına devindirilmemiştir, [hepsi] birlikte devindirilmiştir. O halde açık ki, eksilme sonsuza değin bölündüğünden ötürü [hep] bir şeyin ortadan kalkması zorunlu değil, belli bir zamanda ancak ortadan kalkabilir. Her tür nitelik değiştirmede de bu böyle: nitelik değiştiren nesne sonsuza bölünebilir ve, bu yüzden nitelik değiştirme de böyledir denemez, tersine çoğu kez durumunda olduğu gibi, nitelik değiştirme [bir bütünsellik içinde] oluşur. Bir yandan biri hastalansa, değişme sınırlı bir zaman içinde gerçekleşmese bile, kişinin iyileşmesi için bir zaman geçmesi zorunlu, ama onun başka bir şeye doğru değil sağlığa doğru değişmesi zorunlu. Dolayısıyla nitelik değiştirmenin sürekli olduğunu ileri sürmek, görünen nesnelere olgulara son derece aykırı, çünkü nitelik değiştirme [yalnızca] bir kara doğru olur, oysa taş ne daha sert ne de daha yumuşak olabilir. Yer değiştirme konusunda da, taşın düşmekte olduğu ya da toprakta durmakta olduğu algımız için gizli kalsa, bu şaşılacak bir şey olur. Öte yandan toprak ve başka her nesne zorunlu olarak kendi yerinde kalır, ancak

3. 253[b] 7 — 254[a] 26

ἐκ τούτων· εἴπερ οὖν ἕνι᾽ αὐτῶν ἐστιν ἐν τοῖς οἰκείοις τόποις, ἀνάγκη μηδὲ κατὰ τόπον πάντα κινεῖσθαι.

ὅτι μὲν οὖν ἀδύνατον ἢ ἀεὶ πάντα κινεῖσθαι ἢ ἀεὶ πάντα ἠρεμεῖν, ἐκ τούτων καὶ ἄλλων τοιούτων πιστεύσειεν ἄν τις. ἀλλὰ μὴν οὐδὲ τὰ μὲν ἀεὶ ἐνδέχεται ἠρεμεῖν, τὰ δ᾽ ἀεὶ κινεῖσθαι, ποτὲ δ᾽ ἠρεμεῖν καὶ ποτὲ κινεῖσθαι μηδέν. λεκτέον δ᾽ ὅτι ἀδύνατον, ὥσπερ ἐπὶ τῶν εἰρημένων πρότερον, καὶ ἐπὶ τούτων (ὁρῶμεν γὰρ ἐπὶ τῶν αὐτῶν γιγνομένας τὰς εἰρημένας μεταβολάς), καὶ πρὸς τούτοις ὅτι μάχεται τοῖς φανεροῖς ὁ ἀμφισβητῶν· οὔτε γὰρ αὔξησις οὔθ᾽ ἡ βίαιος ἔσται κίνησις, εἰ μὴ κινήσεται παρὰ φύσιν ἠρεμοῦν πρότερον. γένεσιν οὖν ἀναιρεῖ καὶ φθορὰν οὗτος ὁ λόγος. σχεδὸν δὲ καὶ τὸ κινεῖσθαι γίγνεσθαί τι καὶ φθείρεσθαι δοκεῖ πᾶσιν· εἰς ὃ μὲν γὰρ μεταβάλλει, γίγνεται τοῦτο ἢ ἐν τούτῳ, ἐξ οὗ δὲ μεταβάλλει, φθείρεται τοῦτο ἢ ἐντεῦθεν. ὥστε δῆλον ὅτι τὰ μὲν κινεῖται, τὰ δ᾽ ἠρεμεῖ ἐνίοτε.

τὸ δὲ πάντα ἀξιοῦν ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ κινεῖσθαι, τοῦτ᾽ ἤδη συναπτέον πρὸς τοὺς πάλαι λόγους. ἀρχὴν δὲ πάλιν ποιητέον ἀπὸ τῶν νῦν διορισθέντων, τὴν αὐτὴν ἥνπερ ἠρξάμεθα πρότερον. ἢ γάρ τοι πάντα ἠρεμεῖ, ἢ πάντα κινεῖται, ἢ τὰ μὲν ἠρεμεῖ τὰ δὲ κινεῖται τῶν ὄντων. καὶ εἰ τὰ μὲν ἠρεμεῖ τὰ δὲ κινεῖται, ἀνάγκη ἤτοι πάντα ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ κινεῖσθαι, ⟨ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖν τὰ δὲ ἀεὶ κινεῖσθαι⟩, ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖν τὰ δὲ ἀεὶ κινεῖσθαι αὐτῶν, τὰ δ᾽ ὁτὲ μὲν ἠρεμεῖν ὁτὲ δὲ κινεῖσθαι. ὅτι μὲν τοίνυν οὐχ οἷόν τε πάντ᾽ ἠρεμεῖν, εἴρηται μὲν καὶ πρότερον, εἴπωμεν δὲ καὶ νῦν. εἰ γὰρ καὶ κατ᾽ ἀλήθειαν οὕτως ἔχει καθάπερ φασί τινες, εἶναι τὸ ὂν ἄπειρον καὶ ἀκίνητον, ἀλλ᾽ οὔτι φαίνεταί γε κατὰ τὴν αἴσθησιν, ἀλλὰ κινεῖσθαι πολλὰ

[h] 35 ἐστιν αὐτῶν K 254[a] 1 οὖν οὐ δυνατον HI 3 τοιούτων ἄλλων F οὐδὲ EJ[1]KS : οὔτε FHIJ[1] 7 ἐπὶ ΚΛΤ : καὶ ἐπὶ E 9 γὰρ] γὰρ ἡ E ἐστι F 11 δὲ om. F 13–14 ἐξ . . . τοῦτο om. K[1] 18 ἤτοι γὰρ K κινεῖται ἡ πάντα ἠρεμεῖ F 19 τὰ alt.] ἀεὶ τὰ E[1] 20 κινεῖται τῶν ὄντων ἀνάγκη ΚΛ 21–2 ἢ pr. . . . δὲ κινεῖσθαι] καὶ πάλιν τούτων ἢ τὰ μὲν κινούμενα κινεῖται ἀεὶ τὰ δ᾽ ἠρεμοῦντα ἠρεμεῖ, ἢ ὁμοίως πάντα ὁτὲ μὲν ἠρεμεῖ ὁτὲ δὲ κινεῖται marg K 21 ἀεὶ alt. om. J 21 ἢ . . . κινεῖσθαι addidi hic : post αὐτῶν [a] 22 add. Prantl : om. ΠS 23 μὲν EFJKS : μὲν οὖν HI 24 εἰπων E[1] : εἴπομεν J καὶ alt. om. K 25 τινές φασιν ΚΛ 26 οὗτοι I κινεῖται FHI

zorla bu yerden devinir. İmdi madem bu nesnelerden bazıları kendi yerinde, her şey yere göre devinmiyor demektir, bu zorunlu. 254a

Demek ki, her şeyin hep devinmekte olduğunun ya da her şeyin hep durmakta olduğunun olanaksızlığına bunlarla ve bu tür başka temellendirmelerle inanılabilir. Ama kimi nesnelerin hep durmakta olması kimi nesnelerin hep devinmekte olması, yani bazan devinen bazan duran hiçbir nesne olmaması da olası değil. Bunun olanaksızlığını daha önceki 5
temellendirmemizde yaptığımız gibi dile getirmemiz gerekiyor (çünkü sözünü ettiğimiz değişmeler aynı nesnelerde oluyor), ayrıca buna karşı çıkan kişi görünenlere/olgulara karşı çıkıyor demektir. Nitekim daha önce durmakta olan bir nesne doğaya aykırı devinmeyecekse, ne büyüme ne de zorla devinim olacaktır. Öyleyse bu sav oluşu ve yokoluşu ortadan kal- 10
dırıyor. Ama hemen herkes devinmenin bir şeyin oluşması ve yokolması olduğunu düşünüyor. Nitekim değişme neye doğru ya da nede ise, o oluşur, değişme neden ya da nereden ise o, yok olur. Dolayısıyla şu açık: kimi nesneler bazan devinmekte, kimi nesnelerse bazan durmakta. 15

Her şeyin kimi kez durduğu kimi kezse devindiği yollu görüşü artık eski temellendirmelerimizle bağlamak, ama şimdiki belirlemelerimizden hareketle, daha önce başladığımız aynı noktayı yeniden ele almak gerekiyor: yani ya her şey duraduruyor, ya herşey deviniyor ya da varolanların kimi duraduruyor kimi ise deviniyor. Ve kimi nesneler duraduruyor kimi nesneler deviniyorsa zorunlu olan şu: ya her şey ki- 20
mi zaman duruyor kimi zaman deviniyor <ya onların kimi hep duraduruyor kimi ise hep deviniyor> ya da onların kimi hep duraduruyor, kimi hep deviniyor, kimi ise bazan duruyor bazan deviniyor. İmdi her şeyin duradurmakta olmasının olanaklı olmadığını daha önce söylemiştik[78], şimdi de söyleyelim: ama kimilerinin dediği gibi[79], gerçekten böyle, yani varolan sonsuz ve devinimsiz diye kabul edilse bile, 25
duyum açısından böyle görünmez, tersine varolanların çoğunun

τῶν ὄντων. εἴπερ οὖν ἔστιν δόξα ψευδὴς ἢ ὅλως δόξα, καὶ κίνησις ἔστιν, κἂν εἰ φαντασία, κἂν εἰ ὁτὲ μὲν οὕτως δοκεῖ ὁτὲ δ' ἑτέρως· ἡ γὰρ φαντασία καὶ ἡ δόξα κινήσεις τινὲς εἶναι δοκοῦσιν. ἀλλὰ τὸ μὲν περὶ τούτου σκοπεῖν, καὶ ζητεῖν λόγον ὧν βέλτιον ἔχομεν ἢ λόγου δεῖσθαι, κακῶς κρίνειν ἐστὶν τὸ βέλτιον καὶ τὸ χεῖρον, καὶ τὸ πιστὸν καὶ τὸ μὴ πιστόν, καὶ ἀρχὴν καὶ μὴ ἀρχήν. ὁμοίως δὲ ἀδύνατον καὶ τὸ πάντα κινεῖσθαι, ἢ τὰ μὲν ἀεὶ κινεῖσθαι τὰ δ' ἀεὶ ἠρεμεῖν. πρὸς ἅπαντα γὰρ ταῦτα ἱκανὴ μία πίστις· ὁρῶ-
254b μεν γὰρ ἔνια ὁτὲ μὲν κινούμενα ὁτὲ δ' ἠρεμοῦντα. ὥστε φανερὸν ὅτι ἀδύνατον ὁμοίως τὸ πάντα ἠρεμεῖν καὶ τὸ πάντα κινεῖσθαι συνεχῶς τῷ τὰ μὲν ἀεὶ κινεῖσθαι τὰ δ' ἠρεμεῖν ἀεί. λοιπὸν οὖν θεωρῆσαι πότερον πάντα τοιαῦτα οἷα κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ ἔνια μὲν οὕτως, ἔνια δ' ἀεὶ ἠρεμεῖ, ἔνια δ' ἀεὶ κινεῖται· τοῦτο γὰρ δεικτέον ἡμῖν.

Τῶν δὴ κινούντων καὶ κινουμένων τὰ μὲν κατὰ συμβε- 4
βηκὸς κινεῖ καὶ κινεῖται, τὰ δὲ καθ' αὑτά, κατὰ συμβεβηκὸς μὲν οἷον ὅσα τε τῷ ὑπάρχειν τοῖς κινοῦσιν ἢ κινουμένοις καὶ τὰ κατὰ μόριον, τὰ δὲ καθ' αὑτά, ὅσα μὴ τῷ ὑπάρχειν τῷ κινοῦντι ἢ τῷ κινουμένῳ, μηδὲ τῷ μορίου τι αὐτῶν κινεῖν ἢ κινεῖσθαι. τῶν δὲ καθ' αὑτὰ τὰ μὲν ὑφ' ἑαυτοῦ τὰ δ' ὑπ' ἄλλου, καὶ τὰ μὲν φύσει τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν. τό τε γὰρ αὐτὸ ὑφ' αὑτοῦ κινούμενον φύσει κινεῖται, οἷον ἕκαστον τῶν ζῴων (κινεῖται γὰρ τὸ ζῷον αὐτὸ ὑφ' αὑτοῦ, ὅσων δ' ἡ ἀρχὴ ἐν αὐτοῖς τῆς κινήσεως, ταῦτα φύσει φαμὲν κινεῖσθαι· διὸ τὸ μὲν ζῷον ὅλον φύσει αὐτὸ ἑαυτὸ κινεῖ, τὸ μέντοι σῶμα ἐνδέχεται καὶ φύσει καὶ παρὰ φύσιν κινεῖσθαι· διαφέρει γὰρ ὁποίαν τε ἂν κίνησιν κινούμενον τύχῃ καὶ ἐκ ποίου στοιχείου συνεστηκός), καὶ τῶν ὑπ' ἄλλου κινουμένων τὰ μὲν φύσει κινεῖται τὰ δὲ παρὰ

a 27 καὶ] εἰ H 28 κἂν] καὶ HJ¹K εἰ] ἢ E² : ἤ J² εἰ om. F, erasit J 29 εἶναι ὁτὲ FHI 30 εἶναι EFJKS : om. HI τούτων F : τοῦ I 31 ὧν om. E¹ 32 τὸ alt. om. E τὸ tert. E²KAS : om. E¹ 34 ἀεὶ om. H ἠρεμεῖν ἀεὶ HIJ 35 μία ἱκανὴ FHI b 1 ὁτὲ διηρεμοῦντα E¹ 4 θεωρῆσαι EJ¹KS : θεωρητέον FHIJ² 8 αὐτὸ FH 9 οἷον om. K¹ 10 τὰ pr. om. EJ¹K¹ 11 τῷ alt. om. EIJ 12 τὰ om. E¹K μὲν . . . 13 τὰ pr. om. E¹ 16 δ'] τε K 17 διότι τὸ E² 18 αὐτὸ om. I μέντοι] δὲ K 19 διαφέροι H ἂν om. FHIJ¹K 20 καὶ alt. om. E¹ 21 κινεῖσθαι K

devindiği görünür. İmdi bir yanlış sanı varsa, bir kurgulama bile olsa, kimi zaman şöyle kimi zaman böyle görünse bile, bir devinim var demektir, çünkü kurgulama ile sanının kendileri bazı devinimlerdir, böyle düşünüyoruz[80]. Ne ki, bunun üzerine inceleme yapmak ve kendileri üzerine bir temellendirme gerektirenden daha iyi durumda olduğumuz nesnelerin nedenini aramak, 'daha iyi', 'daha kötü', 'güvenilir-güvenilmez', 'ilke-ilke olmayan'ı kötü değerlendirmek demektir. Aynı şekilde her şeyin devinmesi ya da bazı şeylerin hep devinmesi bazı şeylerin hep duradurması da olanaksız. Çünkü bütün bu görüşlere karşı tek kanıt yeter: bazı nesneler görüyoruz, bu nesneler bazan deviniyor bazan duruyor. Dolayısıyla şu açık: bazı şeylerin hep devinmesi bazı nesnelerin de hep duradurması nasıl olanaksızsa, her şeyin duradurması ve her şeyin sürekli devinmesi de tam aynı şekilde olanaksız. Demek ki geri kalan inceleme şu: acaba bütün nesneler devinebilecek ve duraduracak nitelikte mi, yoksa bazıları hep duradurur, bazılarıysa hep devinir mi, işte göstermemiz gereken şey bu.

4 Devindirenler ile devinenler içinde kimi ilineksel anlamda, kimi 'kendinde' devinir. İlineksel anlamda, sözgelişi devindiren ya da devinen nesnelerde bulunan ve parça olarak devinen nesneler; 'kendinde' ise, devinen ya da devindiren nesnede bulunmayan, bir parça olarak da devindirip devindirilmeyen nesneler. Yine 'kendinde' devinenler içinde de kimi kendisi tarafından kimi ise başkası tarafından devindirilir, yine kimi doğa gereği kimi ise zorla, doğaya aykırı. Kendisi tarafından devindirilen nesne doğa gereği devinir, sözgelişi hayvanların herbiri (çünkü hayvan kendi kendisi tarafından devindirilir, devinme ilkesi kendilerinde olan nesnelerin doğal olarak devindiğini ileri sürdüydük. Bunun için bedenin hem doğa gereği hem de doğaya aykırı devinmesi olası olsa bile, hayvan bütün olarak doğa gereği kendi kendini devindirir, nitekim devinen nesnenin ne tür bir devinime uğradığı ve ne tür bir öğeden oluştuğu bir fark yaratır); başka bir nesne tarafından devindirilenlerin ise, kimi doğa gereği kimi doğaya aykırı

3. 254ª 27 — 4. 255ª 14

φύσιν, παρὰ φύσιν μὲν οἷον τὰ γεηρὰ ἄνω καὶ τὸ πῦρ κάτω, ἔτι δὲ τὰ μόρια τῶν ζώων πολλάκις κινεῖται παρὰ φύσιν, παρὰ τὰς θέσεις καὶ τοὺς τρόπους τῆς κινήσεως. καὶ μάλιστα τὸ ὑπό τινος κινεῖσθαι τὸ κινούμενον ἐν τοῖς παρὰ φύσιν κινουμένοις ἐστὶ φανερὸν διὰ τὸ δῆλον εἶναι ὑπ' ἄλλου κινούμενον. μετὰ δὲ τὰ παρὰ φύσιν τῶν κατὰ φύσιν τὰ αὐτὰ ὑφ' αὑτῶν, οἷον τὰ ζῷα· οὐ γὰρ τοῦτ' ἄδηλον, εἰ ὑπό τινος κινεῖται, ἀλλὰ πῶς δεῖ διαλαβεῖν αὐτοῦ τὸ κινοῦν καὶ τὸ κινούμενον· ἔοικεν γὰρ ὥσπερ ἐν τοῖς πλοίοις καὶ τοῖς μὴ φύσει συνισταμένοις, οὕτω καὶ ἐν τοῖς ζώοις εἶναι διῃρημένον τὸ κινοῦν καὶ τὸ κινούμενον, καὶ οὕτω τὸ ἅπαν αὐτὸ αὑτὸ κινεῖν.

μάλιστα δ' ἀπορεῖται τὸ λοιπὸν τῆς εἰρημένης τελευταίας διαιρέσεως· τῶν γὰρ ὑπ' ἄλλου κινουμένων τὰ μὲν παρὰ φύσιν ἐθήκαμεν κινεῖσθαι, τὰ δὲ λείπεται ἀντιθεῖναι ὅτι φύσει. ταῦτα δ' ἐστὶν ἃ τὴν ἀπορίαν παράσχοι ἂν ὑπό τινος κινεῖται, οἷον τὰ κοῦφα καὶ τὰ βαρέα. ταῦτα γὰρ εἰς μὲν τοὺς ἀντικειμένους τόπους βίᾳ κινεῖται, εἰς δὲ τοὺς οἰκείους, τὸ μὲν κοῦφον ἄνω τὸ δὲ βαρὺ κάτω, φύσει· τὸ δ' ὑπό τινος οὐκέτι φανερόν, ὥσπερ ὅταν κινῶνται παρὰ φύσιν. τό τε γὰρ αὐτὰ ὑφ' αὑτῶν φάναι ἀδύνατον· ζωτικόν τε γὰρ τοῦτο καὶ τῶν ἐμψύχων ἴδιον, καὶ ἱστάναι ἂν ἐδύνατο αὐτὰ αὑτά (λέγω δ' οἷον, εἰ τοῦ βαδίζειν αἴτιον αὐτῷ, καὶ τοῦ μὴ βαδίζειν), ὥστ' εἰ ἐπ' αὐτῷ τὸ ἄνω φέρεσθαι τῷ πυρί, δῆλον ὅτι ἐπ' αὐτῷ καὶ τὸ κάτω. ἄλογον δὲ καὶ τὸ μίαν κίνησιν κινεῖσθαι μόνην ὑφ' αὑτῶν, εἴγε αὐτὰ ἑαυτὰ κινοῦσιν. ἔτι πῶς ἐνδέχεται συνεχές τι καὶ συμφυὲς αὐτὸ ἑαυτὸ κινεῖν; ᾗ γὰρ ἓν καὶ συνεχὲς μὴ ἀφῇ, ταύτῃ ἀπαθές· ἀλλ' ᾗ κεχώρισται, ταύτῃ τὸ μὲν πέφυκε ποιεῖν τὸ δὲ πά-

[b] 23 δὲ καὶ τὰ K 27 τῶν κατὰ φύσιν om. E¹ 28 τὰ KAS : om. E 29 κινεῖ E¹ λαβεῖν T 30–32 ἔοικεν . . . κινούμενον om. J 30 γὰρ τάχα ὥσπερ FK² 32 πᾶν S κινεῖν EFJKST : κινεῖ HI 35 ἀντιτιθέναι K : τιθεῖναι E¹ : τιθέναι E² 255ª 2 κινῆται E² τὰ alt. om. H γὰρ ἂν εἰς FK² 3 μὲν EFJKS : om. HI βίᾳ κινεῖται τόπους I εἰ E² 5 κινοῦνται E¹ 7 δύναιτο F αὐτὰ αὑτὰ scripsi : αυτο αυτο E : αὐτὸ ἑαυτὸ K : αὐτὰ F : αὐτὰ HIJ 8 του alt.] τὸ E² 9 εἰ EKS : ἐπεὶ Λ αὐτὸ J 10 ἐπ' αὐτῷ om. S καὶ τὸ pr. KAS : καὶ E¹ : τὸ καὶ E² 11 μόνην EFHJ¹S : μόνον K : ταυτα μόνην J² : om. I αὐτὰ om. S 12 συμφυὲς τι καὶ συνεχὲς I 13–14 ταύτῃ . . . κεχώρισται om. E¹

devindirilir. Doğaya aykırı, sözgelişi yere ait nesnenin yukarı, alevin aşağı doğru devinmesi; ayrıca hayvanların kısımları çoğu kez doğaya aykırı devinir, yani [doğal] konumlarına ve [doğal] devinim tarzlarına aykırı. Yine özellikle doğaya aykırı devinen nesnelerde, devindirilenin bir şey tarafından devindirildiği açık, çünkü başka bir şey tarafından devindirilen nesne olduğu görülür. Doğaya aykırı devinenlerden sonra doğaya göre devinenler içinde, kendileri tarafından devindirilenlerde bu açık, sözgelişi canlılarda, çünkü burada bir şey tarafından devindirilip devindirilmediği belirsiz değil, ama burada devindirenin ve devindirilenin nasıl alınması gerektiği açık değil. Çünkü görülüyor ki, teknelerde ve doğa ile kurulmamış nesnelerde olduğu gibi, canlılarda da devindiren nesne ile devindirilen nesne ayrılmıştır ve hepsi kendisini böyle devindirir.

Ne ki, sorun özellikle sözünü ettiğimiz son ayırımda çıkıyor: başka bir şey tarafından devindirilen nesnelerin bazılarının doğaya aykırı devindirildiğini söyledik, bazılarının ise tersine doğa gereği devinmesi kalıyor geriye. Nitekim bunlar neyin tarafından devindirildikleri sorun olan nesneler, sözgelişi hafif nesneler ile ağır nesneler. Bunlar karşıt yerlere zorla devindiriliyor, kendi yerlerine ise, hafifin yukarı, ağırın aşağı doğru devinmesi doğal olan. Ama neyin tarafından devindirildikleri, doğaya aykırı devindirildikleri zamanki gibi açık değil, kendi kendilerini devindirdiklerini söylemek olanaksız, çünkü bu canlıya özgü ve ruhu olanların özelliği. Zaten öyle olsaydı kendi kendilerine durmaları da olanaklı olurdu (kastettiğim şöyle bir şey: yürümenin nedeni kendisi ise, yürümemenin nedeni de kendisidir). Dolayısıyla alevin yukarı gitmesi kendisine bağlıysa, açık ki aşağı doğru gitmesi de kendisine bağlı olmalıydı. Oysa kendi kendilerini devindiriyorlarsa, yalnızca tek yönlü devinim açısından kendilerini devindirmeleri akla aykırı. Ayrıca sürekli ve doğası örtüşük bir nesnenin kendi kendini devindirmesi nasıl olası olur? Nitekim onun birliği ve sürekliliği temasla olmadığından ötürü, bu nedenle etkilenime uğramaz. Ama ayrıldığından ötürü, bu nedenle bir parçasının etkin bir parçasının

σχειν. οὔτ' ἄρα τούτων οὐθὲν αὐτὸ ἑαυτὸ κινεῖ (συμφυῆ γάρ), οὔτ' ἄλλο συνεχὲς οὐδέν, ἀλλ' ἀνάγκη διῃρῆσθαι τὸ κινοῦν ἐν ἑκάστῳ πρὸς τὸ κινούμενον, οἷον ἐπὶ τῶν ἀψύχων ὁρῶμεν, ὅταν κινῇ τι τῶν ἐμψύχων. ἀλλὰ συμβαίνει καὶ ταῦτα ὑπό τινος ἀεὶ κινεῖσθαι· γένοιτο δ' ἂν φανερὸν διαιροῦσι τὰς αἰτίας. ἔστιν δὲ καὶ ἐπὶ τῶν κινούντων λαβεῖν τὰ εἰρημένα· τὰ μὲν γὰρ παρὰ φύσιν αὐτῶν κινητικά ἐστιν, οἷον ὁ μοχλὸς οὐ φύσει τοῦ βάρους κωητικός, τὰ δὲ φύσει, οἷον τὸ ἐνεργείᾳ θερμὸν κινητικὸν τοῦ δυνάμει θερμοῦ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. καὶ κινητὸν δ' ὡσαύτως φύσει τὸ δυνάμει ποιὸν ἢ ποσὸν ἢ πού, ὅταν ἔχῃ τὴν ἀρχὴν τὴν τοιαύτην ἐν αὑτῷ καὶ μὴ κατὰ συμβεβηκός (εἴη γὰρ ἂν τὸ αὐτὸ καὶ ποιὸν καὶ ποσόν, ἀλλὰ θατέρῳ θάτερον συμβέβηκεν καὶ οὐ καθ' αὑτὸ ὑπάρχει). τὸ δὴ πῦρ καὶ ἡ γῆ κινοῦνται ὑπό τινος βίᾳ μέν ὅταν παρὰ φύσιν, φύσει δ' ὅταν εἰς τὰς αὑτῶν ἐνεργείας δυνάμει ὄντα.

ἐπεὶ δὲ τὸ δυνάμει πλεοναχῶς λέγεται, τοῦτ' αἴτιον τοῦ μὴ φανερὸν εἶναι ὑπὸ τίνος τὰ τοιαῦτα κινεῖται, οἷον τὸ πῦρ ἄνω καὶ ἡ γῆ κάτω. ἔστι δὲ δυνάμει ἄλλως ὁ μανθάνων ἐπιστήμων καὶ ὁ ἔχων ἤδη καὶ μὴ ἐνεργῶν. ἀεὶ δ', ὅταν ἅμα τὸ ποιητικὸν καὶ τὸ παθητικὸν ὦσιν, γίγνεται ἐνεργείᾳ τὸ δυ- 255b νατόν, οἷον τὸ μανθάνον ἐκ δυνάμει ὄντος ἕτερον γίγνεται δυνάμει (ὁ γὰρ ἔχων ἐπιστήμην μὴ θεωρῶν δὲ δυνάμει ἐστὶν ἐπιστήμων πως, ἀλλ' οὐχ ὡς καὶ πρὶν μαθεῖν), ὅταν δ' οὕτως ἔχῃ, ἐάν τι μὴ κωλύῃ, ἐνεργεῖ καὶ θεωρεῖ, ἢ ἔσται ἐν τῇ ἀντιφάσει καὶ ἐν ἀγνοίᾳ. ὁμοίως δὲ ταῦτ' ἔχει καὶ ἐπὶ τῶν φυσικῶν· τὸ γὰρ ψυχρὸν δυνάμει θερμόν, ὅταν δὲ μεταβάλῃ, ἤδη πῦρ, καίει δέ, ἂν μή τι κωλύῃ καὶ ἐμποδίζῃ. ὁμοίως δ' ἔχει καὶ περὶ τὸ βαρὺ καὶ κοῦφον· τὸ γὰρ κοῦ-

a 15 συμφυης E 16 οὔτ'] αὐδὲ S διαιρεῖσθαι H 18 ἐμψύχων αὐτὰ ἀλλὰ E^2KΛ 19 αὐτὰ H ἀεὶ EFHJKS : om. lT ἂν om. F 23 τὸ] τὰ J 27 ἂν om. F καὶ] κατὰ F ποσὸν καὶ ποίον FIJ 29 κινεῖται F 30 τὴν . . . ἐνέργειαν F 31 λέγεται καὶ τοῦτο S 34 ἐνεργῶν E et ut vid. S : θεωρῶν KΛ ἀεὶ ΠS : εἰ Hayduck 35 τὸ om. E^1S γίγνεται F^1I γρ. A : γίγνεται ἐνίοτε EF^2HJKAS b 2 ἐστὶν om. H 4 μή τι KPS τῇ om. S 5 ἐν E^2HS γρ. A : οὐκ ἐν J : οὐχ ἁπλῶς ἐν A : om. E^1FIK ἀγνοίᾳ· ὁμοίως δὴ Hayduck 6 μεταβάλλῃ H 7 καίῃ E^1 κωλύσῃ καὶ ἐμποδίσῃ Λ 8 καὶ τὸ κοῦφον K τὸ γὰρ κοῦφον om. E^1K^1

edilgin olması doğal olur. İmdi bu yanlardan hiçbiri kendi kendini devindirmez (çünkü doğal olarak örtüşük), başka hiçbir nesne de öyle değil, herbirinde devindirenin devindirilenle ilgisini ayırmak zorunlu, sözgelişi canlı nesneler içinde bir şey onları devindirdiğinde, cansız nesnelerde gördüğümüz gibi. Ne ki bunların da hep başka bir şey tarafından devindirilmesi sözkonusu oluyor: bu, nedenleri ayırırsak açıklığa kavuşacak. Dediklerimizi devindirenlerle ilgili olarak da kabul etmek olanaklı, çünkü onların bazıları doğaya aykırı devindirebilen nesnelerdir: sözgelişi bir kaldıracın bir ağırlığı doğal olmayan biçimde devindirmesi. Doğal olarak devindirebilenler ise sözgelişi etkinlik halindeki sıcaklığın olanak halindeki sıcaklığı devindirmesi. Bu tür öteki nesnelerde de bu böyle. Böyle bir ilkeyi ilineksel anlamda değil, 'kendinde' taşıdığı zaman, olanak halinde bir nitelik, nicelik ya da yer olan şey de "doğa gereği devinebilir olan bir nesne"dir (çünkü aynı nesne hem bir nitelik hem de bir nicelik olabilecektir, ama biri ötekine ilinek olur, dolayısıyla 'kendinde' bulunmaz). Demek ki, alev ve toprak hem zorla bir şey tarafından devindirilir, bu doğaya aykırı olduğunda gerçekleşir, hem de olanak halinde iken kendi etkin hallerine doğru olduğunda, doğaya göre devinir.

Ne ki, "olanak halinde" ifadesi çok anlamda kullanılmakta, böyle nesnelerin, sözgelişi alevin yukarı toprağın yere doğru neyin tarafından devindirildiğinin açık olmamasının nedeni de bu işte. Oysa öğrenmekte olan 'bilgili'nin olanak halde olma tarzı ile bilgiye sahip olan ama etkinlik halinde kullanmayanınki farklı. Nitekim etkin olan ile edilgin olan birlikte olduğunda her zaman olanaktan etkinliğe geçiş oluşuyor, sözgelişi öğrenmekte olan kişi, bir olanak halinden başka bir olanak haline geçiyor (bilgiye sahip olan ama kullanmayan kimse, bir biçimde olanak halinde 'bilgili'dir, ama bu olanak halinde, öğrenmeden önceki gibi değildir), bu durumda olunca da bir engel olmazsa, etkinlik halinde olur ve onu kullanır, yoksa o [kendi olanaklılığının] tersi durumda olur, yani bilgisizlikte. Doğal nesnelerde de bu böyle: olanak halinde sıcak olan 'soğuk', değiştiğinde artık alevdir ve bir engel, arada bir şey yoksa yakar. Ağır ve hafif konusunda da bu böyle: 'hafif', 'ağır'dan

4. 255ᵃ 15 — 256ᵃ 3

φον γίγνεται ἐκ βαρέος, οἷον ἐξ ὕδατος ἀήρ (τοῦτο γὰρ δυνάμει πρῶτον), καὶ ἤδη κοῦφον, καὶ ἐνεργήσει γ' εὐθύς, ἂν μή τι κωλύῃ. ἐνέργεια δὲ τοῦ κούφου τὸ ποὺ εἶναι καὶ ἄνω, κωλύεται δ', ὅταν ἐν τῷ ἐναντίῳ τόπῳ ᾖ. καὶ τοῦθ' ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ ποσοῦ καὶ ἐπὶ τοῦ ποιοῦ.

καίτοι τοῦτο ζητεῖται, διὰ τί ποτε κινεῖται εἰς τὸν αὑτῶν τόπον τὰ κοῦφα καὶ τὰ βαρέα. αἴτιον δ' ὅτι πέφυκέν ποι, καὶ τοῦτ' ἔστιν τὸ κούφῳ καὶ βαρεῖ εἶναι, τὸ μὲν τῷ ἄνω τὸ δὲ τῷ κάτω διωρισμένον. δυνάμει δ' ἐστὶν κοῦφον καὶ βαρὺ πολλαχῶς, ὥσπερ εἴρηται· ὅταν τε γὰρ ᾖ ὕδωρ, δυνάμει γέ πως ἐστι κοῦφον, καὶ ὅταν ἀήρ, ἔστιν ὡς ἔτι δυνάμει (ἐνδέχεται γὰρ ἐμποδιζόμενον μὴ ἄνω εἶναι)· ἀλλ' ἐὰν ἀφαιρεθῇ τὸ ἐμποδίζον, ἐνεργεῖ καὶ ἀεὶ ἀνωτέρω γίγνεται. ὁμοίως δὲ καὶ τὸ ποιὸν εἰς τὸ ἐνεργείᾳ εἶναι μεταβάλλει· εὐθὺς γὰρ θεωρεῖ τὸ ἐπιστῆμον, ἐὰν μή τι κωλύῃ· καὶ τὸ ποσὸν ἐκτείνεται, ἐὰν μή τι κωλύῃ. ὁ δὲ τὸ ὑφιστάμενον καὶ κωλῦον κινήσας ἔστιν ὡς κωεῖ ἔστι δ' ὡς οὔ, οἷον ὁ τὸν κίονα ὑποσπάσας ἢ ὁ τὸν λίθον ἀφελὼν ἀπὸ τοῦ ἀσκοῦ ἐν τῷ ὕδατι· κατὰ συμβεβηκὸς γὰρ κινεῖ, ὥσπερ καὶ ἡ ἀνακλασθεῖσα σφαῖρα οὐχ ὑπὸ τοῦ τοίχου ἐκινήθη ἀλλ' ὑπὸ τοῦ βάλλοντος. ὅτι μὲν τοίνυν οὐδὲν τούτων αὐτὸ κινεῖ ἑαυτό, δῆλον· ἀλλὰ κινήσεως ἀρχὴν ἔχει, οὐ τοῦ κινεῖν οὐδὲ τοῦ ποιεῖν, ἀλλὰ τοῦ πάσχειν. εἰ δὴ πάντα τὰ κινούμενα ἢ φύσει κινεῖται ἢ παρὰ φύσιν καὶ βίᾳ, καὶ τά τε βίᾳ καὶ παρὰ φύσιν πάντα ὑπό τινος καὶ ὑπ' ἄλλου, τῶν δὲ φύσει πάλιν τά θ' ὑφ' αὑτῶν κινούμενα ὑπό τινος κινεῖται καὶ τὰ μὴ ὑφ' αὑτῶν, οἷον τὰ κοῦφα καὶ τὰ βαρέα (ἢ γὰρ ὑπὸ τοῦ γεννήσαντος καὶ ποιήσαντος κοῦφον ἢ βαρύ, ἢ ὑπὸ τοῦ τὰ ἐμποδίζοντα καὶ κωλύοντα λύσαντος), ἅπαντα ἂν τὰ κινούμενα ὑπό τινος κινοῖτο.

ᵇ 10 γ' om. F 11 τόπον εἶναι E² 12 δ' om. E¹ ἐν τῷ om. K¹ 13 ἐπὶ τοῦ alt. om. F καίτοι] καὶ S ζητεῖται E²KΛS : ζητεῖ E¹ 14 αὐτὸν EF 15 καὶ τά] τε καὶ H που S 16 καὶ] ἢ H κάτω τὸ δὲ τῷ ἄνω FH 17 διωρισμένων J πλεοναχῶς FH 18 τε om. HK¹ γέ om. H : δέ F 19 ὡς EHS : om. FIJK γὰρ om. E 21 φέρεται FH 25 ὡς EFIJKS : μὲν ὡς HT κινεῖται F¹ 26 ὁ om. FKT ἐν δὲ τῷ E 27 ἢ om. F 29 αὐτὸ om. S ἑαυτὸ κινεῖ F 33 τὰ παρὰ K 34 ὑπ' αὐτῶν E 35 τά τε κοῦφα Λ 256ᵃ 2 ἢ om. E¹ 3 ἂν . . . τινος] ἆρα . . . τινος ἂν Λ

oluşur, sözgelişi hava sudan oluşur (çünkü bu ilk olanak halindeki şey), artık hafiftir ve bir engel olmadıkça etkinlik halini gerçekleştirecektir, 'hafif'in 'bir yerde'ki etkinlik hali ise yukarda olmaktır. Karşıt yerde olduğunda, bu engellenmekte demektir. Nicelik ile nitelik konusunda da bu durum böyle.

Yine de acaba niçin hafif nesneler ve ağır nesneler kendi yerlerine doğru deviniyor, diye soruyoruz. Nedeni şu: 'bir yerde olmak' doğaca onlara verilmiş, zaten hafif ve ağır olmak demek de bu, biri yukarı öteki aşağı ile ayrılmış. Ama dediğimiz gibi, 'olanak halinde hafif', 'olanak halinde ağır' çok anlamda kullanılıyor, çünkü su sözkonusu olduğunda, bir bakımda olanak halinde hafiftir (çünkü yukarda olmasını engelleyen bir şey olabilir), ama engelleyen şey ortadan kaldırılırsa, etkinlik haline geçer ve her zaman daha yukarı gider. Nitelik de etkinlik haline doğru aynı şekilde değişir. Nitekim bir şey engellemezse, 'bilgili', hemen bilgisini kullanır (theorei). Yine bir şey engellemezse, 'nicelik' de yayılır. Altta duran ya da engelleyen şeyi devindiren kişi ise bir anlamda devindirir bir anlamda devindirmez, sözgelişi destek olan direği çeken ya da sudaki bentten bir taş çeken kişi, ilineksel anlamda devindirir. Tıpkı duvara çarpan topun duvar tarafından değil, atan kişi tarafından devindirilmesi gibi. Demek, bunlardan hiçbiri kendi kendini devindirmiyor, bu açık. Bunlar elbette bir devinim ilkesi taşıyor, ama devindirmenin ya da etkinlikte bulunmanın değil de edilginlikte olmanın ilkesini. İmdi bütün devinen nesneler ya doğal olarak ya doğaya aykırı ve zorla deviniyorsa, hem zorla hem de doğaya aykırı devinenlerin hepsi bir şey tarafından devindiriliyorsa, yine doğal olarak devinenlerin içinde de hem kendileri tarafından devindirilenler hem de kendileri tarafından devindirilmeyenler bir şey tarafından devindiriliyorsa - sözgelişi ağır nesneler ile hafif nesneler (çünkü ya onları oluşturan ve 'hafif', 'ağır' kılan şey tarafından devindiriliyorlar 256a
ya da engelleyen, önüne geçen şeyi ortadan kaldıran nesne tarafından), bütün devinen nesneler 'bir şey' tarafından devindirilseler gerek.

Τοῦτο δὲ διχῶς· ἢ γὰρ οὐ δι' αὐτὸ τὸ κινοῦν, ἀλλὰ δι'
ἕτερον ὃ κινεῖ τὸ κινοῦν, ἢ δι' αὐτό, καὶ τοῦτο ἢ πρῶτον
μετὰ τὸ ἔσχατον ἢ διὰ πλειόνων, οἷον ἡ βακτηρία κινεῖ τὸν
λίθον καὶ κινεῖται ὑπὸ τῆς χειρὸς κινουμένης ὑπὸ τοῦ ἀν-
θρώπου, οὗτος δ' οὐκέτι τῷ ὑπ' ἄλλου κινεῖσθαι. ἄμφω δὴ
κινεῖν φαμέν, καὶ τὸ τελευταῖον καὶ τὸ πρῶτον τῶν κινούν-
των, ἀλλὰ μᾶλλον τὸ πρῶτον· ἐκεῖνο γὰρ κινεῖ τὸ τελευ-
ταῖον, ἀλλ' οὐ τοῦτο τὸ πρῶτον, καὶ ἄνευ μὲν τοῦ πρώτου τὸ
τελευταῖον οὐ κινήσει, ἐκεῖνο δ' ἄνευ τούτου, οἷον ἡ βακτηρία
οὐ κινήσει μὴ κινουντος τοῦ ἀνθρώπου. εἰ δὴ ἀνάγκη πᾶν τὸ
κινούμενον ὑπό τινός τε κινεῖσθαι, καὶ ἢ ὑπὸ κινουμένου ὑπ'
ἄλλου ἢ μή, καὶ εἰ μὲν ὑπ' ἄλλου [κινουμένου], ἀνάγκη τι
εἶναι κινοῦν ὃ οὐχ ὑπ' ἄλλου πρῶτον, εἰ δὲ τοιοῦτο τὸ πρῶτον,
οὐκ ἀνάγκη θάτερον (ἀδύνατον γὰρ εἰς ἄπειρον ἰέναι τὸ κινοῦν
καὶ κινούμενον ὑπ' ἄλλου αὐτό· τῶν γὰρ ἀπείρων οὐκ ἔστιν
οὐδὲν πρῶτον)—εἰ οὖν ἅπαν μὲν τὸ κινούμενον ὑπό τινος κινεῖ-
ται, τὸ δὲ πρῶτον κινοῦν κινεῖται μέν, οὐχ ὑπ' ἄλλου δέ,
ἀνάγκη αὐτὸ ὑφ' αὑτοῦ κινεῖσθαι.

ἔτι δὲ καὶ ὧδε τὸν αὐτὸν
τοῦτον λόγον ἔστιν ἐπελθεῖν. πᾶν γὰρ τὸ κινοῦν τί τε κινεῖ καὶ
τινί. ἢ γὰρ αὐτῷ κινεῖ τὸ κινοῦν ἢ ἄλλῳ, οἷον ἄνθρωπος ἢ
αὐτὸς ἢ τῇ βακτηρίᾳ, καὶ ὁ ἄνεμος κατέβαλεν ἢ αὐτὸς ἢ
ὁ λίθος ὃν ἔωσεν. ἀδύνατον δὲ κινεῖν ἄνευ τοῦ αὐτὸ αὐτῷ
κινοῦντος τὸ ᾧ κινεῖ· ἀλλ' εἰ μὲν αὐτὸ αὐτῷ κινεῖ, οὐκ
ἀνάγκη ἄλλο εἶναι ᾧ κινεῖ, ἂν δὲ ᾖ ἕτερον τὸ ᾧ κινεῖ, ἔστιν
τι ὃ κινήσει οὐ τινὶ ἀλλ' αὐτῷ, ἢ εἰς ἄπειρον εἶσιν. εἰ οὖν
κινούμενόν τι κινεῖ, ἀνάγκη στῆναι καὶ μὴ εἰς ἄπειρον ἰέναι·
εἰ γὰρ ἡ βακτηρία κινεῖ τῷ κινεῖσθαι ὑπὸ τῆς χειρός, ἡ

[a] 4 αὐτὸ scripsi : αὐτὸ EFK : ἑαυτὸ HIJ τὸ om. J ἀλλὰ . . . 5 κινοῦν om. F^1 5 αὐτό scripsi : αὐτὸ Π 8 δὲ H 13 κινουντος] κινουμένη ὑπὸ FIJ 14 τε] αὐτὸ F ὑπὸ] ὑπὸ τοῦ E^2F κειμένου I 15 κινουμένου omittendum vel μὲν (ὑπὸ του) scribendum ci. Spengel 16 δὲ] δὲ τὸ J 18 καὶ] καὶ τὸ $E^2\Delta$ ἀπείρων οὐδέν ἐστι πρῶτον K 19 εἰ] εἰ μὲν E τινος] κινοῦντος K 21 δὲ om. J 22 γὰρ om. K 23 ἢ αὐτὸς EHKS : αὐτὸς IJ : αὐτῳ F 25 τοῦ] τουτου E^1 αὐτῷ S, Bekker : αὐτὸ HIJ^2 : αὐτὸ E^2F : om. E^1J^1K 26 κινεῖται F^1 ἀλλ' . . . κινεῖ om. I αὐτὸ om. K αὐτῷ fecit J^2 : αὐτῷ E^1 : αὐτὸ E^2 27 ὃ E^2 ἂν] εἰ K ᾖ om. K ὃ E^2 28 τι καὶ ὃ EK (ἄλλῳ) ἀλλ' Spengel αὐτὸ E^2 ἴησιν K

Bu da iki biçimde oluyor: ya devindirenin kendisi aracılığıyla devindirenin devindirdiği başka bir şey aracılığıyla, ya da kendi aracı- 5
Bu da ya uçtan/sınırdan sonraki ilk gelendir ya da birden çok
dan oluşur. Sözgelişi sopa devindirir, çünkü insan tarafından devindi-
el tarafından devindirilir. İnsanın devindirmesi artık başka bir şey
dan devindirmesi aracılığıyla değildir. Demek ki, devindirenlerin
sonuncusunun hem de ilkinin, herikisinin de devindirdiğini söyle- 10
daha çok ilkinin, çünkü o sonuncuyu devindiriyor, oysa sonun-
devindirmiyor, yine 'ilk' olmadan 'son' devindirmeyecektir, oysa
olmadan öteki devindirir. Sözgelişi insan devindirmezse, sopa de-
mez. Demek devinen her nesnenin bir şey tarafından devindirilme-
zorunluysa, bunun da başka bir şey tarafından ya devindirilmesi ya da
devindirilmemesi zorunludur. Yine devinen nesne başka bir şey tarafın- 15
devindiriliyorsa, başka bir şey tarafından devindirilmeyen bir ilk de-
nin olması zorunludur. İlk devindirici böyle bir şeyse, başka bir
olması zorunlu değil (devindiren ve kendisi de başka bir nesne ta-
dan devindirilen nesnenin sonsuza gitmesi olanaksız, çünkü sonsuz-
içinde bir 'ilk' yoktur). Eğer devinen her şey bir şey tarafından de-
diriliyorsa, ilk devindiren de deviniyor, bu ise başka bir nesneye bağlı
dan gerçekleşiyorsa, onun kendisi tarafından devindiriliyor olması 20
zorunlu.

Bu aynı temellendirme şöyle de geliştirilebilir: her devindiren nes-
hem bir şeyi devindirir hem de bir şey aracılığıyla, çünkü devindi-
ya kendisi aracılığıyla ya da başka bir nesne aracılığıyla devindirir,
sopa/işi bir insan ya kendisi aracılığıyla ya da bir sopa aracılığıyla, rüz-
da ya kendisi aracılığıyla ya da savurduğu taş aracılığıyla sürükler.
Başka bir nesne aracılığıyla devindiren bir nesnenin, kendisi kendi ara- 25
cılığıyla devindiren bir devindirici olmaksızın devindirmesi olanaksız.
Ama kendisi kendi aracılığıyla devindiriyorsa, onun aracılığıyla devin-
diriliği başka bir nesnenin varlığı zorunlu değil. Onun aracılığıyla de-
diriliği başka bir nesne varsa, bir nesne aracılığıyla değil, kendisi
cılığıyla devindirecek olan bir şey de vardır, yoksa sonsuza gidilecek-
Şimdi devinen bir nesne bir nesneyi devindirirse durmak ve sonsuza 30
mek zorunlu. Nitekim sopa el tarafından devindirildiği için devin-

5. 256ª 4 — b 22

χειρ κινεῖ τὴν βακτηρίαν· εἰ δὲ καὶ ταύτῃ ἄλλο κινεῖ, καὶ ταύτην ἑτερόν τι τὸ κινοῦν. ὅταν δή τινι κινῇ ἀεὶ ἕτερον, ἀνάγκη εἶναι πρότερον τὸ αὐτὸ αὐτῷ κινοῦν. εἰ οὖν κινεῖται μὲν τοῦτο, μὴ ἄλλο δὲ τὸ κινοῦν αὐτό, ἀνάγκη αὐτὸ αὐτὸ κινεῖν· ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον ἤτοι εὐθὺς τὸ κινούμενον ὑπὸ τοῦ αὐτὸ κινοῦντος κινεῖται, ἢ ἔρχεταί ποτε εἰς τὸ τοιοῦτον.

πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὧδε σκοποῦσι ταῦτὰ συμβήσεται ταῦτα. εἰ γὰρ ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον πᾶν, ἤτοι τοῦτο ὑπάρχει τοῖς πράγμασιν κατὰ συμβεβηκός, ὥστε κινεῖν μὲν κινούμενον, οὐ μέντοι διὰ τὸ κινεῖσθαι αὐτό, ἢ οὗ, ἀλλὰ καθ' αὑτό. πρῶτον μὲν οὖν εἰ κατὰ συμβεβηκός, οὐκ ἀνάγκη κινεῖσθαι τὸ κινοῦν. εἰ δὲ τοῦτο, δῆλον ὡς ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι τῶν ὄντων· οὐ γὰρ ἀναγκαῖον τὸ συμβεβηκός, ἀλλ' ἐνδεχόμενον μὴ εἶναι. ἐὰν οὖν θῶμεν τὸ δυνατὸν εἶναι, οὐδὲν ἀδύνατον συμβήσεται, ψεῦδος δ' ἴσως. ἀλλὰ τὸ κίνησιν μὴ εἶναι ἀδύνατον· δέδεικται γὰρ πρότερον ὅτι ἀνάγκη κίνησιν ἀεὶ εἶναι. καὶ εὐλόγως δὲ τοῦτο συμβέβηκεν. τρία γὰρ ἀνάγκη εἶναι, τό τε κινούμενον καὶ τὸ κινοῦν καὶ τὸ ᾧ κινεῖ. τὸ μὲν οὖν κινούμενον ἀνάγκη κινεῖσθαι, κινεῖν δ' οὐκ ἀνάγκη· τὸ δ' ᾧ κινεῖ, καὶ κινεῖν καὶ κινεῖσθαι (συμμεταβάλλει γὰρ τοῦτο ἅμα καὶ κατὰ τὸ αὐτὸ τῷ κινουμένῳ ὄν· δῆλον δ' ἐπὶ τῶν κατὰ τόπον κινούντων· ἅπτεσθαι γὰρ ἀλλήλων ἀνάγκη μέχρι τινός)· τὸ δὲ κινοῦν οὕτως ὥστ' εἶναι μὴ ᾧ κινεῖ, ἀκίνητον. ἐπεὶ δ' ὁρῶμεν τὸ ἔσχατον, ὃ κινεῖσθαι μὲν δύναται, κινήσεως δ' ἀρχὴν οὐκ ἔχει, καὶ ὃ κινεῖται μέν, οὐχ ὑπ' ἄλλου δὲ

ª 31 κινεῖται F τῇ βακτηρία E ταύτῃ Pacius : ταύτην Π ἄλλο τι κινεῖ E 32 τι om. K δή τι EH 33 αὐτῷ I : αὐτῷ F : ἑαυτὸ J : τὸ E² αὐτὸ FHI : αὐτὸ E 34 αὐτὸ] αὐτῷ FK² αὐτὸ αὐτῷ K ᵇ 1 καὶ om. I τὸ κινούμενον ἤτοι εὐθὺς Λ 2 κινήσεται Λ τι F 3–27 πρὸς . . . ὧν hic ΠS : ante 258ª 4 ἡ γρ. AT 3 ταὐτὰ συμβήσεται] συμβήσεται ταὐτὰ Λ : ταυτὰ πάντα ἄτοπα συμβήσεται K² 4 ταῦτα] πάντα F 5 τοῖς πράγμασιν ὑπάρχει Λ κατὰ] ἢ κατὰ E² 6 κινεῖ FK οὐ] μὴ FI 7 αὐτὸ EF²JKP : αὐτὸ ἀεὶ F¹HI 8 κινοῦν FS : κινούμενον EHIJK 10 μὴ] μὲν μὴ I 11 εἶναι] μὴ εἶναι E¹F συμβαίνει J¹ 13 γὰρ EKS : γὰρ τοῦτο FIJ : γὰρ ἤδη τοῦτο H 14 δὲ EJS : δὴ K : om. FHI εἶναι ἀνάγκη H 16 ἀναγκὴ μὲν κινεισθαι Λ 17 τοῦτο KAPS : τούτου τὸ E 19 ἀνάγκη ἀλλήλων οὕτω μέχρι Λ τινός] γέ τινος F 20 οὕτως ἀεὶ ὥστ' FK² ὃ E² 22–3 κινειται . . . αλλ'] κινεῖ μέν, ὑπ' ἄλλου δὲ κινεῖται ἀλλ' οὐχ Prantl, fort. S 22 οὐχ ante 23 ὑφ' Λ

dinliyorsa, el sopayı devindirmektedir. Başka bir nesne de onun aracılığıyla devindiriyorsa, onu devindiren de başka bir nesne olacaktır. Demek ki, başka bir nesne aracılığıyla devindiren nesne hep başka bir nesneyse daha önce kendisi aracılığıyla devindiren bir nesnenin varolması zorunlu. İmdi bu da deviniyorsa, ama devindiren başka bir nesne değil de kendisiyse, onun kendi kendini devindirmesi zorunlu. Dolayısıyla bu te- 256b
mellendirmeye göre, ya devinen nesne doğrudan kendi kendini devindiren nesne tarafından devindirilir ya da böyle bir devindiriciye, [kendi kendini devindiren bir devindiriciye değin] gidilir.

Söylediklerimize ek olarak şöyle bakıldıkta da bu aynı sonuçlar çıkacaktır: her devinen nesne bir devinen nesne tarafından devindiriliyorsa, bu sonuncusu ya nesnelerde ilineksel olarak bulunur, dolayısıyla devindirildiği için devinir ama 'kendisi'nin devindirilmesi aracılığıyla olmaz bu, ya da ilineksel anlamda değil, 'kendinde' bulunur. İmdi ilkin ilineksel anlamda ise, devindirenin devinmesi zorunlu değildir. Bu doğru ise bir zaman varolanlardan hiçbirinin devinmemesi olası olur, bu açık. Çünkü ilineksel olan, zorunlu değil, olmaması olası olandır. Eğer bunun olanaklı olduğunu kabul edersek olanaksız olmayan bir şey sözkonusu olacaktır, ama belki bu yanlış da, bir devinim olmaması olanaksız. Nitekim daha önce devinimin her zaman varolmasının zorunlu olduğunu göstermiştik. Bu sonuç da akla son derece uygun, nitekim üç şey zorunlu: 'devinen', 'devindiren', 'devinme aracı'. İmdi devinenin devinmesi zorunlu, devindirmesi zorunlu değil. Devindirme aracının ise hem devindirmesi hem de devindirilmesi zorunlu (o devindirilenle birlikte değişir, çünkü devindirene göre devindirilenle aynı ilişki içindedir, yere göre devindiren nesnelerde bu açık: çünkü burada devindirenle devinenin bir yere kadar birbirlerine bitişik olması zorunlu). Onunla devindirdiği bir araç olmayacak şekilde devindiren nesne ise devinimsizdir. Madem biz devinmesi olanaklı olan ama devinim ilkesi taşımayan sonuncu nesneyi ve başka bir nesne tarafından değil, kendisi tarafından devindirilen nesneyi görüyoruz, devinmez olduğu halde devindiren

ἀλλ' ὑφ' αὑτοῦ, εὔλογον, ἵνα μὴ ἀναγκαῖον εἴπωμεν, καὶ τὸ τρίτον εἶναι ὃ κινεῖ ἀκίνητον ὄν. διὸ καὶ Ἀναξαγόρας ὀρθῶς λέγει, τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι, ἐπειδή γε κινήσεως ἀρχὴν αὐτὸν εἶναι ποιεῖ· οὕτω γὰρ μόνως ἂν κινοίη ἀκίνητος ὢν καὶ κρατοίη ἀμιγὴς ὤν.

ἀλλὰ μὴν εἰ μὴ κατὰ συμβεβηκὸς ἀλλ' ἐξ ἀνάγκης κινεῖται τὸ κινοῦν, εἰ δὲ μὴ κινοῖτο, οὐκ ἂν κινοίη, ἀνάγκη τὸ κινοῦν, ἢ κινεῖται, ἤτοι οὕτω κινεῖσθαι ὡς γε κατὰ τὸ αὐτὸ εἶδος τῆς κινήσεως, ἢ καθ' ἕτερον. λέγω δ' ἤτοι τὸ θερμαῖνον καὶ αὐτὸ θερμαίνεσθαι καὶ τὸ ὑγιάζον ὑγιάζεσθαι καὶ τὸ φέρον φέρεσθαι, ἢ τὸ ὑγιάζον φέρεσθαι, τὸ δὲ φέρον αὐξάνεσθαι. ἀλλὰ φανερὸν ὅτι ἀδύνατον· δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν, οἷον εἴ τι διδάσκει γεωμετρεῖν, τοῦτο διδάσκεσθαι γεωμετρεῖν τὸ αὐτό, ἢ εἰ ῥιπτεῖ, ῥιπτεῖσθαι τὸν αὐτὸν τρόπον τῆς ῥίψεως· ἢ οὕτως μὲν μή, ἄλλο δ' ἐξ ἄλλου γένους, οἷον τὸ φέρον μὲν αὔξανεσθαι, τὸ δὲ τοῦτο αὔξον ἀλλοιοῦσθαι ὑπ' ἄλλου, τὸ δὲ τοῦτο ἀλλοιοῦν ἑτέραν τινὰ κινεῖσθαι κίνησιν. ἀλλ' ἀνάγκη στῆναι· πεπερασμέναι γὰρ αἱ κινήσεις. τὸ δὲ πάλιν ἀνακάμπτειν καὶ τὸ ἀλλοιοῦν φάναι φέρεσθαι τὸ αὐτὸ ποιεῖν ἐστὶ κἂν εἰ εὐθὺς ἔφη τὸ φέρον φέρεσθαι καὶ διδάσκεσθαι τὸ διδάσκον (δῆλον γὰρ ὅτι κινεῖται καὶ ὑπὸ τοῦ ἀνωτέρω κινοῦντος τὸ κινούμενον πᾶν, καὶ μᾶλλον ὑπὸ τοῦ προτέρου τῶν κινούντων). ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον· τὸ διδάσκον γὰρ συμβαίνει μανθάνειν, ὧν τὸ μὲν μὴ ἔχειν τὸ δὲ ἔχειν ἐπιστήμην ἀναγκαῖον.

ἔτι δὲ μᾶλλον τούτων ἄλογον, ὅτι συμβαίνει πᾶν τὸ κινητικὸν κινητόν, εἴπερ ἅπαν ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον· ἔσται γὰρ κινητόν, ὥσπερ εἴ τις λέγοι πᾶν τὸ ὑγιαστικὸν [καὶ ὑγιάζον] ὑγιαστὸν

b 26 γε EP : περ ΚΛ ποιεῖ εἶναι Λ ἂν μόνως FHIJ²P : μόνως J¹ 27 κινοῖ FI κρατοίη ἂν ἀμιγὴς S 29 ἢ] εἰ EK 30 ὡς γε scripsi : ὥστε ΚΛ : ὥστε τὸ E : ὡς τὸ Gaye 31 δ'] δ' ὅτι ΚΛ 34 αὐξάνεσθαι EKS : αὔξεσθαι Λ 257ª 1 διδάσκειν E¹ 2 ἢ om. E² 3 ἢ] εἰ δὲ E²S 4 φέρον μὲν] φερόμενον E¹ αὔξεσθαι Λ 6 κίνησιν κινεῖσθαι H 7 γάρ εἰσιν αἱ Λ 9 τὸ διδάσκον διδάσκεσθαι Λ 12 τὸ E²ΚΛP : om. E¹ 13 συμβαίνοι E 16 ὡς ἐάν τις E 17 λέγει FHJ πᾶν] ὅτι Λ καὶ ὑγιάζον secl. Gaye, om. S : καὶ ὑγιάζον καὶ FHI

bir üçüncü nesne olması zorunlu -hadi zorunlu demeyelim de, akla uygun diyelim-. Bunun için Anaksagoras da US'un etkilenmez ve katışıksız olduğunu söylerken doğru konuşuyor, çünkü US'un devinim ilkesi olmasını sağlayan bu. Nitekim o ancak bu biçimde, devinimsiz ise devindirebilir ve katışıksız ise yönetebilir.

Ne ki [ikincileyin], eğer devindiren ilineksel anlamda değil, zorunlu olarak devindiriyorsa, devinmediği takdirde devindiremiyorsa, devindirenin devindiği sürece ya [kaynaklandığı] aynı devinim türüne göre ya da ondan başka bir devinim türüne göre devinmesi zorunlu. Kastettiğim şu: ya ısıtan kendisi ısınır, iyileştiren iyileşir, yer değiştirten yer değiştirir ya da iyileştiren yer değiştirir, yer değiştirten ise büyür. Ama bunun olanaksız olduğu açık, çünkü bu durumda bölünmez olanlara, [türlere] değin 257a gitmek ve şöyle demek gerekir: "geometriyi öğreten geometri öğrenir" ya da "[bir şey] atan kimse aynı tarzda atılır". Ya da bu böyle değilse, başka bir devinim türünden başka bir devinim türü çıkar, sözgelişi yer değiştirten büyür, bunu büyüten başka bir şey tarafından nitelik değiştirtilir, bunun niteliğini değiştirten başka bir devinim açısından devinir. Oysa durmak zorunlu, çünkü devinimler sınırlandırılmıştır. Ama yeniden dönmek ve nitelik değiştirten nesnenin yer değiştirdiğini söylemek, yer değiştirtenin yer değiştirdiğini, öğretenin öğrendiğini ileri sürmekle aynı şey (çünkü şu açık: her devinen nesne hem hemen üstündeki devindiren tarafından devindirilir hem de daha da önce gelen devindirilenler tarafından devindirilir). Oysa bu olanaksız, çünkü öğretenin öğreniyor olması sonucu çıkar ki, bunlardan birinin 'bilgiyi taşıması' ötekinin 'bilgi taşımaması' zorunlu.

Bunlardan çok daha akla aykırı olanı da, eğer her devinen nesne, bir devindirilen nesne tarafından devindiriliyorsa, her devindirebilen nesnenin devindirilebilen bir nesne olması sonucunun çıkması. Çünkü 'devindirilebilen nesne', ya doğrudan ya da birden çok aracılarla, her iyileştirebilen <ve iyileştiren> nesnenin

5. 256b 23 — 257b 8

εἶναι, καὶ τὸ οἰκοδομητικὸν οἰκοδομητόν, ἢ εὐθὺς ἢ διὰ πλειόνων· λέγω δ' οἷον εἰ κινητὸν μὲν ὑπ' ἄλλου πᾶν τὸ κινητικόν, ἀλλ' οὐ ταύτην τὴν κίνησιν κινητὸν ἣν κινεῖ τὸ πλησίον, ἀλλ' ἑτέραν, οἷον τὸ ὑγιαστικὸν μαθητικόν, ἀλλὰ τοῦτο ἐπαναβαῖνον ἥξει ποτὲ εἰς τὸ αὐτὸ εἶδος, ὥσπερ εἰπομεν πρότερον. τὸ μὲν οὖν τούτων ἀδύνατον, τὸ δὲ πλασματῶδες· ἄτοπον γὰρ τὸ ἐξ ἀνάγκης τὸ ἀλλοιωτικὸν αὐξητὸν εἶναι. οὐκ ἄρα ἀνάγκη ἀεὶ κινεῖσθαι τὸ κινούμενον ὑπ' ἄλλου, καὶ τούτου κινουμένου· στήσεται ἄρα. ὥστε ἤτοι ὑπὸ ἠρεμοῦντος κινήσεται τὸ κινούμενον πρῶτον, ἢ αὐτὸ ἑαυτὸ κινήσει.

ἀλλὰ μὴν καὶ εἴ γε δέοι σκοπεῖν πότερον αἴτιον κινήσεως καὶ ἀρχὴ τὸ αὐτὸ αὐτὸ κινοῦν ἢ τὸ ὑπ' ἄλλου κινούμενον, ἐκεῖνο πᾶς ἂν θείη· τὸ γὰρ αὐτὸ καθ' αὑτὸ ὂν ἀεὶ πρότερον αἴτιον τοῦ καθ' ἕτερον καὶ αὐτοῦ ὄντος. ὥστε τοῦτο σκεπτέον λαβοῦσιν ἄλλην ἀρχήν, εἴ τι κινεῖ αὐτὸ αὑτό, πῶς κινεῖ καὶ τίνα τρόπον.

ἀναγκαῖον δὴ τὸ κινούμενον ἅπαν εἶναι διαιρετὸν εἰς ἀεὶ διαιρετά· τοῦτο γὰρ δέδεικται πρότερον ἐν τοῖς καθόλου τοῖς περὶ φύσεως, ὅτι πᾶν τὸ καθ' αὑτὸ κινούμενον συνεχές. ἀδύνατον δὴ τὸ αὐτὸ αὐτὸ κινοῦν πάντῃ κινεῖν αὐτὸ αὑτό· φέροιτο γὰρ ἂν ὅλον καὶ φέροι τὴν αὐτὴν φοράν, ἐν ὃν καὶ ἄτομον τῷ εἴδει, καὶ ἀλλοιοῖτο καὶ ἀλλοιοῖ, ὥστε διδάσκοι ἂν καὶ μανθάνοι ἅμα, καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγίειαν. ἔτι διώρισται ὅτι κινεῖται τὸ κινητόν· τοῦτο δ' ἐστὶν δυνάμει κινούμενον, οὐκ ἐντελεχείᾳ, τὸ δὲ δυνάμει εἰς ἐντελέχειαν βαδίζει, ἔστιν δ' ἡ κίνησις ἐντελέχεια κινητοῦ ἀτε-

---

[a] 18 εἶναι EKS : ἔσται Λ καὶ E²KΛS : om. E¹ τὸ οἰκοδομικὸν E²S : τὸ E¹K 20 κινητόν E 21 μαθητόν HJ : μαθηματικόν K 24 γὰρ τὸ ἀλλοιωτικὸν ἐξ ἀνάγκης αὐξητὸν Λ 25 ἀεὶ fecit J² : εἶναι ἀεὶ H τὸ κινοῦν K¹ ὑπ᾽] κινεισθαι ὑπ᾽ J¹ 27 κινηθήσεται E² ἢ] ἡ τὸ F αὐτὸ ΠSᵖ : αὐτὸ ἢ S¹ 28 καὶ om. S εἰ] ἤ E¹ 29 τὸ αυ- del. E : αὐτὸ om. S κινούμενον EKS : om. Λ 30 ὂν om. JT αἴτιον ἀεὶ πρότερον Λ : προτερον ἀεὶ καὶ αἴτιον T 31 αὐτοῦ αἰτίου ὄντος I 33 τὸ KΛS : om. E 34 ἀεὶ om. E [b] 1 τοῖς om. Λ κινούμενον καθ' αὑτὸ KS 2 πάντι E αὐτὸ om. S 3 φέροιτο KΛSᶜ : φέροι ESᵖT ἂν om. H φέροι KΛSᶜ : φέροιτο ESᵖT φθορὰν E¹ 4 καὶ KΛSᶜ : ἢ ESᵖT ἀλλοιοῖτο καὶ ΛS : ἀλλοιοῦτο καὶ K : om. E 5 μανθάνοι EKST : διδάσκοιτο Λ καὶ ὑγιάζοι KΛS : om. E 7 δυνάμει alt.] κινούμενον EKP

iyileşebilir, her ev yapabilenin ev yapılabilir olmasının ileri sürülmesi gibi, devindirilebilir olacaktır. Dediğim şu: sözgelişi devindirebilen her nesne başka bir nesne tarafından devindirilebilen şey olsa, yine yakınındakini devindirdiği aynı devinim açısından değil, başka bir devinim açısından devindirilebilir olacaktır, yani iyileştirebilen şey öğrenebilir de olacaktır, oysa daha önce dediğimiz gibi, böyle gidersek bir zaman aynı yere ulaşılacaktır. İmdi bunlardan biri olanaksız, öteki kurgulama, çünkü değiştirtebilen nesnenin zorunlu olarak büyüyebilir olması saçma. Demek ki, devindirilen nesnenin her zaman kendisi de devindirilen başka bir nesne tarafından devindirilmesi zorunlu değil. Öyleyse durulacaktır. Dolayısıyla *ilk devinen nesne* ya duraduran bir nesne tarafından devindirilecek ya da kendi kendini devindirecektir.

Ama bu durumda devinimin nedeni ve ilkesi acaba o kendini devindiren nesne mi, yoksa başka bir nesne tarafından devindirilen nesne mi diye bakmak gerekse, herkes ilkini kabul edecektir, çünkü kendi başına neden olan şey, kendisi de bir neden olmasına karşın başka bir nesneye bağlı bir neden olan şeyden her zaman daha önce gelir. Dolayısıyla başka bir başlangıçla şunu incelemeli: kendi kendini devindiren bir nesne varsa, kendini nasıl ve hangi tarzda devindirmektedir?

İmdi her devinen nesnenin hep yeniden bölünebilir olan nesnelere bölünebilir olması zorunlu. Çünkü 'Doğa Üzerine' daha önceki genel konuşmalarımızda şunu gösterdik:[81] 'kendinde' devinen her nesne süreklidir. O halde kendi kendini devindiren nesnenin her yerinde/bütünüyle kendi kendini devindirmesi olanaksız, çünkü bu durumda tür bakımından tek ve bölünmez olmasına karşın, aynı yer değiştirme açısından hem yer değiştirtecek hem de yer değiştirtilecektir, hem nitelik değiştirtecek hem de nitelik değiştirecektir, dolayısıyla, öğretecek ve aynı zamanda öğrenecek, aynı iyileşme açısından iyileştirecek ve iyileştirilecektir. Ayrıca, devinebilir olanın devindiğini belirlediydik[82]. Ama bu gerçeklik halinde değil olanak halinde devinen demektir, olanak halinde olan gerçekliğe doğru gider ve devinim "devinebilir olanın

λής. τὸ δὲ κινοῦν ἤδη ἐνεργείᾳ ἔστιν, οἷον θερμαίνει τὸ θερμὸν καὶ ὅλως γεννᾷ τὸ ἔχον τὸ εἶδος. ὥσθ' ἅμα τὸ αὐτὸ κατὰ τὸ αὐτὸ θερμὸν ἔσται καὶ οὐ θερμόν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον, ὅσων τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον. τὸ μὲν ἄρα κινεῖ τὸ δὲ κινεῖται τοῦ αὐτὸ αὐτὸ κινοῦντος.

ὅτι δ' οὐκ ἔστιν αὐτὸ αὐτὸ κινοῦν οὕτως ὥσθ' ἑκάτερον ὑφ' ἑκατέρου κινεῖσθαι, ἐκ τῶνδε φανερόν. οὔτε γὰρ ἔσται πρῶτον κινοῦν οὐδέν, εἴ γε αὐτὸ ἑαυτὸ κινήσει ἑκάτερον (τὸ γὰρ πρότερον αἰτιώτερον τοῦ κινεῖσθαι τοῦ ἐχομένου καὶ κινήσει μᾶλλον· διχῶς γὰρ κινεῖν ἦν, τὸ μὲν τὸ ὑπ' ἄλλου κινούμενον αὐτό, τὸ δ' αὐτῷ· ἐγγύτερον δὲ τὸ πορρώτερον τοῦ κινουμένου τῆς ἀρχῆς ἢ τὸ μεταξύ)· ἔτι οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι εἰ μὴ ὑφ' αὑτοῦ· κατὰ συμβεβηκὸς ἄρα ἀντικινεῖ θάτερον. ἔλαβον τοίνυν ἐνδέχεσθαι μὴ κινεῖν· ἔστιν ἄρα τὸ μὲν κινούμενον τὸ δὲ κινοῦν ἀκίνητον. ἔτι οὐκ ἀνάγκη τὸ κινοῦν ἀντικινεῖσθαι, ἀλλ' ἢ ἀκινήτου γέ τι κινεῖν ἀνάγκη ἢ αὐτὸ ὑφ' αὑτοῦ κινούμενον, εἴπερ ἀνάγκη ἀεὶ κίνησιν εἶναι. ἔτι ἦν κινεῖ κίνησιν, κινοῖτ' ἄν, ὥστε τὸ θερμαῖνον θερμαίνεται.

ἀλλὰ μὴν οὐδὲ τοῦ πρώτως αὐτὸ αὐτὸ κινοῦντος οὔτε ἓν μόριον οὔτε πλείω κινήσει αὐτὸ αὐτὸ ἕκαστον. τὸ γὰρ ὅλον εἰ κινεῖται αὐτὸ ὑφ' αὑτοῦ, ἤτοι ὑπὸ τῶν αὐτοῦ τινὸς κινήσεται ἢ ὅλον ὑφ' ὅλου. εἰ μὲν οὖν τῷ κινεῖσθαί τι μόριον αὐτὸ ὑφ' αὑτοῦ, τοῦτ' ἂν εἴη τὸ πρῶτον αὐτὸ αὐτὸ κινοῦν (χωρισθὲν γὰρ τοῦτο μὲν κινήσει αὐτὸ αὑτό, τὸ δὲ ὅλον οὐκέτι)· εἰ δὲ ὅλον ὑφ' ὅλου κινεῖται, κατὰ συμβεβηκὸς ἂν ταὐτὰ κινοῖ αὐτὰ ἑαυτά. ὥστε εἰ μὴ ἀναγκαῖον, εἰλήφθω μὴ κινούμενα

[b] 10 γεννᾷ ΚΛS : γίνεται E τὸ alt. om. HI κατὰ τὸ αὐτὸ ΚΛS : om. E 12 ὅσον K¹ : ὅσα K² 13 αὐτὸ E²ΚΛS : om. E¹ 14 οὐκ om. E¹ ἔστιν EKS : ἐνδέχεται Λ αὐτο]τὸ αὐτὸ E²FS κινοῦν EKS : κινεῖν Λ ὥσθ'] ὡς καθ' E 15 οὐδενί γε E 16 αὐτὸ ἑαυτὸ KS : αὐτὸ αὐτὸ E : ἑκάτερον Λ ἑκατερον κινήσει HJ : κινεῖ ἑκάτερον F : κινήσει I αἰτιώτερον E²ΚΛS : om. E¹ 18 τὸ alt. om. FK : τῶν E¹ : τῶι E² 20 κινούμενον κινεῖν γρ. A 22 ἔλαβον τοίνυν EFHIJ²S : ἔλαβε τοίνυν J¹ : τοίνυν ἔλαβον K¹ : δεῖ λαβεῖν K² ἔσται FIK : ἔτι J et fecit E 23 ἔτι ΠS : ἐπεὶ Prantl 24 ἢ om. E¹ : εἰ E² τι om. FK ὑπ' αὐτοῦ FJ 25–6 κινεῖται . . . κιναίη E²A 26 κινοιτ' EKS : καὶ κινοιτ' Λ 32 γὰρ τοῦτο μὲν ΚΛS : μὲν γὰρ τοῦτο E 33 ἂν om. H κινοῖ ταῦτα FIJ : κινεῖ ταῦτα H 34 ἀναγκαῖα HI

tamamlanmış/gerçeklik halidir"[83]. Oysa devindiren nesne zaten gerçeklik halindedir: sözgelişi [zaten] sıcak olan nesne ısıtır, kısaca biçimini tayan nesne oluşturur, meydana getirir. Dolayısıyla aynı nesneye göre aynı anda aynı nesne hem sıcak olacak hem de sıcak olmayacaktır. Devindirmenin eşadı taşımasının zorunlu olduğu öteki nesnelerin herbirinde de bu böyle olacaktır! Demek ki, kendi kendini devindiren nesnenin bir yanı devindirir bir yanı devinir.

Kendi kendini devindiren nesnenin heriki parçasının heriki parçası tarafından devindirilecek şekilde olmasının olanaksız olduğu şurdan açık: heriki parça da gerçekten kendi kendini devindirecek olsa, hiçbiri ilk devindiren olmayacaktır (nitekim ilk gelen, ardından gelenden çok daha devinim nedenidir ve daha çok devindirecektir, nitekim devindirmek iki biçimde olanaklı idi: biri, nesnenin kendisi başka bir şey tarafından devindirildiği için [devindiriyordu], öteki ise, nesne kendisi aracılığıyla devindiriyordu. Devindirilenden daha uzak olan nesne başlangıç ilkeye aradaki bir nesneden daha yakındır). Öte yandan, devindirenin kendisi tarafından devindirilmedikçe devinmesi zorunlu değil. Dolayısıyla öteki parça illineksel anlamda karşı devinimi gerçekleştirir -devindirmeme olasılığını ben böyle aldıydım[84]. Demek ki, bir devinen var, bir de devindirilemeyen devindiren. Öte yandan devindirenin kendi payına devinmesi/devindirilmesi zorunlu değil, ama madem devinimin hep varolması zorunlu, ya devinmeyen bir nesnenin devindirmesi ya da devindirenin kendisinin kendisi tarafından devindirilmesi kaçınılmaz. Ayrıca (herhangi bir parça da öteki iki parçayı devindirecek olsa), devindiren nesne devindirdiği devinime göre devindirilecektir, dolayısıyla ısıtan nesne ısınacaktır[85].

Ne ki, doğrudan kendi kendini devindiren bir nesnenin, kendi kendini devindirecek ne tek parçası olur ne de birden çok parçası, çünkü bütünün kendisi kendisi tarafından devindiriliyorsa ya kendi parçalarından biri tarafından devindirilecektir ya da bütünü, bütünü tarafından. Madi bir parçası kendisi tarafından devindirildiğinden ötürü deviniyorsa, kendi kendinii devindiren' ilk devindiren bu parça olacaktır (çünkü bu ayrı başına ayrıldıkta kendi *kendini devindirecektir* ama bütün [kendi kendini devindirmeyecektir]). Ama eğer bütün, bütün tarafından devindiriliyorsa, parçalar kendilerini ilineksel anlamda devindireceklerdir.

5. 257^{b} 9 — 258^{a} 26

ὑφ' αὑτῶν. τῆς ὅλης ἄρα τὸ μὲν κινήσει ἀκίνητον ὂν τὸ δὲ 258^{a}
κινηθήσεται· μόνως γὰρ οὕτως οἷόν τέ τι αὐτοκίνητον εἶναι.
ἔτι εἴπερ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, τὸ μὲν κινήσει αὐτῆς, τὸ
δὲ κινήσεται. ἡ ἄρα ΑΒ ὑφ' αὑτῆς τε κινηθήσεται καὶ ὑπὸ
τῆς Α. 5

ἐπεὶ δὲ κινεῖ τὸ μὲν κινούμενον ὑπ' ἄλλου τὸ δ' ἀκίνη- 5
τον ὄν, καὶ κινεῖται τὸ μὲν κινοῦν τὸ δὲ οὐδὲν κινοῦν, τὸ αὐτὸ
αὑτὸ κινοῦν ἀνάγκη ἐξ ἀκινήτου εἶναι κινοῦντος δέ, καὶ ἔτι ἐκ
κινουμένου μὴ κινοῦντος δ' ἐξ ἀνάγκης, ἀλλ' ὁπότερ' ἔτυχεν.
ἔστω γὰρ τὸ Α κινοῦν μὲν ἀκίνητον δέ, τὸ δὲ Β κινούμενόν τε
ὑπὸ τοῦ Α καὶ κινοῦν τὸ ἐφ' ᾧ Γ, τοῦτο δὲ κινούμενον μὲν ὑπὸ 10
τοῦ Β, μὴ κινοῦν δὲ μηδέν· εἴπερ γὰρ καὶ διὰ πλειόνων ἥξει
ποτὲ εἰς τὸ Γ, ἔστω δι' ἑνὸς μόνου. τὸ δὴ ἅπαν ΑΒΓ αὐτὸ
ἑαυτὸ κινεῖ. ἀλλ' ἐὰν ἀφέλω τὸ Γ, τὸ μὲν ΑΒ κινήσει
αὐτὸ ἑαυτό, τὸ μὲν Α κινοῦν τὸ δὲ Β κινούμενον, τὸ δὲ Γ οὐ
κινήσει αὐτὸ ἑαυτό, οὐδ' ὅλως κινήσεται. ἀλλὰ μὴν οὐδ' ἡ 15
ΒΓ κινήσει αὐτὴ ἑαυτὴν ἄνευ τοῦ Α· τὸ γὰρ Β κινεῖ τῷ
κινεῖσθαι ὑπ' ἄλλου, οὐ τῷ ὑφ' αὑτοῦ τινὸς μέρους. τὸ ἄρα
ΑΒ μόνον αὐτὸ ἑαυτὸ κινεῖ. ἀνάγκη ἄρα τὸ αὐτὸ ἑαυτὸ
κινοῦν ἔχειν τὸ κινοῦν ἀκίνητον δέ, καὶ τὸ κινούμενον μηδὲν
δὲ κινοῦν ἐξ ἀνάγκης, ἁπτόμενα ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου 20
θάτερον. εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν (τὸ μὲν γὰρ κινούμενον
ἀναγκαῖον εἶναι συνεχές), ἅψεται ἑκάτερον ἑκατέρου. δῆλον δὴ
ὅτι τὸ πᾶν αὐτὸ ἑαυτὸ κινεῖ οὐ τῷ αὐτοῦ τι εἶναι τοιοῦτον οἷον αὐτὸ
αὑτὸ κινεῖν, ἀλλ' ὅλον κινεῖ αὐτὸ ἑαυτό, κινούμενόν τε καὶ κινοῦν
τῷ αὐτοῦ τι εἶναι τὸ κινοῦν καὶ τὸ κινούμενον. οὐ γὰρ ὅλον κι- 25
νεῖ οὐδ' ὅλον κινεῖται, ἀλλὰ κινεῖ μὲν ἡ τὸ Α, κινεῖται δὲ ἡ τὸ

258^{a} 1 ὂν om. E^{1} 2 μόνως . . . εἶναι E^{2}K^{2}ΛS : om. E^{1}K^{1} 4 κινήσεται EHJ^{2}KS : κινηθήσεται FIJ^{1} vide 256^{b} 3–27 adn. ἄρα] ἄρα τὸ E^{2} κινηθήσεται ΛS : κινησεται E 5 ἐπεὶ ES : ἐπειδη ΚΛ αὐτοκίνητον J 6 ἑαυτὸ FI 7 ἔτι om. E 9 δὲ om. EJ^{1} 10 οὗ FH 11 εἴπερ E^{2}ΚΛP : ἐπεὶ E^{1} πλειόνων ΛP^{p} : πολλῶν EKP^{1} ἥξει . . . 12 Γ pr. om. E^{1} 12 Λ] τὸ α E 13 αβ αὐτὸ ἑαυτὸ κινήσει Λ 14 Λ] γὰρ E^{1} : γὰρ α E^{2}FHJ 15 ἡ] τὸ K : ἡ τὸ E 16 βγ ΚΛS : γ E^{1} : αβγ E^{2} αὐτὸ ἑαυτὸ K γὰρ] μὲν γὰρ F : δὲ H τὸ K 17 ὑπ' ἄλλου κινεῖσθαι Λ ἄρα ΚΛS : γὰρ E 19 καὶ ΚΛS : om. E 20 ἁπτόμενα ἐξ ἀνάγκης A ἤτοι EIJA : δὲ ἤτοι FKS : ἢ H 21 μὲν alt. EKPS : om. Λ 22 συνεχὲς ἀναγκαῖον εἶναι Λ ἅψεται ἑκάτερον ἑκατέρου om. EFHJKAPS δὴ om. EJ^{1}K : δὲ J^{2} 23 εἶναι] εἶναί τι E^{1} 24 κινεῖν ἑαυτὸ F κινεῖ] κινεῖν H δὲ ΕΛ 26 κινεῖται ἀλλὰ om. E ἡ S : ἢ E : om. ΚΛ κινεῖται δὲ ἡ (ἢ E, om. K) τὰ β EKS : τὸ δὲ β κινεῖται Λ

dolayısıyla eğer zorunluluk yoksa, [parçalar] kendileri tarafından devin- 258a
dirilmeyen nesneler olarak alınsalar gerek. Öyleyse bütünün bir parçası devinmediği halde devindirecek, bir parçası devindirilecektir. Çünkü ancak bu biçimde bir nesne 'kendi kendini devindirebilen' bir nesne olabilir. Öte yandan bütünün kendisi kendini devindiriyorsa, onun bir yanı devindirecek, bir yanı devindirilecektir. Demek ki, AB hem kendisi tarafından devindirilecek hem de A tarafından.

Ne ki, başka bir nesne tarafından devindirilen hem de devinimsiz 5
olan nesne devinimi gerçekleştirdiğine göre ve devindiren ve hiçbir şey devindirmeyen nesne devindiğine göre, kendi kendini devindiren nesnenin devinimsiz olan ama devindiren bir parçadan ve ayrıca zorunlu olarak değil, gelişigüzel devindiren bir devinenden oluşması gerekir. Nitekim diyelim ki, A devinmeyen ama devindiren nesne, B, A tarafından 10
devindirilen ve C'yi devindiren nesne, C de B tarafından devindirilen ama hiçbir şeyi devindirmeyen nesne olsun- birden çok aracılarla C'ye varılabileceğine göre, yalnızca bir aracıyla varılsın diyelim: ABC'nin hepsi kendi kendini devindirmektedir. Ama C ortadan kalkarsa, AB kendi kendini devindirecektir. A devindiren B devinen olacaktır, oysa yalnızca C kendi kendini devindirmeyecek, genel olarak da devinmeye- 15
cektir. Ne ki, BC'nin kendisi de A olmaksızın kendini devindirmeyecektir, çünkü B kendisinin bir parçası tarafından değil, başka bir nesne tarafından devindirildiği için devindirmektedir. Demek ki, yalnızca AB, kendi kendini devindirmektedir. Öyleyse kendi kendini devindiren nesnenin bir devinimsiz devindireni, bir de hiçbir şeyi zorunlu olarak devindirmeden devinen nesneyi taşıması zorunlu, çünkü bunlar ya birbir- 20
leriyle tümden bitişiktir ya da ikisinden biri ötekine. İmdi devindiren nesne sürekli ise (devinenin sürekli olması zorunlu), biri ötekiyle bitişik olacaktır. O halde şu açık: hepsi kendini, bir parçası kendini devindirecek bir şey olduğundan ötürü devindiriyor değil, onun bir parçası devindiren ve devinen olduğundan ötürü hem devinerek hem de devindirererek, bütün kendi kendini devindiriyor. Çünkü bütün olarak ne devindi- 25
rir ne de devindirilir, A devindirir, B devindirilir <oysa C, A tarafından

27 B μόνον [τὸ δὲ Γ ὑπὸ τοῦ A οὐκέτι· ἀδύνατον γάρ].

27 ἀπορίαν δ' ἔχει, ἐὰν ἀφέλῃ τις ἢ τῆς A, εἰ συνεχὲς τὸ κινοῦν μὲν ἀκίνητον δέ, ἢ τῆς B τῆς κινουμένης· ἡ λοιπὴ ἆρα κινήσει 30 τῆς A ἢ τῆς B κινηθήσεται; εἰ γὰρ τοῦτο, οὐκ ἂν εἴη πρώτως κινουμένη ὑφ' αὑτῆς ἡ τὸ AB· ἀφαιρεθείσης γὰρ ἀπὸ τῆς AB, ἔτι κινήσει αὐτὴν ἡ λοιπὴ AB. ἡ δυνάμει μὲν 258b ἑκάτερον οὐδὲν κωλύει ἢ θάτερον, τὸ κινούμενον, διαιρετὸν εἶναι, ἐντελεχείᾳ δ' ἀδιαίρετον· ἐὰν δὲ διαιρεθῇ, μηκέτι εἶναι ἔχον τὴν αὐτὴν φύσιν· ὥστ' οὐδὲν κωλύει ἐν διαιρετοῖς δυνάμει πρώτως ἐνεῖναι. φανερὸν τοίνυν ἐκ τούτων ὅτι ἔστιν τὸ πρώτως 5 κινοῦν ἀκίνητον· εἴτε γὰρ εὐθὺς ἵσταται τὸ κινούμενον, ὑπό τινος δὲ κινούμενον, εἰς ἀκίνητον τὸ πρῶτον, εἴτε εἰς κινούμενον μέν, αὐτὸ δ' αὐτὸ κινοῦν καὶ ἱστάν, ἀμφοτέρως συμβαίνει τὸ πρώτως κινοῦν ἅπασιν εἶναι τοῖς κινουμένοις ἀκίνητον.

10 Ἐπεὶ δὲ δεῖ κίνησιν ἀεὶ εἶναι καὶ μὴ διαλείπειν, ἀν- 6
άγκη εἶναί τι ἀΐδιον ὃ πρῶτον κινεῖ, εἴτε ἓν εἴτε πλείω· καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον. ἕκαστον μὲν οὖν ἀΐδιον εἶναι τῶν ἀκινήτων μὲν κινούντων δὲ οὐδὲν πρὸς τὸν νῦν λόγον· ὅτι δ' ἀναγ- 15 καῖον εἶναί τι τὸ ἀκίνητον μὲν αὐτὸ πάσης ἐκτὸς μεταβολῆς, καὶ ἁπλῶς· καὶ κατὰ συμβεβηκός, κινητικὸν δ' ἑτέρου, δῆλον ὧδε σκοποῦσιν. ἔστω δή, εἴ τις βούλεται, ἐπί τινων ἐνδεχόμενον ὥστε εἶναί ποτε καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς (τάχα γὰρ ἀναγκαῖον, εἴ τι ἀμερὲς ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ μὴ ἔστιν, ἄνευ τοῦ μεταβάλλειν ὁτὲ μὲν εἶ- 20 ναι ὁτὲ δὲ μὴ εἶναι πᾶν τὸ τοιοῦτον). καὶ τῶν ἀρχῶν τῶν ἀκινήτων μὲν κινητικῶν δ' ἐνίας ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶ-

[a] 27 τὸ . . . γὰρ ΚΛ γρ. S : om. EA [a] JK γρ. S : β FHI 28 κινοῦν μὲν] κινούμενον E^2 31 τὸ om. HIK 32 A alt.] ἡ α K [β] 2 τὴν αὐτὴν ἔχον E^2 3 φύσιν EKAS : δύναμιν Λ ἓν om. I 4 πρῶτον H ἐνεῖναι $FS^β$: ἓν εἶναι HI : ἐνεῖναί τι EJS^1 : ἓν εἶναί τι K πρώτως ΛPS : πρῶτον EK 7 δι' E^1 8 πρώτως κινοῦν ΛP : πρῶτον EKS^1 ἅπασιν] ἐν ἅπασιν $K^2Λ$: ἐν πᾶσιν ES 10 εἶναι ἀεὶ E^2HKS διαλιπεῖν K ἀναγκαῖον FHI 11 τι εἶναι Λ ἀΐδιον $E^2FH^2I^2KST$: om. $E^1H^1I^1J$ πρῶτον om. E^2 εἴτε οὖν ἓν FHJ 12 πρώτως H ἴδιον E^1 14 τὸ] τὸ ἀεὶ E^2K πάσης EPS : πάσης πε F : πάσης τῆς HIJ : καὶ πάσης K 15 καὶ alt. om. E^1 16 δὴ scripsi : δὲ ΠS βούλοιτο S 18 φορᾶς E ὁτὲ . . . 19 ὁτὲ pr. E^2ΚΛS : ὁ . . . ὁ E^1 20-1 πᾶν . . . μὴ εἶναι om. F 21 δ' om. E

tarafından devindirilemez, çünkü bu olanaksız>.

Ne ki, devindiren nesne devinimsiz ve sürekli ise ya A'dan ya da devinen B'den bir şey alınacak olsa, bir sorun ortaya çıkar: acaba A'nın kalan parçası devindirecek ya da B'ninki devinecek midir? Böyle olsa, AB asıl anlamda 'kendi kendine devinen' olamaz, çünkü AB'den bir parça alındığında kalan AB yine kendini devindirecektir. Yoksa [şöyle mi]: iki parçanın ya da parçaların ikisinden birinin gerçeklik halinde olmasa bile, olanak halinde bölünebilir olmasına hiçbir engel yoktur. Ama bölünecek olsa, aynı doğayı artık taşıyamaz, dolayısıyla onun bölünebilir nesnelerde olanak halinde asıl anlamda bulunmasına hiçbir engel olmaz. İmdi bunlardan açıkça görünüyor ki, asıl anlamda/ilk devindiren devindirilemez. Nitekim ister bir şey tarafından devindirildiği için devinen nesne doğrudan/ ilk devinmeyende dursun, ister kendi kendini devindiren ve kendi kendine duran bir devinende dursun, heriki durumda da şu sonuç çıkar: bütün devinen nesneler için ilk/asıl anlamda devinimsiz bir devindiren vardır.

6 Madem devinimin hep varolması ve kesilmemesi gerekiyor, ister tek ister birden çok olsun, ilk devindiren ebedi bir şeyin olması zorunlu, ilk devindiren de devinimsiz bir şeydir. İmdi devinmeyen ama devindiren şeylerin herbirinin ebedi olmasının şimdiki konumuzla bir ilgisi yok. Hem mutlak anlamda hem ilineksel anlamda tüm değişmenin dışında olan ama bir başkasının devindiricisi olan devinmez bir şeyin olması zorunlu: bu şöyle bakıldıkta da açık: isterseniz diyelim ki, bazı nesneler konusunda, onların oluştan ve yokoluştan bağımsız olarak bir varolup bir varolmamaları olası olsun (parçası olmayan bir nesne kimi zaman varoluyor kimi zaman varolmuyorsa, bu tür her nesnenin değişmeden bağımsız olarak kimi zaman varolması kimi zaman varolmaması herhalde zorunlu). Devinimsiz ama devindirebilen ilkelerin bazılarının kimi zaman varolmaları kimi zaman varolmamaları, bu da olası olsun.

5. 258ᵃ 27 — 6. 259ᵃ 15

ναι, ἐνδεχέσθω καὶ τοῦτο. ἀλλ' οὔ τί γε πάσας δυνατόν· δῆλον γὰρ ὡς αἴτιον τοῖς αὐτὰ ἑαυτὰ κινοῦσίν ἐστί τι τοῦ ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μή. τὸ μὲν γὰρ αὐτὸ ἑαυτὸ κινοῦν ἅπαν ἔχειν ἀνάγκη μέγεθος, εἰ μηδὲν κινεῖται ἀμερές, τὸ δὲ κινοῦν οὐδεμία ἀνάγκη ἐκ τῶν εἰρημένων. τοῦ δὴ τὰ μὲν γίγνεσθαι τὰ δὲ φθείρεσθαι, καὶ τοῦτ' εἶναι συνεχῶς, οὐδὲν αἴτιον τῶν ἀκινήτων μὲν μὴ ἀεὶ δ' ὄντων, οὐδ' αὖ τωνδὶ μὲν ταδί [κινούντων], τούτων δ' ἕτερα. τοῦ γὰρ ἀεὶ καὶ συνεχοῦς οὔτε ἕκαστον αὐτῶν οὔτε πάντα αἴτια· τὸ μὲν γὰρ οὕτως ἔχειν ἀΐδιον καὶ ἐξ ἀνάγκης, τὰ δὲ πάντα ἄπειρα, καὶ οὐχ ἅμα πάντα ὄντα. δῆλον τοίνυν ὅτι, εἰ καὶ μυριάκις ἕνια [ἀρχαὶ] τῶν ἀκινήτων μὲν κινούντων δέ, καὶ πολλὰ τῶν αὐτὰ ἑαυτὰ κινούντων, φθείρεται, τὰ δ' ἐπιγίγνεται, καὶ τόδε μὲν ἀκίνητον ὂν τόδε κινεῖ, ἕτερον δὲ τοδί, ἀλλ' οὐδὲν ἧττον ἔστιν τι ὃ περιέχει, καὶ τοῦτο παρ' ἕκαστον, ὃ ἐστιν αἴτιον τοῦ τὰ μὲν εἶναι τὰ δὲ μὴ καὶ τῆς συνεχοῦς μεταβολῆς· καὶ τοῦτο μὲν τούτοις, ταῦτα δὲ τοῖς ἄλλοις αἴτια κινήσεως.

εἴπερ οὖν ἀίδιος ἡ κίνησις, ἀίδιον καὶ τὸ κινοῦν ἔσται πρῶτον, εἰ ἕν· εἰ δὲ πλείω, πλείω τὰ ἀίδια. ἓν δὲ μᾶλλον ἢ πολλά, καὶ πεπερασμένα ἢ ἄπειρα, δεῖ νομίζειν. τῶν αὐτῶν γὰρ συμβαινόντων αἰεὶ τὰ πεπερασμένα μᾶλλον ληπτέον· ἐν γὰρ τοῖς φύσει δεῖ τὸ πεπερασμένον καὶ τὸ βέλτιον, ἂν ἐνδέχηται, ὑπάρχειν μᾶλλον. ἱκανὸν δὲ καὶ ἕν, ὃ πρῶτον τῶν ἀκινήτων ἀίδιον ὂν ἔσται ἀρχὴ τοῖς ἄλλοις κινήσεως.

φανερὸν δὲ καὶ ἐκ τοῦδε ὅτι ἀνάγκη εἶναί τι ἓν καὶ ἀίδιον τὸ πρῶτον κινοῦν. δέδεικται γὰρ ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι.

ᵇ 22 γε πάσας EFT : πάσας γε HIJK 23 τι ante τοῖς E²KΛ 24 μὴ] μὴ εἶναι ΛT ἀνάγκη ἅπαν μέγεθος ἔχειν Λ 26 δὲ E¹ 28 τωνδὶ μὲν scripsi : τῶν ἀεὶ μὲν Π : τῶν μὲν S : τῶν μὲν ἀεὶ Gaye 29 ταδί E²KΛS : αὐτὰ E¹ κινούντων seclusi, om. P τούτων] τῶν J²S : διὰ τούτων E καὶ om. F συνεχῶς S 30 ἕκαστα E² οὔτε πάντα αἴτια EKS : αἴτιον οὔτε πάντα Λ 31 καὶ pr. ΠAT : om. γρ. S 32 ἕνια scripsi : ἐνι E : ἕνιαι KΛ ἀρχαὶ seclusi : habent ΠS 259ᵃ 1 μὲν om. E κινουσῶν E²KΛS 2 τὰ] τινὰ H ἀεικινήτων F 3 τόδε δὲ κινεῖ E¹ ὃ] ὃ καὶ E¹ 7 ἓν· εἰ] ἑνὶ E¹ 8 τὰ ἀίδια πλείω KS 11 δὴ E τὸ alt. om. E¹ 12 ἕν EKS : εἰ ἓν Λ ὃ] ᾧ ὂν E² 13 ὂν KΛS : om. E 14 δὲ] οὖν J ἐκ τούτων J¹ ἓν] ἀεὶ H 15 κίνησιν ἀεὶ εἶναι HIJ : εἶναι κίνησιν ἀεί F

Ama hepsinin böyle olması olanaklı değil, çünkü şu açık: kendi kendile
rini devindiren nesnelerde, kimi zaman varolma kimi zaman varolmama
nedeni olan bir şey var. Nitekim parçasız olan hiçbir şey devinmiyorsa
kendi kendini devindiren her nesnenin bir büyüklüğünün olması zorun
lu ama [yalnızca] devindiren için böyle bir zorunluluğun olmadığı söyle
diklerimizden çıkıyor. İmdi kimi nesnelerin oluşmasının, kimi nesnele
rin ise yokolmasının ve bunun sürekli olmasının nedeni, devinmeyen
ama hep varolma-yan nesnelerden hiçbiri değil, yine bir biçimde, bir ba
zı nesneleri bir de bunlardan başka nesneleri devindirenlerden hiçbiri de
bunun nedeni değil. Nitekim 'her zaman'ın ve süreklinin nedenleri ne
bunlardan biri ne de bunların hepsi. Çünkü 'bu durumda olmak', 'ebe
di' ve 'zorunlu' olmak demektir, oysa bütün bunlar hepsi aynı anda va
rolmasalar bile sonsuz olurlar. Demek ki şu açık: devinmeyen devindiri
cilerin bazıları, <ilkeler>, ve kendi kendilerini devindirenlerin çoğu bin
lerce kez yokolsa ve bazıları oluşsa ve belli biri devinmeden belli bir şeyi
başkası da belli bir şeyi devindirse, yine de saran bir nesne, hepsinin da
yanda bazı nesnelerin varolmasının, bazı nesnelerin varolmamasının ve
sürekli değişmenin nedeni olan bir nesne yok demek değildir. Bu nesne
o devinenler için, onlar da başka nesneler için devinim nedeni olurlar.

İmdi madem devinim ebedi; sayısı bir ise, ilk devindiren de ebedi
olacaktır, sayısı çoksa, ebedi şeyler çok sayıda olacaktır. Çok yerine bir
sonsuz sayı yerine sınırlı sayıda diye düşünmek gerekir, çünkü aynı şey
ler sözkonusu oldukça, her zaman sınırlı sayıda şeyleri tercih etmek gere
kir, nitekim doğal olan nesnelerde 'sınırlı' ve 'daha iyi' olanın, olası ol
duğu ölçüde daha çok bulunması gerekir[86]. Ama devinmeyen nesnelerin
ebedi 'ilki' olarak ötekiler için devinim ilkesi olacak olan 'bir' de yeterli.

Şurdan da, 'ilk devindiren'in tek ve ebedi bir nesne olması zorunlu
luğu açıkça görülür: devinimin her zaman varolmasının zorunluluğunu

εἰ δὲ ἀεί, ἀνάγκη συνεχῆ εἶναι· καὶ γὰρ τὸ ἀεὶ συνεχές, τὸ δ' ἐφεξῆς οὐ συνεχές. ἀλλὰ μὴν εἴ γε συνεχής, μία. μία δ' ἡ ὑφ' ἑνός τε τοῦ κινοῦντος καὶ ἑνὸς τοῦ κινουμένου· εἰ γὰρ ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ ὅλη κίνησις, ἀλλ' ἐφεξῆς.

ἔκ τε δὴ τούτων πιστεύσειεν ἄν τις εἶναί τι πρῶτον ἀκίνητον, καὶ πάλιν ἐπιβλέψας ἐπὶ τὰς ἀρχάς [τῶν κινούντων]. τὸ μὲν δὴ εἶναι ἄττα τῶν ὄντων ἃ ὁτὲ μὲν κινεῖται ὁτὲ δὲ ἠρεμεῖ φανερόν. καὶ διὰ τούτου γέγονε δῆλον ὅτι οὔτε πάντα κινεῖται οὔτε πάντα ἠρεμεῖ οὔτε τὰ μὲν ἀεὶ ἠρεμεῖ τὰ δὲ ἀεὶ κινεῖται· τὰ γὰρ ἐπαμφοτερίζοντα καὶ δύναμιν ἔχοντα τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν δείκνυσιν περὶ αὐτῶν. ἐπεὶ δὲ τὰ μὲν τοιαῦτα δῆλα πᾶσι, βουλόμεθα δὲ δεῖξαι καὶ τοῖν δυοῖν ἑκατέρου τὴν φύσιν, ὅτι ἔστιν τὰ μὲν ἀεὶ ἀκίνητα τὰ δὲ ἀεὶ κινούμενα, προϊόντες δ' ἐπὶ τοῦτο καὶ θέντες ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τοῦτ' εἶναι ἢ ἀκίνητον ἢ κινούμενον, καὶ κινούμενον ἢ ὑφ' αὑτοῦ ἢ ὑπ' ἄλλου ἀεί, προήλθομεν ἐπὶ τὸ λαβεῖν ὅτι τῶν κινουμένων ἐστὶν ἀρχὴ κινουμένων μὲν ὁ αὐτὸ ἑαυτὸ κινεῖ, πάντων δὲ τὸ ἀκίνητον, ὁρῶμεν δὲ καὶ φανερῶς ὄντα τοιαῦτα ἃ κινεῖ αὐτὰ ἑαυτά, οἷον τὸ τῶν ἐμψύχων καὶ τὸ τῶν ζώων γένος, ταῦτα δὲ καὶ δόξαν παρεῖχε μή ποτε ἐνδέχεται κίνησιν ἐγγίγνεσθαι μὴ οὖσαν ὅλως, διὰ τὸ ἐν τούτοις ὁρᾶν ἡμᾶς τοῦτο συμβαῖνον (ἀκίνητα γάρ ποτε ὄντα κινεῖται πάλιν, ὡς δοκεῖ), τοῦτο δὴ δεῖ λαβεῖν, ὅτι μίαν κίνησιν αὐτὰ κινεῖ, καὶ ὅτι ταύτην οὐ κυρίως· οὐ γὰρ ἐξ αὐτοῦ τὸ αἴτιον, ἀλλ' ἔνεισιν ἄλλαι κινήσεις φυσικαὶ τοῖς ζώοις, ἃς

[a] 16 ἀεὶ EI²J²K¹S : δεῖ FHI¹J¹ : δεῖ ἀεὶ κίνησιν εἶναι K² συνεχῆ EKS : καὶ συνεχῆ Λ καὶ γὰρ τὸ] τὸ γὰρ S ἀεὶ] ἀεὶ εἶναι FK² 17 γε om. FIJ 18 ἡ EIJKS : εἰ F : om. H ἐφ' I καὶ KΛS : καὶ ὑφ' E 19 γὰρ EKT : γὰρ καὶ F : γάρ τι HJ : τι γὰρ I καὶ om. J¹ 22 τῶν κινούντων seclusi : habet ΠPS ὄντων om. K 23 τούτου γέγονε E²KΛPS : τοῦτο γεγονέναι E¹ 25 ἀεὶ pr. EFH J²KS : om. IJ¹ 26 τοῦ] ὁτὲ μὲν Λ καὶ] ὁτὲ δ' Λ 28 ἑκατέρου scripsi : ἑκάτερον E : ἑκατέραν KΛ 31 καὶ κινούμενον om. F καί] καὶ εἰ S 32 ἢ pr. E²KΛS : om. E¹ προσήλθομεν E¹ : προῆλθεν J¹ 33 ἐστὶν om. E¹ κινούμενον K μὲν om. E¹ [b] 3 δὲ scripsi cum P : δὴ E²KΛ : om. E¹ παρέχει E²P : παρέχειν J ἐνδέχηται H 4 ἐγγίγνεσθαι FHIKP : ἐγγενέσθαι J : γίνεσθαι ES 5 ἡμᾶς ὁρᾶν Λ ὄντα ποτὲ FHJ 6 δὴ] δὲ JP : τε E² 7 αὐτὰ scripsi : αὐτὰ Π : ἑαυτὰ S

göstermiştik[87]. Eğer her zaman varsa, sürekli olması zorunlu, çünkü 'her zaman varolan' 'süreklidir' de, ama ardışık olan, sürekli değildir. Ne ki, sürekliysetektir. Tek devinim de tek devindirenden gelir ve tek devinene özgüdür. Nitekim hep başka bir nesneyi devindirecek olsa, devinimin tümü sürekl olmaz, ardışık olur.

Demek ki, hem bunlardan yola çıkarak hem de <devindirenlerin> ilkelerine yeniden bakarak ilk devinmeyen bir nesnenin olduğuna inanılabilir. İndi kimi nesneler var, bunlar bazan deviniyor bazan duruyor, bu açık. Bununla da şu görülmüş oluyor: ne herşey deviniyor ne herşey duraduruyor ne de kimi nesneler hep deviniyor, kimi nesnelerse hep duraduruyor. Aslında bu iki duruma da katılan ve devinme ile durma olanağı taşıyan nesneler, bunlar konusunda bir kanıtlama getiriyor, ama bu tür varolanlar herkes için açık olduğundan ve geri kalan ikisinin herbirinin doğasını da, yani kimi nesnelerin hep devinimsiz kimi nesnelerin ise hep devinen nesneler olduğunu göstermek istediğimizden ötürü, bu konuca ilerleyerek ve her devinen nesnenin bir şey tarafından devindirildiğin, bunun da ya devinimsiz ya da devinen bir şey olduğunu, devinen bir şeyse hep ya kendisi tarafından ya da başka bir şey tarafından devindirildiğini ortaya koyarak şu kabule ulaştık: devinen nesnelerin ilkesi, kendi kendini devindiren devindirenler içindedir, ama hepsinin ilkesi 'devinimsiz' olan bir şeydir. Ayrıca sözgelişi canlı ve hayvan cinsleri gibi, kendi kendini devindirebilen bu tür varolanları açıkça görüyoruz. Kaldı ki, bunların varlığı, bu varlıklarda sözkonusu olan şeyi görmemiz, genelde varolmazsa devinimin bir zaman oluşmasının olası olmadığı kanısına yol açmıştı[88] (nitekim görüldüğü gibi bunlar bir zaman devinimsiz olduktan sonra yeniden deviniyorlar). Demek ki bunların tek devinim gerçekleşirdikleri ve asıl anlamda devinim olmadığını belirlemek gerekir, nitekim 'neden', öznenin kendisinden kaynaklanmıyor, tersine hayvanlarda kendileri aracılığıyla gerçekleştirmedikleri başka doğal devinimler var:

6. 259ª 16 — ᵇ 33

οὐ κινοῦνται δι' αὐτῶν, οἷον αὔξησις φθίσις ἀναπνοή, ἃς κινεῖται τῶν ζώων ἕκαστον ἠρεμοῦν καὶ οὐ κινούμενον τὴν ὑφ' αὑτοῦ κίνησιν. τούτου δ' αἴτιον τὸ περιέχον καὶ πολλὰ τῶν εἰσιόντων, οἷον ἐνίων ἡ τροφή· πεττομένης μὲν γὰρ καθεύδουσιν, διακρινομένης δ' ἐγείρονται καὶ κινοῦσιν ἑαυτούς, τῆς πρώτης ἀρχῆς ἔξωθεν οὔσης, διὸ οὐκ ἀεὶ κινοῦνται συνεχῶς ὑφ' αὐτῶν· ἄλλο γὰρ τὸ κινοῦν, αὐτὸ κινούμενον καὶ μεταβάλλον πρὸς ἕκαστον τῶν κινούντων ἑαυτά. ἐν πᾶσι δὲ τούτοις κινεῖται τὸ κινοῦν πρῶτον καὶ τὸ αἴτιον τοῦ αὐτὸ ἑαυτὸ κινεῖν ὑφ' αὑτοῦ, κατὰ συμβεβηκὸς μέντοι· μεταβάλλει γὰρ τὸν τόπον τὸ σῶμα, ὥστε καὶ τὸ ἐν τῷ σώματι ὂν καὶ τῇ μοχλείᾳ κινοῦν ἑαυτό.

ἐξ ὧν ἔστιν πιστεῦσαι ὅτι εἴ τί ἐστι τῶν ἀκινήτων μὲν κινούντων δὲ καὶ αὐτὰ κατὰ συμβεβηκός, ἀδύνατον συνεχῆ κίνησιν κινεῖν. ὥστ' εἴπερ ἀνάγκη συνεχῶς εἶναι κίνησιν, εἶναί τι δεῖ τὸ πρῶτον κινοῦν ἀκίνητον καὶ κατὰ συμβεβηκός, εἰ μέλλει, καθάπερ εἴπομεν, ἔσεσθαι ἐν τοῖς οὖσιν ἄπαυστός τις καὶ ἀθάνατος κίνησις, καὶ μενεῖν τὸ ὂν αὐτὸ ἐν αὑτῷ καὶ ἐν τῷ αὐτῷ· τῆς γὰρ ἀρχῆς μενούσης ἀνάγκη καὶ τὸ πᾶν μένειν συνεχὲς ὂν πρὸς τὴν ἀρχήν. οὐκ ἔστιν δὲ τὸ αὐτὸ τὸ κινεῖσθαι κατὰ συμβεβηκὸς ὑφ' αὑτοῦ καὶ ὑφ' ἑτέρου· τὸ μὲν γὰρ ὑφ' ἑτέρου ὑπάρχει καὶ τῶν ἐν τῷ οὐρανῷ ἐνίαις ἀρχαῖς, ὅσα πλείους φέρεται φοράς, θάτερον δὲ τοῖς φθαρτοῖς μόνον.

ἀλλὰ μὴν εἴ γε ἔστιν τι ἀεὶ τοιοῦτον, κινοῦν μέν τι ἀκίνητον δὲ αὐτὸ καὶ ἀΐδιον, ἀνάγκη καὶ τὸ πρῶτον ὑπὸ τούτου κι-

ᵇ 11 τούτων FK 12 ἡ om. Λ πεττομένης EJPS : πεπτομένης FHI : πεπτομένων K μὲν E¹KS : om. E²Λ 13 ἑαυτὰ J² 14 οὐκ ἀεὶ] καὶ οὐ E² 16 ἑαυτά E¹FJ²KS : ἑαυτό E²HIJ¹ : αὐτα P κινειν τε τὸ J¹ 17 πρώτως κινοῦν F τὸ E²FHIKP : om. E¹J 19 τὸ alt. om. I καὶ alt. HIJK¹S : καὶ τὰ ἐν E¹F : καὶ τὸ E² : καὶ ὡς K² 21 αὐτα scripsi : ἑαυτὰ KS : αυτὸ E¹ : αὐτῶν κινουμένων E²Λ 22 κινεῖν E²KΛS : om. E¹ 23 τι] τι πρῶτον I 24 καὶ HS : καὶ μὴ (μὴ eraserunt EF) EFIJK εἰ μέλλει E²KΛT : om. E¹ 25 εἴπομεν E²KΛT : εἴπομεν ἐμπροσθεν E¹ ἔσεσθαι post οὖσιν Λ, post ᵇ 24 μέλλει KS τις FHJKS et post ἀθάνατος I : om. E 26 μενεῖν scripsi ex T : μένειν Π ἐν αὐτῷ EHKS : ἐν ἑαυτῷ F : ἐν αὐτῷ J : ἑαυτῷ I 27 συνεχὲς ὂν μένειν I 28–31 οὐκ . . . μόνον ΠPS : om. T 28 τὸ alt. E²KΛPS² : om. E¹S¹ 29 γὰρ om. J¹ 30 ὑπάρχειν I τῷ om. E² 31 δὲ om. S 32 γε EJKPST : om. FHI κινοῦν] τὸ κινοῦν S μέν τι] μέντοι I 33 καὶ αὐτὸ I ὑπὸ τούτου EKP et post κινούμενον HIJ : om. F

sözgelişi hayvanların herbirinin duradururken ve kendinden kaynaklanan bir devinim açısından devinmezken gerçekleşen, büyüme, eksilme/kilo kaybı, nefes alma. Bunun nedeni saran bir şey ve buna ilişkin pek çok koşul, sözgelişi bazılarının nedeni beslenme. Nitekim hayvanlar geviş getirerek uyuyor, hazmedince uyanıyor ve kendilerini devindiriyorlar, ilk neden dışardan geliyor. Bunun için kendi kendilerine her zaman sürekli devinmiyorlar. Çünkü devindiren başka, kendisi de devinen ve kendi kendilerini devindiren nesnelerin herbirine göre değişen bir şey. Ama bütün bunlarda ilk devindiren devinmektedir ve kendi kendini devindirmenin nedeni o olsa bile, yine de bu ilineksel anlamdadır. Nitekim beden yer değiştirir, dolayısıyla bedende olan bir şey de bedenle birlikte, kaldıraçta olan kaldıraçla birlikte kendi kendini devindirir.

Bütün bunlardan şu çıkıyor: devinmeyen bir nesne ilineksel anlamda kendi kendini devindiren bir nesneyse, o nesnenin sürekli bir devinimle devindirmesi olanaksız. Dolayısıyla madem devinimin sürekli olması zorunlu, dediğimiz gibi varolanlarda kesintisiz ve ölümsüz bir devinim olacaksa ve VARLIK kendisi, 'kendinde' ve 'aynı yerde' duraduracaksa, ilk devindirenin ilineksel anlamda da devinimsiz bir şey olması gerekir. Çünkü ancak ilke duradurduğunda, ilkeyle sürekli ilgi halinde olan her nesnenin de duradurması zorunlu. Ne ki, ilineksel anlamda kendisi tarafından devindirilmekle, ilineksel anlamda başka bir nesne tarafından devindirilmek aynı şey değil. Nitekim başka bir şey tarafından devindirilmek, pek çok devinimle yer değiştiren gökteki nesnelerin bazı ilkeleri için de sözkonusu, ama öteki yalnızca gelip-geçici nesneler için sözkonusu[89]

Ne ki [başka bir nesneyi] devindiren ama kendisi devinimsiz ve ebedi olan böyle bir şey hep varsa onun tarafından ilk/doğrudan

260ª νούμενον ἀΐδιον εἶναι. ἔστιν δὲ τοῦτο δῆλον μὲν καὶ ἐκ τοῦ μὴ ἂν ἄλλως εἶναι γένεσιν καὶ φθορὰν καὶ μεταβολὴν τοῖς ἄλλοις, εἰ μή τι κινήσει κινούμενον· τὸ μὲν γὰρ ἀκίνητον [τὴν αὐτὴν] ἀεὶ τὸν αὐτὸν κινήσει τρόπον καὶ μίαν κίνησιν, ἅτε οὐδὲν αὐτὸ μεταβάλλον πρὸς τὸ κινούμενον. τὸ δὲ κινούμενον ὑπὸ τοῦ κινουμένου μέν, ὑπὸ τοῦ ἀκινήτου δὲ κινουμένου ἤδη, διὰ τὸ ἄλλως καὶ ἄλλως ἔχειν πρὸς τὰ πράγματα, οὐ τῆς αὐτῆς ἔσται κινήσεως αἴτιον, ἀλλὰ διὰ τὸ ἐν ἐναντίοις εἶναι τόποις ἢ εἴδεσιν ἐναντίως παρέξεται κινούμενον ἕκαστον τῶν ἄλλων, καὶ ὁτὲ μὲν ἠρεμοῦν ὁτὲ δὲ κινούμενον. φανερὸν δὴ γέγονεν ἐκ τῶν εἰρημένων καὶ ὃ κατ' ἀρχὰς ἠποροῦμεν, τί δή ποτε οὐ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ, ἃ τὰ μὲν κινεῖται ἀεὶ τὰ δ' ἀεὶ ἠρεμεῖ, ἀλλ' ἔνια ὁτὲ μὲν ὁτὲ δ' οὔ. τούτου γὰρ τὸ αἴτιον δῆλόν ἐστι νῦν, ὅτι τὰ μὲν ὑπὸ ἀκινήτου κινεῖται ἀϊδίου, διὸ ἀεὶ κινεῖται, τὰ δ' ὑπὸ κινουμένου καὶ μεταβάλλοντος, ὥστε καὶ αὐτὰ ἀναγκαῖον μεταβάλλειν. τὸ δ' ἀκίνητον, ὥσπερ εἴρηται, ἅτε ἁπλῶς καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ διαμένον, μίαν καὶ ἁπλῆν κινήσει κίνησιν.

Οὐ μὴν ἀλλὰ καὶ ἄλλην ποιησαμένοις ἀρχὴν μᾶλλον ἔσται περὶ τούτων φανερόν. σκεπτέον γὰρ πότερον ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ ἢ οὔ, καὶ εἰ ἐνδέχεται, τίς αὕτη, καὶ τίς πρώτη τῶν κινήσεων· δῆλον γὰρ ὡς εἴπερ ἀναγκαῖον μὲν ἀεὶ κίνησιν εἶναι, πρώτη δὲ ἥδε καὶ συνεχής, ὅτι τὸ πρῶτον κινοῦν κινεῖ ταύτην τὴν κίνησιν, ἣν ἀναγκαῖον μίαν καὶ τὴν αὐτὴν εἶναι καὶ συνεχῆ καὶ πρώτην. τριῶν δ' οὐσῶν κινήσεων, τῆς τε κατὰ μέγεθος καὶ τῆς κατὰ πάθος 7

260ª 3 γάρ] ἄρ E¹ 4 τὴν αὐτὴν om. EKST ἀεὶ τὴν αὐτὴν κινήσει E²: ἀεὶ κινήσει τὸν αὐτὸν Λ: τὸν αὐτὸν ἀεὶ κινήσει T: τὸν αὐτὸν κινήσει S τρόπον om. E² 5 τὸ δὲ κινούμενον E²ΚΛST: om. E¹ 6 ὑπὸ . . . μέν E²Λ γρ. P: om. E¹KPST δὲ ΕΛP: ἢ KST 7 ἤδη E²ΚΛPS: ἢ E¹ τὸ ἄλλω E¹ ἔχειν ἤδη πρὸς E 8 ἐν E²ΚΛS: om. E¹P 10 καὶ om. I 11 δὴ ΚΛS: δὲ E 12 ἢ om. H κινεῖται ἢ ἠρεμεῖ EKT: ἠρεμεῖ ἢ κινεῖται Λ 13 ἀεὶ κινεῖται ΛS ἀεὶ alt. ΚΛS: om. E 15 κινεῖται alt. EKPST: μεταβάλλει Λ 16 ἀναγκαῖον καὶ αὐτὰ I 17 ἅτε om. E¹ 21 ἔσται om. I 21–2 ἐνδέχεται . . . εἶναι EKS: εἶναί (om. F) τινα κίνησιν ἐνδέχεται Λ 24 κίνησιν μὲν ἀεὶ I εἶναι om. K 25 αὐτὴν J ἣν E²FHIJ²KS: om. E¹J¹ 26 καὶ alt. ΛPS: om. EK δ'] δὲ ἡ E²: γὰρ S 27 κατὰ EJKST: κατὰ τὸ FHI κατὰ EFJKS: κατὰ τὸ HI

devindirilen nesnenin de ebedi olması zorunlu. Bu şurdan da açıkça gö- 260a
rülür: devindiren nesne devinmeseydi, öteki nesneler için başka bir yol-
lu, oluş, yokoluş ve değişme de olamazdı, çünkü kendisi devinimsiz old-
uğundan devinen nesne açısından hiç değişmeyeceği için hep aynı tarzda
ve tek devinimle devindirecektir. Oysa bir şey tarafından devindirilip 5
kendisi devinim içinde olan ama devinmeyen şey tarafından devindirilen
nesne, nesnelerle ilgili olarak başka başka durumlarda olduğundan ötü-
rü, aynı devinimin nedeni olmayacaktır, tersine karşıt yerlerde ya da tür-
lerde bulunmakla, öteki nesnelerin herbirinin karşıt biçimde devinmesi- 10
ni, bazan durağan kalmasını bazan devinmesini sağlayacaktır. Bu söyle-
diklerimize göre, başlarda sorduğumuz şey de açıklığa kavuşmuş oldu, ya-
ni acaba niçin her şeyin ya devinmesi ya da duradurması ve bazı şeylerin
hep devinmesi bazı şeylerin hep duradurması sözkonusu değil de, bazı
nesneler kimi zaman deviniyor, kimi zamansa devinmiyor, bu. Nitekim
şimdi bunun nedeni açık: kimi nesneler ebedi olan, devinmeyen bir nes- 15
ne tarafından devindiriliyorlar, bu yüzden de hep deviniyorlar, kimi nes-
neler ise, devinen ve değişen bir nesne tarafından devindiriliyor, dolayı-
sıyla onların da değişmesi zorunlu oluyor. Oysa dediğimiz gibi, 'devinim-
siz olan nesne', mutlak anlamda, aynı şekilde, aynı yerde kaldığından,
tek ve mutlak bir devinimle devindirecektir.

7 Ne ki, başka bir hareket noktası alırsak, bu konu daha da açık ola- 20
cak. İmdi acaba bir devinimin sürekli olması olası mı, değil mi, olasıysa, bu
hangi devinimdir ve bütün devinimlerin ilki hangisidir, bunları araştırmak
gerekiyor. Nitekim devinimin hep varolması zorunluysa, onun ilk ve sürekli
olduğu açık, çünkü ilk devindirici tek, aynı, sürekli ve ilk olması zorunlu 25
olan bu devinimi gerçekleştirir. Büyüklük açısından, nitelik açısından ve yer
açısından olmak üzere üç tür devinim olduğuna göre, yer değiştirme

6. 260ª 1 — 7. 260ᵇ 21

καὶ τῆς κατὰ τόπον, ἣν καλοῦμεν φοράν, ταύτην ἀναγκαῖον εἶναι πρώτην. ἀδύνατον γὰρ αὔξησιν εἶναι ἀλλοιώσεως μὴ προυπαρχούσης· τὸ γὰρ αὐξανόμενον ἔστιν μὲν ὡς ὁμοίῳ αὐξάνεται, ἔστιν δ' ὡς ἀνομοίῳ· τροφὴ γὰρ λέγεται τῷ ἐναντίῳ τὸ ἐναντίον. προσγίγνεται δὲ πᾶν γιγνόμενον ὅμοιον ὁμοίῳ. ἀνάγκη οὖν ἀλλοίωσιν εἶναι τὴν εἰς τἀναντία μεταβολήν. ἀλλὰ μὴν εἴ γε ἀλλοιοῦται, δεῖ τι εἶναι τὸ ἀλλοιοῦν καὶ ποιοῦν ἐκ τοῦ δυνάμει θερμοῦ ἐνεργείᾳ θερμόν. δῆλον οὖν ὅτι τὸ κινοῦν οὐχ ὁμοίως ἔχει, ἀλλ' ὁτὲ μὲν ἐγγύτερον ὁτὲ δὲ πορρώτερον τοῦ ἀλλοιουμένου ἐστίν. ταῦτα δ' ἄνευ φορᾶς οὐκ ἐνδέχεται ὑπάρχειν. εἰ ἄρα ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν ἀεὶ εἶναι πρώτην τῶν κινήσεων, καὶ φορᾶς, εἰ ἔστιν ἡ μὲν πρώτη ἡ δ' ὑστέρα, τὴν πρώτην. 7

ἔτι δὲ 7

πάντων τῶν παθημάτων ἀρχὴ πύκνωσις καὶ μάνωσις· καὶ γὰρ βαρὺ καὶ κοῦφον καὶ μαλακὸν καὶ σκληρὸν καὶ θερμὸν καὶ ψυχρὸν πυκνότητες δοκοῦσιν καὶ ἀραιότητες εἶναί τινες. πύκνωσις δὲ καὶ μάνωσις σύγκρισις καὶ διάκρισις, καθ' ἃς γένεσις καὶ φθορὰ λέγεται τῶν οὐσιῶν. συγκρινόμενα δὲ καὶ διακρινόμενα ἀνάγκη κατὰ τόπον μεταβάλλειν. ἀλλὰ μὴν καὶ τοῦ αὐξανομένου καὶ φθίνοντος μεταβάλλει κατὰ τόπον τὸ μέγεθος.

ἔτι καὶ ἐντεῦθεν ἐπισκοποῦσιν ἔσται φανερὸν ὅτι ἡ φορὰ πρώτη. τὸ γὰρ πρῶτον, ὥσπερ ἐφ' ἑτέρων, οὕτω καὶ ἐπὶ κινήσεως ἂν λέγοιτο πλεοναχῶς. λέγεται δὲ πρότερον οὗ τε μὴ ὄντος οὐκ ἔσται τἆλλα, ἐκεῖνο δὲ ἄνευ τῶν ἄλλων, καὶ τὸ τῷ χρόνῳ, καὶ τὸ κατ' οὐσίαν. ὥστ' ἐπεὶ κίνησιν μὲν ἀναγκαῖον εἶναι συνεχῶς, εἴη δ' ἂν συνεχῶς ἡ συνεχὴς οὖσα ἡ ἐφεξῆς, μᾶλλον δ' ἡ συνεχής, καὶ βέλτιον

ª 30 ὑπαρχούσης E¹ αὐξόμενον F 31 τὸ γὰρ ἐναντίον τροφὴ λέγεται τῷ ἐναντίῳ Λ 32 προσγίνεσθαι K 33 εἶναι post μεταβολήν H ᵇ 1 δεήσει εἶναι Λ 2 θερμοῦ τὸ ἐνεργείᾳ Λ οὖν] οὖν ἐστιν FHI 3 ὁτὲ . . . ὁτὲ] ποτὲ . . . ποτὲ F : τοτὲ . . . τοτὲ HIJ 5 εἰ E²KΛS : om. E¹ κίνησιν ἀεὶ ἀνάγκη H 6 εἶναι ἀεὶ H φορᾶς E²KΛS : φοράν fort. E¹ 11 ἃς] ἆς καὶ E²F 13 κατὰ] καὶ κατα E² 14 καὶ alt. om. F 15 ἐνταῦθα F 16 φθορὰ E¹ ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων Λ 17 ἐπὶ] ἐπὶ τῆς F ἂν om. E¹HK λέγοιτο] λέγεται K : λέγοιτο πρῶτον FIJ 18 τε om. S 19 τὸ om. S τὸ E²KΛPS : om. E¹ 20 μὲν om. H εἴη . . . συνεχῶς om. E¹ ἢ] ἢ ἡ Λ 21 οὖσα om. Λ ἡ] ἢ ἡ Λ : ἢ εἰ K

adını verdiğimiz devinimin 'ilk' olması zorunlu, çünkü nitelik değiştirme olmasa, büyümenin olması olanaksız, nitekim büyüyen şey bir anlamda benzer bir şey bir anlamda benzemeyen bir şey açısından büyür, çünkü bütün karşıt için beşin olduğunu söylüyoruz[90]. Her oluşan nesne ise, benzere benzer bir şey ekler. Demek ki, nitelik değiştirme karşıtlara olan değişmedir, bu zorunlu. Ama nitelik değiştirme gerçekleşiyorsa, nitelik değiştirten ve olanak halinde sıcaktan etkinlik halinde sıcağı oluşturan bir şey olması gerekiyor. O halde şu açık: devindirici [hep] aynı durumda olmuyor, nitelik değiştiren nesne açısından bazan yakın, bazan uzak oluyor. Bunların ise yer değiştirmeden bağımsız bulunması olası değil. Demek ki, devinimin hep varolması zorunluysa, devinimlerin ilki olan yer değiştirmenin de hep varolması zorunlu ve yer değiştirmede de öncelik ve sonralık varsa, ilk yer değiştirmenin olması zorunlu.

Öte yandan bütün duygulanımların/etkilenimlerin başlangıcı sıklaşma ve seyrekleşmedir, çünkü ağır-hafif, yumuşak-sert, sıcak-soğuk, birtakım sıklaşmalar ve seyrekleşmeler olarak görünmektedir. Sıklaşma ve seyrekleşme ise, varlıkların oluşu ve yokoluşu onlara göre söylenen birleşme ve ayrılmadır. Birleşen, ayrılan nesnelerin ise yer açısından değişmesi zorunludur. Kaldı ki, büyüyen ya da eksilen nesnenin de kütlesi yer açısından değişir.

Ayrıca şuradan bakılınca da yer değiştirmenin ilk [devinim] olduğu açık: 'ilk' sözcüğü, öteki konularda olduğu gibi, devinim konusunda da çok anlamda kullanılabilir. 'Daha önce' sözcüğü öyle bir nesne için kullanılır ki, o varolmadığında öteki nesneler de olmaz, ama kendisi öteki nesneler olmaksızın varolur. Ayrıca zamanca, varlıkça önce gelen nesne için kullanılır. Dolayısıyla madem devinimin sürekli varolması zorunlu, süreklilik ise ya 'sürekli' ya da 'ardışık' olabilir, ama sürekli olan tercih edilir ve sürekli,

συνεχῆ ἡ ἐφεξῆς εἶναι, τὸ δὲ βέλτιον ἀεὶ ὑπολαμβάνομεν ἐν τῇ φύσει ὑπάρχειν, ἂν ᾖ δυνατόν, δυνατὸν δὲ συνεχῆ εἶναι (δειχθήσεται δ' ὕστερον· νῦν δὲ τοῦτο ὑποκείσθω), καὶ ταύτην· οὐδεμίαν ἄλλην οἷόν τε εἶναι ἀλλ' ἢ φοράν, ἀνάγκη τὴν φορὰν εἶναι πρώτην. οὐδεμία γὰρ ἀνάγκη οὔτε αὔξεσθαι οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον, οὐδὲ δὴ γίγνεσθαι ἢ φθείρεσθαι· τούτων δὲ οὐδεμίαν ἐνδέχεται τῆς συνεχοῦς μὴ οὔσης, ἣν κινεῖ τὸ πρῶτον κινοῦν.

ἔτι χρόνῳ πρώτην· τοῖς γὰρ ἀϊδίοις μόνον ἐνδέχεται κινεῖσθαι ταύτην. ἀλλ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν ἐχόντων γένεσιν τὴν φορὰν ἀναγκαῖον ὑστάτην εἶναι τῶν κινήσεων· μετὰ γὰρ τὸ γενέσθαι πρῶτον ἀλλοίωσις καὶ αὔξησις, φορὰ δ' ἤδη τετελειωμένων κίνησίς ἐστιν. ἀλλ' ἕτερον ἀνάγκη κινούμενον εἶναι κατὰ φορὰν πρότερον, ὃ καὶ τῆς γενέσεως αἴτιον ἔσται τοῖς γιγνομένοις, οὐ γιγνόμενον, οἷον τὸ γεννῆσαν τοῦ γεννηθέντος, ἐπεὶ δόξειέ γ' ἂν ἡ γένεσις εἶναι πρώτη τῶν κινήσεων διὰ τοῦτο, ὅτι γενέσθαι δεῖ τὸ πρᾶγμα πρῶτον. τὸ δ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γιγνομένων οὕτως ἔχει, ἀλλ' ἕτερον ἀναγκαῖον πρότερόν τι κινεῖσθαι τῶν γιγνομένων ὃν αὐτὸ καὶ μὴ γιγνόμενον, καὶ τούτου ἕτερον πρότερον. ἐπεὶ δὲ γένεσιν ἀδύνατον εἶναι πρώτην (πάντα γὰρ ἂν εἴη τὰ κινούμενα φθαρτά), δῆλον ὡς οὐδὲ τῶν ἐφεξῆς κινήσεων οὐδεμία προτέρα· λέγω δ' ἐφεξῆς αὔξησιν, εἶτ' ἀλλοίωσιν καὶ φθίσιν καὶ φθοράν· πᾶσαι γὰρ ὕστεραι γενέσεως, ὥστ' εἰ μηδὲ γένεσις προτέρα φορᾶς, οὐδὲ τῶν ἄλλων οὐδεμία μεταβολῶν.

ὅλως τε φαίνεται τὸ γιγνόμενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν, ὥστε τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον εἶναι. τελευταῖον δὲ φορὰ πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει. διὸ τὰ μὲν ὅλως ἀκίνητα τῶν ζώντων δι' ἔνδειαν [τοῦ ὀργάνου], οἷον τὰ φυτὰ

---

[b] 22 δὲ om. J 23 εἴη E δὲ] δ' ἐστὶ Λ 25 ἄλλην EJKP : om. FHI ἀλλὰ φοράν ΚΛ 26 αὔξεσθαι EJPT : αὐξάνεσθαι FHIK 29 πρώτην ΚΛS : πρώτη E 30 μόνον ἐνδέχεται EKPST : ἐνδέχεται μόνον FIJ : ἐνδέχεται μόνην H ἓν I 31 τῶν ἐχόντων ὁτουοῦν F τῶν κινήσεων εἶναι E 32 ἀλλοίωσιν καὶ αὔξησιν FJ[2] : αὔξησις καὶ ἀλλοίωσις K 33 τελευμένων FI : τελειουμένων H : τελουμένων J 261[a] 3 ἐπειδὴ F γ' om. FI : δ' H 4 γίνεσθαι H 5 πρότερον K 7 ὂν] ὂν καὶ H 9 ἄφθαρτα E[1] 10 πρότερον E 13 τε E[2]J[1]P : δὲ FHIJ[2] : τε εἰ KS : om. E[1] 16 ζώντων EFIJKS : ζῴων HP τοῦ ὀργάνου om. E[2]KP οἷον] ὑπάρχει οἷον F

değişikten daha iyidir; madem biz doğada olanaklı olduğu ölçüde bulunanı 'daha iyi' diye kabul ediyoruz ve onun sürekli olması olanaklı (bunu daha sonra göstereceğiz, şimdilik bunu kabul edelim) ve madem bu devinim, başka bir devinim değil, yer değiştirme olabilir, yer değiştirmenin ilk gelen devinim olması zorunlu. Nitekim yer değiştiren nesnenin büyümesi ya da nitelik değiştirmesi için hiçbir zorunluluk yok, demek ki oluşması ya da yokolması için de bir zorunluluk yok. Oysa ilk devindirici'nin gerçekleştirdiği sürekli devinim olmazsa, öteki devinimlerin hiçbiri olası değil.

Öte yandan zaman açısından da ilk olması zorunlu, çünkü ebedi nesnelerin yalnızca yer değiştirme açısından devinmesi olası. Ama oluş geçiyan varlıkların birinde yer değiştirme devinimlerin en sonuncusudur, bu zorunlu, çünkü oluşmaktan sonra ilk gelen, nitelik değiştirme ve büyümedir, oysa yer değiştirme [gelişmesini] çoktan tamamlamış nesnelerin devinimidir. Ne ki, oluşan nesneler için oluş nedeni olacak olan, oluşmayan başka bir nesnenin, yer değiştirme açısından daha önce devinen nesne olması zorunlu, tıpkı doğuranın doğandan önceliği gibi. Çünkü ilkin nesnenin oluşması gerektiğinden ötürü, devinimlerin ilki 'oluş'tur diye düşünülebilir. Oluşan nesnelerin hangisi bu durumda olursa olsun, oluşan nesnelerden önce, kendisi varolan ve oluşmayan başka bir şeyin devinmesi zorunlu, bundan daha önce de başka bir şeyin...[91] Madem oluşun ilk devinim olması olanaksız (yoksa devinen bütün nesneler gelip-geçici nesneler olurdu), şu açık: [oluşun] ardından gelen devinimlerin hiçbiri de daha önce değildir. 'Ardından' ile kastettiğim, büyüme, nitelik değiştirme, eksilme, yokolma, çünkü bunların hepsi oluştan sonra gelir. Dolayısıyla oluş bile yer değiştirmeden önce değilse, öteki değişmelerin hiçbiri de önce gelmez.

Genelde, oluşmakta olan nesnenin tam olmayan, ilkesine gitmekte olan bir şey olduğu görünüyor, dolayısıyla oluş açısından sonra gelen şey doğa açısından öncelik taşır. Oluş içindeki bütün nesneler için yer değiştirme [yeteneği] en son gelir. Bunun için kimi canlılar [organ] eksikliği yüzünden devinimsizdir: sözgelişi bitkiler,

7. 260b 22 — 261b 12

καὶ πολλὰ γένη τῶν ζώων, τοῖς δὲ τελειουμένοις ὑπάρχει. ὥστ' εἰ μᾶλλον ὑπάρχει φορὰ τοῖς μᾶλλον ἀπειληφόσιν τὴν φύσιν, καὶ ἡ κίνησις αὕτη πρώτη τῶν ἄλλων ἂν εἴη κατ' οὐσίαν, διά τε ταῦτα καὶ διότι ἡκιστα τῆς οὐσίας ἐξίσταται τὸ κινούμενον τῶν κινήσεων ἐν τῷ φέρεσθαι· κατὰ μόνην γὰρ οὐδὲν μεταβάλλει τοῦ εἶναι, ὥσπερ ἀλλοιουμένου μὲν τὸ ποιόν, αὐξανομένου δὲ καὶ φθίνοντος τὸ ποσόν. μάλιστα δὲ δῆλον ὅτι τὸ κινοῦν αὐτὸ αὑτὸ μάλιστα ταύτην κινεῖ κυρίως, τὴν κατὰ τόπον· καίτοι φαμὲν τοῦτο εἶναι τῶν κινουμένων καὶ κινούντων ἀρχὴν καὶ πρῶτον τοῖς κινουμένοις, τὸ αὐτὸ αὑτὸ κινοῦν.

ὅτι μὲν τοίνυν τῶν κινήσεων ἡ φορὰ πρώτη, φανερὸν ἐκ τούτων· τίς δὲ φορὰ πρώτη, νῦν δεικτέον. ἅμα δὲ καὶ τὸ νῦν καὶ πρότερον ὑποτεθέν, ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ καὶ ἀΐδιον, φανερὸν ἔσται τῇ αὐτῇ μεθόδῳ. ὅτι μὲν οὖν τῶν ἄλλων κινήσεων οὐδεμίαν ἐνδέχεται συνεχῆ εἶναι, ἐκ τῶνδε φανερόν. ἅπασαι γὰρ ἐξ ἀντικειμένων εἰς ἀντικείμενά εἰσιν αἱ κινήσεις καὶ μεταβολαί, οἷον γενέσει μὲν καὶ φθορᾷ τὸ ὂν καὶ τὸ μὴ ὂν ὅροι, ἀλλοιώσει δὲ τὰ ἐναντία πάθη, αὐξήσει δὲ καὶ φθίσει ἡ μέγεθος καὶ μικρότης ἢ τελειότης μεγέθους καὶ ἀτέλεια· ἐναντίαι δ' αἱ εἰς τὰ ἐναντία. τὸ δὲ μὴ αἰεὶ κινούμενον τήνδε τὴν κίνησιν, οὐ δὲ πρότερον, ἀνάγκη πρότερον ἠρεμεῖν. φανερὸν οὖν ὅτι ἠρεμήσει ἐν τῷ ἐναντίῳ τὸ μεταβάλλον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταβολῶν· ἀντίκειται γὰρ φθορὰ καὶ γένεσις ἁπλῶς καὶ ἡ καθ' ἕκαστον τῇ καθ' ἕκαστον. ὥστ' εἰ ἀδύνατον ἅμα μεταβάλλειν τὰς ἀντικειμένας, οὐκ ἔσται συνεχὴς ἡ μεταβολή, ἀλλὰ μεταξὺ ἔσται αὐτῶν χρόνος. οὐδὲν γὰρ διαφέρει ἐναντίας ἢ μὴ ἐναντίας εἶναι τὰς κατ' ἀντίφασιν μεταβολάς, εἰ μόνον ἀδύνατον ἅμα τῷ αὐτῷ παρεῖναι (τοῦτο γὰρ τῷ λόγῳ οὐδὲν χρήσιμον), οὐδ' εἰ μὴ ἀνάγκη ἠρεμῆσαι ἐν τῇ ἀντιφάσει, μηδ' ἐστὶν μεταβολὴ ἠρεμία ἐναντίον (οὐ γὰρ ἴσως ἠρεμεῖ τὸ μὴ ὄν, ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὄν), ἀλλ'

[a] 17 τῶν om. J ὑπάρχει om. F¹ 19 κἂν E²K αὐτὴ K ἂν om. E² 25 του κινουμένου K² καὶ] καὶ τῶν H1 26 αὐτὸ om. H αὐτὸ om. F 28 δεδεικταιον E¹ 29 τὸν K καὶ EKS: καὶ τὸ Λ ὅτι] ὅτι δὲ E¹ 33 αἱ] καὶ K 34 τὸ alt. EKT: om. ΛS [b] 2 οὖν] δ' E¹ 10 λόγῳ] ὅλῳ Bekker errore preli οὐδὲν om. FK 11 μηδ'] εἰ μηδ' J¹ μεταβολὴ ἠρεμίᾳ EFKP¹S: μεταβολῇ ἠρεμία HIJP²

pek çok canlı cinsi; oysa tamamlanmış olanlarda yer değiştirme [yetisi] bulunur. Dolayısıyla kendi doğasını daha çok elde etmiş nesnelerde yer değiştirme [yetisi] daha çok bulunuyorsa, bu devinim varlık açısından da öteki devinimlerden önce gelse gerek. Yalnızca bu nedenle değil, devinen nesne devinimler içinde en az yer değiştirme ile devinirken varlığından uzaklaşır, bu yüzden de, çünkü yalnızca bu devinimde varlığının/neliğinin bir şeyi değişmez, oysa nitelik değiştirenin niteliği, büyüyen ile eksilenin niceliği değişir. Ama özellikle şu açık: kendi kendini devindiren nesne asıl anlamda özellikle bu devinim açısından, yere göre devinim açısından devindirir. 'Kendi kendini devindiren nesnenin' devindiren ve aynı zamanda da devinen nesnelerin ilkesi, devinen nesnelere göre ilk gelen şey olduğunu ileri sürüyoruz.

İmdi devinimler içinde ilk devinimin yer değiştirme olduğu bunlardan açıkça görünüyor: ama hangi tür yer değiştirme 'ilk', bunu da şimdi göstermemiz gerekiyor. Aynı zamanda hem şimdiki hem de daha önceki kabulümüz de, yani sürekli ve ebedi bir devinimin olası olduğu yollu kabulümüz de bu araştırma ile açıklığa kavuşacak. Öteki devinim türlerinden hiçbirinin sürekli olamayacağı ise şuradan görülüyor: devinimlerin ve değişmelerin hepsi karşıtlardan karşıtlara, sözgelişi oluş ile yokoluş için sınırlar 'varolan' ile 'varolmayan'; nitelik değiştirme için karşıt etkilenimler; büyüme ile eksilme için ise ya büyüklük ile küçüklük ya da büyüklüğün tamamlanması ile tamamlanmaması. Karşıt devinimler ise karşıtlara yönelik devinimlerdir. Ne ki, bu devinim açısından her zaman devinmeyen ama daha önce varolan nesnenin daha önce durmakta olması zorunlu. Şu da açık: değişen nesne karşıtında duracaktır. Değişmelerde de bu böyle, çünkü mutlak anlamda yokoluş ile oluş karşıttır, tek nesnenin oluşu da tek nesnenin yokoluşuna karşıttır. Dolayısıyla karşıtların aynı anda değişmesi olanaksızsa, değişme sürekli olmayacak, onların arasında bir zaman aralığı olacaktır. Karşıoluma göre olan değişmelerin karşıt olması ya da olmaması da hiç farketmez, aynı nesnede, aynı anda bulunmalarının olanaksız olması [yeterli] (çünkü ötekinin bizim temellendirmemiz için hiçbir yararı yok); yine, karşıt durumda duradurmak zorunlu değilse, duradurmaya karşıt bir değişme de zorunlu değil (çünkü 'varolmayan' herhalde durmakta değildir, yokoluş ise 'varolmayan'a doğru gider), ama yalnızca arada bir

εἰ μόνον μεταξὺ γίγνεται χρόνος· οὕτω γὰρ οὐκ ἔστιν ἡ μεταβολὴ συνεχής· οὐδὲ γὰρ ἐν τοῖς πρότερον ἡ ἐναντίωσις χρήσιμον, ἀλλὰ τὸ μὴ ἐνδέχεσθαι ἅμα ὑπάρχειν.

οὐ δεῖ δὲ ταράττεσθαι ὅτι τὸ αὐτὸ πλείοσιν ἔσται ἐναντίον, οἷον ἡ κίνησις καὶ στάσει καὶ κινήσει τῇ εἰς τοὐναντίον, ἀλλὰ μόνον τοῦτο λαμβάνειν, ὅτι ἀντίκειταί πως καὶ τῇ κινήσει καὶ τῇ ἠρεμίᾳ ἡ κίνησις ἡ ἐναντία, καθάπερ τὸ ἴσον καὶ τὸ μέτριον τῷ ὑπερέχοντι καὶ τῷ ὑπερεχομένῳ, καὶ ὅτι οὐκ ἐνδέχεται ἅμα τὰς ἀντικειμένας οὔτε κινήσεις οὔτε μεταβολὰς ὑπάρχειν. ἔτι δ' ἐπί τε τῆς γενέσεως καὶ τῆς φθορᾶς καὶ παντελῶς ἄτοπον ἂν εἶναι δόξειεν, εἰ γενόμενον εὐθὺς ἀνάγκη φθαρῆναι καὶ μηδένα χρόνον διαμεῖναι. ὥστε ἐκ τούτων ἂν ἡ πίστις γένοιτο ταῖς ἄλλαις· φυσικὸν γὰρ τὸ ὁμοίως ἔχειν ἐν ἁπάσαις.

Ὅτι δ' ἐνδέχεται εἶναί τινα ἄπειρον, μίαν οὖσαν καὶ 8
συνεχῆ, καὶ αὕτη ἐστὶν ἡ κύκλῳ, λέγωμεν νῦν. πᾶν μὲν γὰρ κινεῖται τὸ φερόμενον ἢ κύκλῳ ἢ εὐθεῖαν ἢ μικτήν, ὥστ' εἰ μηδ' ἐκείνων ἡ ἑτέρα συνεχής, οὐδὲ τὴν ἐξ ἀμφοῖν οἷόν τ' εἶναι συγκειμένην· ὅτι δὲ τὸ φερόμενον τὴν εὐθεῖαν καὶ πεπερασμένην οὐ φέρεται συνεχῶς, δῆλον· ἀνακάμπτει γάρ, τὸ δ' ἀνακάμπτον τὴν εὐθεῖαν τὰς ἐναντίας κινεῖται κινήσεις· ἐναντία γὰρ κατὰ τόπον ἡ ἄνω τῇ κάτω καὶ ἡ εἰς τὸ πρόσθεν τῇ εἰς τοὔπισθεν καὶ ἡ εἰς ἀριστερὰ τῇ εἰς δεξιά· τόπου γὰρ ἐναντιώσεις αὗται. τίς δ' ἐστὶν ἡ μία καὶ
262ª συνεχὴς κίνησις, διώρισται πρότερον, ὅτι ἡ τοῦ ἑνὸς καὶ ἐν ἑνὶ χρόνῳ καὶ ἐν ἀδιαφόρῳ κατ' εἶδος (τρία γὰρ ἦν, τό τε κινούμενον, οἷον ἄνθρωπος ἢ θεός, καὶ ὅτε, οἷον χρόνος, καὶ τρίτον τὸ ἐν ᾧ· τοῦτο δ' ἐστὶν τόπος ἢ πάθος ἢ εἶδος ἢ

ᵇ 13 οὐκ om. E^2 ἔσται HIJK 14 ἡ E^2KΛS : om. E^1 15 χρήσιμος FHS 16 ἡ] εἰ HIJ¹ 18 λαβεῖν K 20 τῷ alt. EFKS : om. HIJ 22 καὶ alt. om. H 23 εὐθὺς ἀνάγκη EKT : ἀνάγκη εὐθὺς Λ 25 γίγνοιτο E^2IJ : E^1 incertum 26 ἁπάσαις E^2KΛS : πάσαις E^1 27 εἶναί τινα KΛPS : τινα εἶναι E 28 ἡ E^2KΛP : ἡ τεχνὴ ἡ E^1 λέγωμεν EIJP : λέγομεν FHK μὲν EJKS : om. FHIT 32 συνεχὴ I 34 τῇ ἄνω ἡ κάτω IJ et ante κατὰ τόπον F ἡ om. J 35 ἔμπροσθεν E^2 εἰς τὰ (τὰ om. J) δεξιὰ τῇ εἰς τὰ ἀριστερά Λ 262ª 1 ἐν om. I 2 ἦν] ἐστι FHIP 4 τρίτον τὸ FHIPS : τὸ τρίτον E^1J : τρίτον E^2K δ' om. I ἐστὶν] ἐστιν ἢ H τόπος ... 5 μέγεθος EKP : τόπος ἢ πάθος ἢ μέγεθος ἢ εἶδος S : πάθος ἢ εἶδος ἢ τόπος ἢ μέγεθος Λ

zaman olması önemli. Nitekim değişme bu biçimde sürekli olmaz. Daha önceki karşıolum durumu da [temellendirmemiz için] yararlı değil, aynı anda bulunmalarının olası olmaması yararlı.

Aynı nesnenin pek çok şeye karşıt olması da, sözgelişi bir devinimin hem bir durmaya hem de karşıtına olan devinime karşıt olması da bizi şaşırtmasın. Yalnızca şunları gözönüne almak gerekiyor: [1] karşıt devinim bir biçimde hem devinime hem de duradurmaya karşıt olur, sözgelişi *eşit* ile ölçülü hem 'eksik'e hem de 'artık'a karşıttır, ve [2] karşıt devinimlerin de değişmelerin de aynı anda bulunmaları olası değildir. Öte yandan oluş ve yokoluşla ilgili olarak, oluşan nesnenin doğrudan/hemen yokolması ve hiçbir zaman kalmaması zorunluluğu hepten saçma görünse gerek. Dolayısıyla burdan öteki devinimler için de sonuca (pistis) varılabilir, çünkü "her şeyde aynı şekilde olmak" doğal olanın bir özelliğidir.

8 Tek, sürekli olan sonsuz bir devinimin varolmasının olası olduğunu ve bunun daire biçiminde olduğunu ise şimdi söyleyelim. Yer değiştiren her nesne ya daire biçiminde ya düz ya da [ikisinin] karışımı biçimde devinir. Dolayısıyla ilk ikisinden biri sürekli değilse, ikisinden oluşan devinimin sürekli olması da olanaklı değil. Doğrusal ve sınırlı bir devinimle yer değiştiren nesnenin sürekli yer değiştirmediği açık, çünkü o geri dönmek zorunda, doğrusal bir devinimle geri dönen nesne ise karşıt devinimler gerçekleştirir: nitekim yukarı devinim aşağı olana, öne olan arkaya olana, sola devinim sağa devinime yer açısından karşıttır. Oysa tek ve sürekli devinimin hangi devinim olduğunu daha önce belirlemiştik[92]: tek nesnenin, tek zamanda, türce farksız devinimle devinimi (üç öğe olduğunu söylediydik: devinen nesne, *sözgelişi insan* ya da bir tanrı; geçen süre, sözgelişi belli bir zaman; üçüncüsü de devinim nede gerçekleştiyse o, bu sonuncusu bir yer, bir etkilenim,

7. 261b 13 — 8. 262a 23

μέγεθος). τὰ δ' ἐναντία διαφέρει τῷ εἴδει, καὶ οὐχ ἓν· τό- 5
που δ' αἱ εἰρημέναι διαφοραί. σημεῖον δ' ὅτι ἐναντία ἡ κίνη-
σις ἡ ἀπὸ τοῦ Α πρὸς τὸ Β τῇ ἀπὸ τοῦ Β πρὸς τὸ Α, ὅτι
ἱστᾶσιν καὶ παύουσιν ἀλλήλας, ἐὰν ἅμα γίγνωνται. καὶ
ἐπὶ κύκλου ὡσαύτως, οἷον ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β τῇ ἀπὸ
τοῦ Α ἐπὶ τὸ Γ (ἱστᾶσι γάρ, κἂν συνεχεῖς ὦσιν καὶ μὴ γί- 10
γνηται ἀνάκαμψις, διὰ τὸ ταναντία φθείρειν καὶ κωλύειν ἄλ-
ληλα)· ἀλλ' οὐχ ἡ εἰς τὸ πλάγιον τῇ ἄνω. 12

μάλιστα δὲ φα- 12
νερὸν ὅτι ἀδύνατον εἶναι συνεχῆ τὴν ἐπὶ τῆς εὐθείας κίνησιν,
ὅτι ἀνακάμπτον ἀναγκαῖον στῆναι, οὐ μόνον ἐπ' εὐθείας,
ἀλλὰ κἂν κύκλον φέρηται. οὐ γὰρ ταὐτὸν κύκλῳ φέρε- 15
σθαι καὶ κύκλον· ἔστιν γὰρ ὁτὲ μὲν συνείρειν κινούμενον, ὁτὲ
δ' ἐπὶ τὸ αὐτὸ ἐλθὸν ὅθεν ὡρμήθη ἀνακάμψαι πάλιν. ὅτι
δ' ἀνάγκη ἵστασθαι, ἡ πίστις οὐ μόνον ἐπὶ τῆς αἰσθήσεως
ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου. ἀρχὴ δὲ ἤδε. τριῶν γὰρ ὄντων,
ἀρχῆς μέσου τελευτῆς, τὸ μέσον πρὸς ἑκάτερον ἄμφω ἐστίν, 20
καὶ τῷ μὲν ἀριθμῷ ἕν, τῷ λόγῳ δὲ δύο. ἔτι δὲ ἄλλο
ἐστὶν τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, ὥστε τῆς εὐθείας τῶν ἐντὸς
τῶν ἄκρων ὑτιοῦν σημεῖον δυνάμει μέν ἐστι μέσον, ἐνεργείᾳ
δ' οὐκ ἔστιν, ἐὰν μὴ διέλῃ ταύτῃ καὶ ἐπιστὰν πάλιν ἄρξηται
κινεῖσθαι· οὕτω δὲ τὸ μέσον ἀρχὴ γίγνεται καὶ τελευτή, 25
ἀρχὴ μὲν τῆς ὑστέρου, τελευτὴ δὲ τῆς πρώτης (λέγω δ'
οἷον ἐὰν φερόμενον τὸ Α στῇ ἐπὶ τοῦ Β καὶ πάλιν φέρηται
ἐπὶ τὸ Γ). ὅταν δὲ συνεχῶς φέρηται, οὔτε γεγονέναι οὔτε
ἀπογεγονέναι οἷόν τε τὸ Α κατὰ τὸ Β σημεῖον, ἀλλὰ μό-
νον εἶναι ἐν τῷ νῦν, ἐν χρόνῳ δ' οὐδενὶ πλὴν οὗ τὸ νῦν ἐστιν διαί- 30
ρεσις, ἐν τῷ ὅλῳ [τῷ ΑΒΓ]. (εἰ δὲ γεγονέναι τις θήσει
καὶ ἀπογεγονέναι, ἀεὶ στήσεται τὸ Α φερόμενον· ἀδύνατον

a 6 αἱ εἰρημέναι ΚΛS : εἰρημέναι αἱ E ἡ KS : om. EΛ 9 ἡ] εἰ I
Β . . . 10 Γ] γ . . . β E^2K : τῇ . . . γ om. E^1 10 γίνεται EK
12 οὐχ EHIKPS : οὐχὶ FJ τὰ πλάγια ST τὸ erasit E, om. P
14 ἐπ] ἐπὶ της Λ 15–16 κυκλω . . . κύκλον (καὶ om. E^1) EIJKPS :
κυκλον . . . κυκλω FH 17 ἀνακάμπτειν FHIJ^1 19 ἀπὸ F
21 λόγῳ δὲ EHKST : δὲ λόγῳ FIJ δὲ om. H 23 μέν om.
E^1 24 διελῃται F ταυτῃ E^2 et fort. T : ταυτην E^1KΛ
25 κεῖσθαι E^1 27 ἐπὶ τοῦ β στῇ F 28 δὲ om. E^1 29 κατὰ]
καὶ E^1J^1 30 ἐν alt. om. E^1K πλὴν εἰ οὗ F ἐστιν διαίρεσις
EKS : διαίρεσίς ἐστιν Λ 31 ἐν om. EK τοῦ ὅλου τινός K^2
τῷ ΑΒΓ om. EK φησει K^1 : θήσει ἐν τοῖς δυνάμει σημείοις K^2

bir biçim ya da bir büyüklük/kütle olabilir).[93] Oysa karşıt olanlar türce farklıdır ve tek değildir, yerin ise söylediğimiz ayırımları var. Kanıtı şu: A'dan B'ye devinim, B'den A'ya olana karşıt, çünkü aynı anda oluşsalar bile, birbirlerinde duraklarlar ya da son bulurlar. Çember biçimindeki devinimde de bu böyle, sözgelişi B çemberinde A'dan olan devinim, C çemberindeki A'dan olana karşıttır (çünkü sürekli olsalar ve geri dönme olmasa bile duraklarlar, çünkü karşıtlar birbirini engeller ve yokeder). Oysa bükümlü giden devinim yukarı gidene karşıt değil.

Özellikle de şu açık: doğru çizgi üzerindeki devinimin sürekli olması olanaksız, çünkü geri dönerken yalnızca doğru çizgide giden değil, aynı zamanda dairesel giden bir nesne olsa bile duraklaması zorunlu. Nitekim dairesel gitmek ile daire üzerinde yer değiştirmek aynı şey değil. Çünkü öteki durumda, devinen nesne bazan ilerlemeyi sürdürür, bazan hareket ettiği noktaya varınca yeniden geri döner. Durmasının zorunlu olduğunun kanıtı ise, yalnızca duyuma bağlı değil, akla da bağlı. İlkemiz ise şu: [devinimde] üç nokta var: başlangıç, orta, son. Orta, herikisi açısından da heriki durumda olabilir ve sayıca tek, tanımca ikidir. Ayrıca olanak halinde olan ile etkinlik halinde olan başka başka. Dolayısıyla düz çizginin uçlar arasındaki herhangi bir noktası olanak halinde ortadadır, ama çizgiyi ortadan bölmedikçe ve durakladıktan sonra yeniden devinmeye başlamadıkça etkinlik halinde orta değildir. Ama bu durumda orta, hem başlangıç hem son olur, son devinimin başı, ilk devinimin sonu (dediğim şu: sözgelişi devinmekte olan A, B'de duraklar ve yeniden C'ye doğru yer değiştirir). Sürekli yer değiştirildiği zaman A'nın B noktasında olması ya da oradan uzaklaşması olanaklı değil, onun yalnızca 'an' içinde olması olanaklı, ama bölümü 'an' olan bütün <ABC> zamanı dışında hiçbir 'an' içinde değil (ama onun B'ye yaklaşıp oradan uzaklaştığı kabul edilecek olsa, bu durumda A, yer değiştirirken hep duracaktır,

262[b] γὰρ τὸ Α ἅμα γεγονέναι τε ἐπὶ τοῦ Β καὶ ἀπογεγονέναι. ἐν ἄλλῳ ἄρα καὶ ἄλλῳ σημείῳ χρόνου. χρόνος ἄρα ἔσται ὁ ἐν μέσῳ. ὥστε ἠρεμήσει τὸ Α ἐπὶ τοῦ Β. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σημείων· ὁ γὰρ αὐτὸς λόγος ἐπὶ πάντων. ὅταν δὴ χρήσηται τὸ φερόμενον Α τῷ Β μέσῳ καὶ τελευτῇ καὶ ἀρχῇ, ἀνάγκη στῆναι διὰ τὸ δύο ποιεῖν, ὥσπερ ἂν εἰ καὶ νοήσειεν.) ἀλλ' ἀπὸ μὲν τοῦ Α σημείου ἀπογέγονε τῆς ἀρχῆς, ἐπὶ δὲ τοῦ Γ γέγονεν, ὅταν τελευτήσῃ καὶ στῇ.

διὸ καὶ πρὸς τὴν ἀπορίαν τοῦτο λεκτέον· ἔχει γὰρ ἀπορίαν τήνδε. εἰ γὰρ εἴη ἡ τὸ Ε τῇ Ζ ἴση καὶ τὸ Α φέροιτο συνεχῶς ἀπὸ τοῦ ἄκρου πρὸς τὸ Γ, ἅμα δ' εἴη τὸ Α ἐπὶ τῷ Β σημείῳ, καὶ τὸ Δ φέροιτο ἀπὸ τῆς Ζ ἄκρας πρὸς τὸ Η ὁμαλῶς καὶ τῷ αὐτῷ τάχει τῷ Α, τὸ Δ ἔμπροσθεν ἥξει ἐπὶ τὸ Η ἢ τὸ Α ἐπὶ τὸ Γ· τὸ γὰρ πρότερον ὁρμῆσαν καὶ ἀπελθὸν πρότερον ἐλθεῖν ἀνάγκη. οὐ γὰρ ἅμα γέγονε τὸ Α ἐπὶ τῷ Β καὶ ἀπογέγονεν ἀπ' αὐτοῦ, διὸ ὑστερίζει. εἰ γὰρ ἅμα, οὐχ ὑστεριεῖ, ἀλλ' ἀνάγκη ἔσται ἴστασθαι. οὐκ ἄρα θετέον, ὅτε τὸ Α ἐγένετο κατὰ τὸ Β, τὸ Δ ἅμα κινεῖσθαι ἀπὸ τοῦ Ζ ἄκρου (εἰ γὰρ ἔσται γεγονὸς τὸ Α ἐπὶ τοῦ Β, ἔσται καὶ τὸ ἀπογενέσθαι, καὶ οὐχ ἅμα), ἀλλ' ἦν ἐν τομῇ χρόνου καὶ οὐκ ἐν χρόνῳ. ἐνταῦθα μὲν οὖν ἀδύνατον οὕτως λέγειν ἐπὶ τῆς συνεχοῦς· ἐπὶ δὲ τοῦ ἀνακάμπτοντος ἀνάγκη λέγειν οὕτως. εἰ γὰρ ἡ τὸ Η φέροιτο πρὸς τὸ Δ καὶ πάλιν ἀνακάμψασα κάτω φέροιτο, τῷ ἄκρῳ ἐφ' οὗ Δ τελευτῇ καὶ ἀρχῇ κέχρηται, τῷ ἑνὶ σημείῳ ὡς δύο· διὸ στῆναι ἀνάγκη· καὶ οὐχ ἅμα γέγονεν ἐπὶ τῷ Δ καὶ ἀπελήλυθεν ἀπὸ τοῦ Δ· ἐκεῖ γὰρ ἂν ἅμα εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ νῦν. ἀλλὰ μὴν τήν γε πάλαι λύσιν οὐ λεκτέον·

[b] 1 τὸ A om. HI τε] τὸ α HIJ ἐπὶ τὸ β F : κατὰ τὸ β HIJ : om. K 2 ἐν] ἀλλ' ἐν I ἄρα] γὰρ K καὶ ἄλλῳ om. E^1S 5 δὴ scripsi : δὲ ΠS ἀρχῇ καὶ τελευτῇ Λ 7–8 τῆς . . . γέγονεν om. K 8 τὸ E^2 ὅτι τελευτήσει J^1 9 τοῦτο . . . ἀπορίαν om. E^1 11 τὸ β σημεῖον I 13 τῷ Α om. E τὸ Δ om. J : τὸ β FHI 15 οὐ γὰρ ἅμα scripsi, hab. ut vid. S : οὐκ ἄρα ἅμα E^1Λ : οὐχ ἅμα ἄρα E^2K 16 διὸ] διὸ καὶ F 17 ὑστερεῖ HI ἔσται EHIJS : om. FK 18 ἐγένετο ΚΑS : ἐγίνετο E κινεῖσθαι ἅμα E 20 ἐστὶν J^1 τομῇ] τὸ μ I 22 τῆς συνεχοῦς EFJKP : τοῦ συνεχοῦς HIS[1] : τοῦ συνεχῶς Gaye 23 λύειν F πρὸς . . . 24 φέροιτο om. E^1 24 ἐφ' οὗ] ἐφ' οὗ τὸ K : τῷ Λ 25 κέχρηται καὶ ἀρχῇ Λ 26 τοῦ FHI 27 ἂν EFIJS : om. HK 28 μὴν] δὴ J

çünkü A'nın B'ye aynı anda hem yaklaşması hem de ondan uzaklaşması 262b
olanaksız. Demek ki, o zamanın başka başka noktalarında olacaktır, yani zaman ortada olan şey olacak, dolayısıyla, A, B'de duraklayacaktır, öteki noktalarda da bu böyle olacaktır, çünkü bütün noktalar için temellendirme aynı olur. Ama yer değiştirmekte olan A, B'yi orta, son ve başlangıç 5
olarak kullandığında duraklamak zorundadır, çünkü o düşünebilirmiş gibi, bir ikilik yaratır). Ne ki aslında nesne devinimi tamamladığı ve durduğu zaman başlangıç noktası A'dan ayrılmış C'ye gelmiştir.

Bunun için sözkonusu güçlükle ilgili olarak da bunu söylemek gerekiyor: nitekim şu sorun var: E çizgisi F çizgisine eşit olsa ve A nesnesi 10
F'nin ucundan C'ye sürekli olarak yer değiştirse, aynı anda da A, B noktasında olsa ve D nesnesi F'nin ucundan G'ye doğru A ile aynı ölçüde ve aynı hızla gitse, A, C'ye gelmeden önce, D, G'ye varacaktır, çünkü daha önce devinime başlayan ve yola çıkan nesnenin daha önce varması zorunlu[94]. Nitekim A, B'ye aynı anda varmamıştır ve oradan uzaklaşma- 15
mıştır, işte bunun için daha geç varır. Oysa aynı anda varsa, daha geç varmayacak, duraklamak zorunda olacaktır. Demek ki, A B'ye vardığında D'nin aynı anda F'den yola çıktığını düşünmemek gerekir (çünkü A, B'ye varmış olacaksa, ordan ayrılmış da olacaktır ve bu aynı anda olma- 20
yacaktır); onun [B]'de bir zamanda değil, bir zaman bölümünde olduğunu düşünmeli idi. İmdi burada sürekli [devinimden] sözetmek olanaksız, ama geri dönen nesneden sözetmek zorunlu, çünkü G D'ye doğru devinirse, orada yeniden döner ve aşağıya giderse, uç nokta olan D'yi hem son hem de başlangıç olarak, tek noktayı ikiymiş gibi kullanmış olur. Bunun için duraklaması zorunlu. Ve D'ye varışı ile D'den ayrılışı aynı 25
anda olmamıştır. Çünkü [G] orada aynı an içinde hem olabilir hem de olamaz. Ama buraya eski çözümü de getirmemeli, çünkü bir zaman

8. 262b 1 — 263a 23

οὐ γὰρ ἐνδέχεται λέγειν ὅτι ἐστὶν κατὰ τὸ Δ ἢ τὸ Η ἐν τομῇ, οὐ γέγονε δὲ οὐδ' ἀπογέγονεν. ἀνάγκη γὰρ ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὄν, μὴ δυνάμει. τὰ μὲν οὖν ἐν μέσῳ δυνάμει ἔστι, τοῦτο δ' ἐνεργείᾳ, καὶ τελευτὴ μὲν κάτωθεν, ἀρχὴ δὲ ἄνωθεν· καὶ τῶν κινήσεων ἄρα ὡσαύτως. ἀνάγκη ἄρα στῆναι τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας. οὐκ ἄρα ἐνδέχεται συνεχῆ κίνησιν εἶναι ἐπὶ τῆς εὐθείας ἀΐδιον.

τὸν αὐτὸν δὲ τρόπον ἀπαντητέον καὶ πρὸς τοὺς ἐρωτῶντας τὸν Ζήνωνος λόγον, [καὶ ἀξιοῦντας,] εἰ ἀεὶ τὸ ἥμισυ διιέναι δεῖ, ταῦτα δ' ἄπειρα, τὰ δ' ἄπειρα ἀδύνατον διεξελθεῖν, ἢ ὡς τὸν αὐτὸν τοῦτον λόγον τινὲς ἄλλως ἐρωτῶσιν, ἀξιοῦντες ἅμα τῷ κινεῖσθαι τὴν ἡμίσειαν πρότερον ἀριθμεῖν καθ' ἕκαστον γιγνόμενον τὸ ἥμισυ, ὥστε διελθόντος τὴν ὅλην ἄπειρον συμβαίνει ἠριθμηκέναι ἀριθμόν· τοῦτο δ' ὁμολογουμένως ἐστὶν ἀδύνατον.

ἐν μὲν οὖν τοῖς πρώτοις λόγοις τοῖς περὶ κινήσεως ἐλύομεν διὰ τοῦ τὸν χρόνον ἄπειρα ἔχειν ἐν αὑτῷ· οὐδὲν γὰρ ἄτοπον εἰ ἐν ἀπείρῳ χρόνῳ ἄπειρα διέρχεταί τις· ὁμοίως δὲ τὸ ἄπειρον ἔν τε τῷ μήκει ὑπάρχει καὶ ἐν τῷ χρόνῳ. ἀλλ' αὕτη ἡ λύσις πρὸς μὲν τὸν ἐρωτῶντα ἱκανῶς ἔχει (ἠρωτᾶτο γὰρ εἰ ἐν πεπερασμένῳ ἄπειρα ἐνδέχεται διεξελθεῖν ἢ ἀριθμῆσαι), πρὸς δὲ τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν οὐχ ἱκανῶς· ἂν γάρ τις ἀφέμενος τοῦ μήκους καὶ τοῦ ἐρωτᾶν εἰ ἐν πεπερασμένῳ χρόνῳ ἐνδέχεται ἄπειρα διεξελθεῖν, πυνθάνηται ἐπ' αὐτοῦ τοῦ χρόνου ταῦτα (ἔχει γὰρ ὁ χρόνος ἀπείρους διαιρέσεις), οὐκέτι ἱκανὴ ἔσται αὕτη ἡ λύσις, ἀλλὰ τὸ ἀληθὲς λεκτέον, ὅπερ εἴπομεν ἐν τοῖς ἄρτι λόγοις. ἐὰν γάρ τις τὴν συνεχῆ διαιρῇ εἰς δύο ἡμίση,

b 29 τὰ δ E 30 τομῇ] τῷ μ I οὐ] οὐδὲ F: οὔτε HI 31 μὴ] καὶ μὴ F: οὐ K: om. H γρ. A τὰ ES: τὸ KΛ 32 τελευτὴ K 263a 1 ἄρα AS: om. EK 3 εἶναι . . . ἀΐδιον Prantl: εἶναι . . . ἴδιον E1: εἶναι ἀΐδιον ἐπὶ τῆς εὐθείας E2K: ἀΐδιον εἶναι ἐπὶ τῆς εὐθείας Λ: εἶναι ἐπὶ ἀΐδιον τῆς εὐθείας Bekker 5 καὶ ἀξιοῦντας seclusi, om. fort. S εἰ om. K δεῖ διιέναι H: διιέναι K 6 δ' alt. om. J1 διεξελθεῖν ἀδύνατον FH: ἀδύνατον ἐξελθεῖν I 7 τινες λόγον IJ ἐρωτῶσιν ἀλλ' ὡς K 9 γενόμενον H συμβαίνειν ἄπειρον K 10 συμβαίη F 11 ἀδύνατον . . . κινήσεως supra lituram E2 τοῖς om. K 12 διαυτου E: διὰ τὸ FHK ἔχειν ἄπειρα FHJ ἐν om. E1 14 ὑπάρχει post a15 χρόνῳ FIJ: ὑπάρχειν K: om. H 16 ἄπειρα] χρόνῳ ἄπειρα KS 17 διεξελθεῖν EIJKS: διελθεῖν FH 19 ἄπειρα διεξελθειν EJKS: διεξελθειν ἄπειρα FHI

bölümünde G'nin D'de olduğunu, oraya vardığım ya da ordan ayrıldığımı söylemek olası değil, nitekim [G]'nin olanak halinde değil, etkinlik halinde olan bir sona/amaca varması zorunlu. İmdi ortadaki noktalar olanak halindedir, ama uç etkinlik halindedir, aşağıdan bakıldıkta son, yukarıdan bakıldıkta başlangıçtır. Öyleyse devinimlerde de bu böyledir. Demek ki, doğru çizgi üzerinde geri dönen nesnenin duraklaması zorunlu. O halde düz çizgi üzerinde sürekli bir devinimin ebedi olması olası değil. 263a

Zenon'un temellendirmesini soru olarak koyanlara, yani, nesnenin hep yarı yolu geçmesi gerekiyorsa, bu yarı yolların sonsuz olduğunu, sonsuza varmanın olanaksız olduğunu [düşünenlere] de aynı tarzda karşı çıkmak gerekiyor; ya da bu aynı temellendirmeyi başka biçimde öne sürenlere, yani "yarı devinim içinde gerçekleşen yarı zamanla birlikte daha önce herbir yarımdan çıkan yarımları saymak gerekir, dolayısıyla nesne [yarının] tümünü geçtiğinde sonsuz sayının sayılmış olması sözkonusu olur" diye düşünenlere de. Berikinin olanaksızlığına herkes katılır.

İmdi devinim üzerine yaptığımız ilk konuşmalarda, zamanın kendi içinde sonsuz öğeler taşıdığını göstererek [sorunu] çözmüştük. Çünkü eğer sonsuz zaman içinde sonsuz sayıda nokta geçiliyorsa, bir tutarsızlık yoktur. Sonsuzluk ise hem uzunlukta hem de zamanda aynı şekilde sözkonusudur. Ne ki, bu çözüm soruyu koyana karşı yeterli (çünkü sınırlı bir nesne içinde sonsuzu geçmek ya da [sonsuza değin] saymak olası mı, değil mi, soru bu) ama nesne ile, hakikatle ilgili olarak yeterli değil. Nitekim uzunluğu ve sınırlı bir zamanda sonsuza ulaşılıp ulaşılamayacağı sorusunu bir yana bırakarak, [yalnızca] zamanın kendisiyle ilgili olarak bunları bilmek istersek (nitekim zamanın sonsuz bölümleri var), artık bu çözüm yeterli olmayacaktır ve az önceki konuşmamızda sözünü ettiğimiz[95] hakikati söylemek gerekecektir. Çünkü biri sürekli çizgiyi iki yarıma ayıracak olsa, tek noktayı ikiymiş gibi

οὗτος τῷ ἑνὶ σημείῳ ὡς δυσὶ χρῆται· ποιεῖ γὰρ αὐτὸ ἀρ-
25 χὴν καὶ τελευτήν. οὕτω δὲ ποιεῖ ὅ τε ἀριθμῶν καὶ ὁ εἰς
τὰ ἡμίσια διαιρῶν. οὕτω δὲ διαιρουντος οὐκ ἔσται συνεχὴς οὐθ'
ἡ γραμμὴ οὔθ' ἡ κίνησις· ἡ γὰρ συνεχὴς κίνησις συνεχοῦς
ἐστιν, ἐν δὲ τῷ συνεχεῖ ἔνεστι μὲν ἄπειρα ἡμίση, ἀλλ' οὐκ
ἐντελεχείᾳ ἀλλὰ δυνάμει. ἂν δὲ ποιῇ ἐντελεχείᾳ, οὐ ποιή-
30 σει συνεχῆ, ἀλλὰ στήσει, ὅπερ ἐπὶ τοῦ ἀριθμοῦντος τὰ ἡμί-
σεα φανερόν ἐστιν ὅτι συμβαίνει· τὸ γὰρ ἓν σημεῖον ἀνάγκη
263[b] αὐτῷ ἀριθμεῖν δύο· τοῦ μὲν γὰρ ἑτέρου τελευτὴ ἡμίσεος
τοῦ δ' ἑτέρου ἀρχὴ ἔσται, ἂν μὴ μίαν ἀριθμῇ τὴν συνεχῆ,
ἀλλὰ δύο ἡμισείας. ὥστε λεκτέον πρὸς τὸν ἐρωτῶντα εἰ ἐν-
δέχεται ἄπειρα διεξελθεῖν ἢ ἐν χρόνῳ ἢ ἐν μήκει, ὅτι ἔστιν
5 ὡς, ἔστιν δ' ὡς οὔ. ἐντελεχείᾳ μὲν γὰρ ὄντα οὐκ ἐνδέχεται,
δυνάμει δὲ ἐνδέχεται· ὁ γὰρ συνεχῶς κινούμενος κατὰ συμ-
βεβηκὸς ἄπειρα διελήλυθεν, ἁπλῶς δ' οὔ· συμβέβηκε γὰρ
τῇ γραμμῇ ἄπειρα ἡμίσεα εἶναι, ἡ δ' οὐσία ἐστὶν ἑτέρα καὶ
9 τὸ εἶναι.

9 δῆλον δὲ καὶ ὅτι ἐὰν μή τις ποιῇ τοῦ χρόνου τὸ
10 διαιροῦν σημεῖον τὸ πρότερον καὶ ὕστερον ἀεὶ τοῦ ὑστέρου τῷ
πράγματι, ἔσται ἅμα τὸ αὐτὸ ὂν καὶ οὐκ ὄν, καὶ ὅτε γέ-
γονεν οὐκ ὄν. τὸ σημεῖον μὲν οὖν ἀμφοῖν κοινόν, καὶ τοῦ
προτέρου καὶ τοῦ ὑστέρου, καὶ ταὐτὸν καὶ ἓν ἀριθμῷ, λόγῳ
δ' οὐ ταὐτόν (τοῦ μὲν γὰρ τελευτή, τοῦ δ' ἀρχή)· τῷ δὲ
15 πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστίν. χρόνος ἐφ' ᾧ ΑΓΒ,
πρᾶγμα ἐφ' ᾧ Δ. τοῦτο ἐν μὲν τῷ Α χρόνῳ λευκόν, ἐν δὲ
τῷ Β οὐ λευκόν· ἐν τῷ ἄρα Γ λευκὸν καὶ οὐ λευκόν. ἐν ὁτῳοῦν
γὰρ τοῦ Α λευκὸν ἀληθὲς εἰπεῖν, εἰ πάντα τὸν χρόνον τοῦτον
ἦν λευκόν, καὶ ἐν τῷ Β οὐ λευκόν· τὸ δὲ Γ ἐν ἀμφοῖν.

[a] 25 οὕτω] τοῦτο HI ἀριθμὸν K 26 οὐκ ἔστι HI : οὐκέτι F 28 ἔνεστι] ἔστιν E : ἔσται H 30 ἡμίση FK
[b] 1 αὐτὸ Fδ νὸ ἀριθμειν K ἑτέρου . . . ἡμίσεος] ἑτέρου ἡμίσεος ἀρχὴ IJ : ἡμίσεος τοῦ ἑτέρου ἀρχὴ FH 2 ἀρχὴ] τελευτὴ Λ
6 ἐνδέχεται οὖ· ὁ E[2] 7 διεληλυθεν ἀνάγκη ἁπλῶς F[1] δ'] γὰρ I
9 δὲ EFJKS : δὴ H : γὰρ I καὶ EFJKS : om. HI ἂν JS : κἂν K μὴ et τοῦ χρόνου E[2]ΚΛS : om. E[1] 10 τὸ] τὸν
FHJ : τῶν I 11 ἅμα om. H γέγονεν] γενόμενον F 12 τὸ
om. E[1] καὶ τοῦ προτέρου κοινὸν EK 13 ἓν] ἐν καὶ F
15 πάθος H οὖ I αγβ ΚΛ et fecit E[2] : ΑΒΓ casu Bekker 16 οὖ
I μὲν om. E Α] α ὅλω EK 17 γ ἅρα E[2]FH 18 ἀληθὲς
εἰπεῖν λευκὸν Λ 19 ἐν om. EFJK τὸ E[1]HJK : τῶν E[2]
μὴ HJK

bulunmayacaktır. Nitekim o, hem başlangıcı hem de sonu simgeler, hem sayan hem de ikiye bölen böyle yapar. Oysa bu biçimde bölünce çizgi de devinim de sürekli olmayacaktır. Çünkü sürekli devinim, bir sürekli olana özgüdür, oysa sürekli olanda sonsuz sayıda yarımlar vardır, ama gerçeklik halinde değil, olanak halinde. [Bu sonsuz yarımlar] gerçeklik halinde olsa, süreklilik değil, durak olacaktır: bunun, yarımları saymaya koyulan kişi için sözkonusu olduğu açıktır, çünkü onun tek sayıyı iki kez saymaması zorunlu, nitekim sürekli olanı tek olarak değil, iki yarım olarak saymasıdır, [tek sayı] bir yarımın sonu, öteki yarımın başı olacaktır. Dolayısıyla "zamanda ve uzunlukta sonsuza gitmek olası mı değil mi" diye sorarsa, "bir anlamda evet bir anlamda hayır" diye yanıtlamak gerekir. Çünkü [sonsuz] olanlar gerçeklik halinde ise olası değil, olanak halinde ise olası. Nitekim sürekli olarak devinen nesne mutlak anlamda değil, ilineksel anlamda sonsuzu geçer, çünkü çizginin sonsuz sayıda yarısı olması ilinekseldir, ama onun varlığı ve varoluşu başka başka şeyler.

Şu da açık: önce ile sonrayı bölen zaman ortası, her zaman nesneden *sonra gelen bir şeye ilişkin olmazsa*, o aynı anda hem varolan hem de varolmayan olacak, oluştuğu zaman varolmayacaktır. İmdi nokta/simge heriki için de, daha önce ve daha sonra için ortak, sayıca tek ve aynı, ama tanımca aynı değil (çünkü birinin sonu, ötekinin başlangıcı). Yine de nesne aynından hep daha sonraki duygulanıma/etkilenime ilişkin. Zaman A'da nesne D olsun: nesne A zamanında 'ak', B zamanında 'ak olmayan' olur, dolayısıyla C zamanında 'ak ve ak olmayan' olur. Çünkü o bütün A zamanı boyunca 'ak' idiyse, B zamanında 'ak olmayan' ise, A'nın bir noktasında onun 'ak' olduğunu söylemek doğrudur. C de herikisi.

8. 263ª 24 — 264ª 14

οὐκ ἄρα δοτέον ἐν παντί, ἀλλὰ πλὴν τοῦ τελευταίου νῦν ἐφ' οὗ τὸ Γ· τοῦτο δ' ἤδη τοῦ ὑστέρου. καὶ εἰ ἐγίγνετο οὐ λευκὸν καὶ ἐφθείρετο ⟨τὸ⟩ λευκὸν ἐν τῷ Α παντί, γέγονεν ἢ ἔφθαρται ἐν τῷ Γ. ὥστε λευκὸν ἢ μὴ λευκὸν ἐν ἐκείνῳ πρῶτον ἀληθὲς εἰπεῖν, ἢ ὅτε γέγονεν οὐκ ἔσται, καὶ ὅτε ἔφθαρται ἔσται, ἢ ἅμα λευκὸν καὶ οὐ λευκὸν καὶ ὅλως ὂν καὶ μὴ ὂν ἀνάγκη εἶναι. εἰ δ' ὃ ἂν ᾖ πρότερον μὴ ὄν, ἀνάγκη γίγνεσθαι ὄν, καὶ ὅτε γίγνεται μὴ ἔστιν, οὐχ οἷόν τε εἰς ἄτομους χρόνους διαιρεῖσθαι τὸν χρόνον. εἰ γὰρ ἐν τῷ Α τὸ Δ ἐγίγνετο λευκόν, γέγονε δ' ἅμα καὶ ἔστιν ἐν ἑτέρῳ ἀτόμῳ χρόνῳ ἐχομένῳ δ', ἐν τῷ Β—εἰ ἐν τῷ Α ἐγίγνετο, οὐκ ἦν, ἐν δὲ τῷ Β ἐστί—, γένεσιν δεῖ τινὰ εἶναι μεταξύ, ὥστε καὶ χρόνον ἐν ᾧ ἐγίγνετο. οὐ γὰρ ὁ αὐτὸς ἔσται λόγος καὶ τοῖς μὴ ἄτομα λέγουσιν, ἀλλ' αὐτοῦ τοῦ χρόνου, ἐν ᾧ ἐγίγνετο, γέγονε καὶ ἔστιν ἐν τῷ ἐσχάτῳ σημείῳ, οὐ οὐδὲν ἐχόμενόν ἐστιν οὐδ' ἐφεξῆς· οἱ δὲ ἄτομοι χρόνοι ἐφεξῆς. φανερὸν δ' ὅτι εἰ ἐν τῷ Α ὅλῳ χρόνῳ ἐγίγνετο, οὐκ ἔστιν πλείων χρόνος ἐν ᾧ γέγονεν καὶ ἐγίγνετο ἢ ἐν ᾧ ἐγίγνετο μόνον παντί.

οἷς μὲν οὖν ἄν τις ὡς οἰκείοις πιστεύσειε λόγοις, οὗτοι καὶ τοιοῦτοί τινές εἰσιν· λογικῶς δ' ἐπισκοποῦσι κἂν ἐκ τῶνδε δόξειέ τῳ ταὐτὸ τοῦτο συμβαίνειν. ἅπαν γὰρ τὸ κινούμενον συνεχῶς, ἂν ὑπὸ μηδενὸς ἐκκρούηται, εἰς ὅπερ ἦλθεν κατὰ τὴν φοράν, εἰς τοῦτο καὶ ἐφέρετο πρότερον, οἷον εἰ ἐπὶ τὸ Β ἦλθε, καὶ ἐφέρετο ἐπὶ τὸ Β, καὶ οὐχ ὅτε πλησίον ἦν, ἀλλ' εὐθὺς ὡς ἤρξατο κινεῖσθαι· τί γὰρ μᾶλλον νῦν ἢ πρότερον; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὴ ἀπὸ τοῦ Α [ἐπὶ τὸ Γ]

b 20 ἅπαντι E^2K ἀλλὰ] ἅμα E^1 ὑφ' E ᾧ H 21 τὸ om. Λ δὲ δὴ E^1 τοῦ ὑστέρου scripsi, habuerunt ut vid. PS : τὸ ὕστερον ΕΛ : τοῦ α τὸ ὕστερον K εἰ E^2KΛS : om. E^1 οὐ om. IJS : καὶ οὐ E^1 καὶ] καὶ εἰ KΛS 22 τὸ addidi : om. ΠS 23 ὥστε ΛS : ὥστε ἢ K : ὥστε εἰ ἦν E πρῶτον ἐν ἐκείνῳ Λ πρώτῳ E^2 24 οὐκ ἔστιν F 25 οὗ] μὴ K ὂν om. J^1 μὴ EHKS : οὐκ FIJ 26 ὂν pr. E^2KΛS : om. E^1 28 α χρόνω τὸ Λ 29 χρόνῳ ἀτόμῳ H 30 οὐκ] καὶ οὐκ F 31 δεῖ] οὐδὲ δεῖ K^2 εἶναί τινα FHIK 264ª 1 χρόνος ἦν ἐν Λ ἐγέγνετο IJ ἃ om. F λόγος ἔσται KΛP τοῖς E^2ΛP : om. E^1K 3 οὗ] ᾧ K ἐχόμενόν ἐστιν EKS : ἐστιν ἐχόμενον Λ 4 αἱ . . . ἐφεξῆς om. H 5 χρόνῳ om. H 6 ἐγίγνετο ᾗ E^2KΛS : om. E^1 7 λόγοις πιστεύσειεν H : πιστεύσειεν S 8 καὶ τοιοῦτοι om. E^1 καὶ F 9 συμβαίνειν τοῦτο F 11 εἰ] ᾗ E^1 12 καὶ οὐκ ἐφέρετο J 14 δὲ E^1Λ ἐπὶ τὸ Γ om. EK

dolayısıyla o tüm A zamanında ak değildir, son anı yani C'yi dışarda bırakmak gerekir, bu da artık daha sonraya aittir. Nesne, tüm A zamanında 'ak olmayan' oluyorsa ve 'ak' yokoluyorsa, C zaman noktasında o oluşmuş ve yokolmuş olur. Demek o noktada her şeyden önce 'ak' ya da 'ak olmayan' demek doğru olur, ya da oluştuğu zaman olmaması, yokolduğu zaman olması veya aynı anda 'ak ve ak olmayan' olması ve kısaca 'varolan ve varolmayan' olması zorunlu olur. Ne ki, daha önce varolmayan bir şeyin oluşması zorunluysa ve oluşmakta olduğu sürece o yoksa, zamanı bölünmeyen zaman noktalarına bölmek olanaklı değildir. Nitekim D nesnesi A zamanında 'ak' olmakta idiyse, ama aynı anda da 'ak' olduysa ve B zamanıyla örtüşen başka bir bölünmeyen zaman içinde bulunuyorsa, -A'da oluşmakta idiyse yoktu ama yine de B'de-, arada bir oluşun olması gerekir, dolayısıyla içinde oluşmanın gerçekleştiği bir zaman da olmalı. 'Bölünmez zaman noktalarını' kabul etmeyenler için aynı temellendirme geçerli olmayacaktır, ama "nesnenin oluşmakta olduğu, oluşmuş olduğu ve olduğu aynı zamanın uç noktasında -ki bu nokta örtüşük de olmaz, ardışık da- olması" geçerlidir. Oysa bölünmeyen zaman parçaları ardışıktır. Ama şu açık: nesne bütün A zamanında oluşmakta idiyse, nesnenin oluşmakta olduğu ve oluşmuş olduğu zaman, onun yalnızca oluşmakta olduğu zamanın tümünden daha uzun değildir.

İmdi kimilerinin kendi görüşleri gibi inanacağı temellendirmeler bunları ve buna benzer başkaları. Ama mantıksal olarak da şöyle bakıldıkta bu aynı sonucun çıktığı görülebilir: sürekli devinen her nesne, bir nesne tarafından engellenmedikçe, yer değiştirme [sonunda] vardığı noktaya, daha önce de varmış demektir; sözgelişi B'ye geldiye, yalnızca orda olduğu zaman değil, devinmeye başlar başlamaz da B'ye doğru yer değiştirmekte idi. Niçin daha önce değil de şimdi olsun? Öteki noktalarda da bu böyle.

φερόμενον, ὅταν ἐπὶ τὸ Γ ἔλθῃ, πάλιν ἥξει ἐπὶ τὸ Α συνεχῶς κινούμενον. ὅτε ἄρα ἀπὸ τοῦ Α φέρεται πρὸς τὸ Γ, τότε καὶ εἰς τὸ Α φέρεται τὴν ἀπὸ τοῦ Γ κίνησιν, ὥσθ' ἅμα τὰς ἐναντίας· ἐναντίαι γὰρ αἱ κατ' εὐθεῖαν. ἅμα δὲ καὶ ἐκ τούτου μεταβάλλει ἐν ᾧ οὐκ ἔστιν. εἰ οὖν τοῦτ' ἀδύνατον, ἀνάγκη ἵστασθαι ἐπὶ τοῦ Γ. οὐκ ἄρα μία ἡ κίνησις· ἡ γὰρ διαλαμβανομένη στάσει οὐ μία. ἔτι καὶ ἐκ τῶνδε φανερὸν καθόλου μᾶλλον περὶ πάσης κινήσεως. εἰ γὰρ ἅπαν τὸ κινούμενον τῶν εἰρημένων τινὰ κινεῖται κινησεων καὶ ἠρεμεῖ τῶν ἀντικειμένων ἠρεμιῶν (οὐ γὰρ ἦν ἄλλη παρὰ ταύτας), τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν (λέγω δ' ὅσαι ἕτεραι τῷ εἴδει, καὶ μὴ εἴ τι μόριόν ἐστιν τῆς ὅλης) ἀνάγκη πρότερον ἠρεμεῖν τὴν ἀντικειμένην ἠρεμίαν (ἡ γὰρ ἠρεμία στέρησις κινήσεως)· εἰ οὖν ἐναντίαι μὲν κινήσεις αἱ κατ' εὐθεῖαν, ἅμα δὲ μὴ ἐνδέχεται κινεῖσθαι τὰς ἐναντίας, τὸ ἀπὸ τοῦ Α πρὸς τὸ Γ φερόμενον οὐκ ἂν φέροιτο ἅμα καὶ ἀπὸ τοῦ Γ πρὸς τὸ Α· ἐπεὶ δ' οὐχ ἅμα φέρεται, κινήσεται δὲ ταύτην τὴν κίνησιν, ἀνάγκη πρότερον ἠρεμῆσαι πρὸς τῷ Γ· αὕτη γὰρ ἦν ἡ ἀντικειμένη ἠρεμία τῇ ἀπὸ τοῦ Γ κινήσει. δῆλον τοίνυν 264[b] ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἔσται συνεχὴς ἡ κίνησις. ἔτι δὲ καὶ ὅδε ὁ λόγος μᾶλλον οἰκεῖος τῶν εἰρημένων. ἅμα γὰρ ἐφθαρται τὸ οὐ λευκὸν καὶ γέγονε λευκόν. εἰ οὖν συνεχὴς ἡ ἀλλοίωσις εἰς λευκὸν καὶ ἐκ λευκοῦ καὶ μὴ μένει τινὰ χρόνον, ἅμα ἔφθαρται τὸ οὐ λευκὸν καὶ γέγονε λευκὸν καὶ γέγονεν οὐ λευκόν· τριῶν γὰρ ἔσται ὁ αὐτὸς χρόνος. ἔτι οὐκ εἰ συνεχὴς ὁ χρόνος, καὶ ἡ κίνησις, ἀλλ' ἐφεξῆς. πῶς δ' ἂν εἴη τὸ ἔσχατον τὸ αὐτὸ τῶν ἐναντίων, οἷον λευκότητος καὶ μελανίας;

ἡ δ' ἐπὶ τῆς περιφεροῦς ἔσται μία καὶ συνεχής· οὐθὲν

[a] 15 ὅταν . . . ἔλθῃ om. Λ ἐπὶ] πρὸς Ε 16 εἰς τὸ γ ἐφέρετο Λ 20 μίαν κίνησιν E^2 ἡ pr. ΚΛΤ : om. Ε 21 οὐ μία EKS : οὐκ ἔστιν μία Λ : οὐ μία ἐστὶν Τ ἔτι ΚΛS : ἔτι δὲ Ε 23 τῶν . . . κινεῖται EKS : κινεῖταί τινα τῶν εἰρημένων Λ ἠρεμεῖται Ι 26 ἔσται S 27 στέρησις τῆς κινήσεως E^2: στέρησίς ἐστι κινήσεως HIJ : στέρησις τῆς κινήσεως ἐστιν F : ἐστὶν στέρησις τῆς κινησεως Κ 30 τοῦ Α Bekker 31 κινεῖται F 32 ἠρεμῆσαι EFIJKS : ἠρεμεῖν HP πρὸς τῷ ΚΛS : τὴν πρὸς τὸ Ε 33 ἦν EJS : om. FHIK ἀπὸ om. E^2

[b] 1 ἐκ] ἀπὸ FIJ ὅτι . . . 2 εἰρημένων om. F^1 1 ἔστιν ES : ἔστι F^2HIJK 4 εἰς om. Ε : ἡ εἰς Κ ἐκ] μὴ ἐκ $H1^1$: ἐκ μὴ J 5 τὸ EHIKS : τε FJ καὶ γέγονε λευκὸν EHIKPS : om. FJ καὶ . . . 6 λευκόν E^2FHJKP : om. E^1L 7 δ' om. Λ ἂν] ἂν οὖν HJ 9 περιφορᾶς Η οὐδὲν J : οὐδὲ Ι

İmdi A'dan [C'ye] yer değiştiren nesne, C'ye geldiğinde, sürekli biçimde deviniyorsa, yeniden A'ya varacaktır. Demek, ne zaman ki C'ye doğru devinir, o zaman C'den olan devinime göre A'ya doğru da devinir, dolayısıyla aynı anda karşıt [devinimleri gerçekleştirir], çünkü düz çizgi üzerinde olan devinimler karşıt devinimlerdir. Ama aynı anda nesne, olmadığı yerden hareketle yer değiştiriyordur! İmdi bu olanaksızsa, C'de duraklaması zorunlu. Demek ki devinim tek değil, çünkü bir durakla kesilen devinim tek olmaz. Öte yandan her devinim konusunda genel bir sonuç şuradan çıkarılabilir: her devinen nesne söylediğimiz devinimlerden birine göre deviniyorsa ve bunlara karşıt olan duraklamalara göre duruyorsa (çünkü bunların dışında başkasının olmadığını söylemiştik), ve her zaman belli bir devinime göre devinmeyen nesnenin (kastettiğim, türce başka olmayan ve bütün bir devinimin parçası olmayan devinimler) daha önce karşıt durmaya göre duraklaması zorunlu (çünkü durma/ duraklama, bir devinim yokluğudur). İmdi bir çizgi üzerindeki devinimler karşıtsa, ama karşıt devinimlerin aynı anda gerçekleşmesi olası değilse, A'dan C'ye doğru giden nesne aynı anda C'den A'ya doğru gidemez. Madem aynı anda [iki yana] gidemeyecek, ama [A'ya geri dönen] bu devinime göre devinecek; daha önce C'de duraklaması zorunlu. Nitekim bu, C'den yola çıkan devinime karşıt olan durgunluk idi. İmdi söylediklerimizden çıkan şu: devinim sürekli olmayacaktır. Ayrıca şu temellendirme de söylediklerimizden daha çok yerine oturuyor: diyelim ki 'ak olmayan' yokoldu ve 'ak' oluştu. Hem 'ak'a doğru, hem de 'ak'tan olan nitelik değiştirme sürekli ise, ve belli bir zaman duraklama yoksa, aynı anda 'ak olmayan' yokolmuştur ve hem 'ak' oluşmuştur hem de 'ak olmayan' oluşmuştur. Çünkü üçünün de zamanı aynı olacak. Öte yandan zaman sürekli ise, devinim sürekli değil, ardışık olur. Acaba karşıtların, sözgelişi aklık ile karalığın ucu nasıl aynı olabilir?

Ne ki, daire biçimindeki devinim tek ve sürekli olacaktır, çünkü

8. 264ª 15 — 265ª 3

γὰρ ἀδύνατον συμβαίνει· τὸ γὰρ ἐκ τοῦ Α κινούμενον ἅμα κινήσεται εἰς τὸ Α κατὰ τὴν αὐτὴν πρόθεσιν (εἰς ὃ γὰρ ἦξει, καὶ κινεῖται εἰς τοῦτο), ἀλλ' οὐχ ἅμα κινήσεται τὰς ἐναντίας οὐδὲ τὰς ἀντικειμένας· οὐ γὰρ ἅπασα ἡ εἰς τοῦτο τῇ ἐκ τούτου ἐναντία οὐδ' ἀντικειμένη, ἀλλ' ἐναντία μὲν ἡ κατ' εὐθεῖαν (ταύτῃ γὰρ ἔστιν ἐναντία κατὰ τόπον, οἷον τὰ κατὰ διάμετρον· ἀπέχει γὰρ πλεῖστον), ἀντικειμένη δὲ ἡ κατὰ τὸ αὐτὸ μῆκος. ὥστ' οὐδὲν κωλύει συνεχῶς κινεῖσθαι καὶ μηδένα χρόνον διαλείπειν· ἡ μὲν γὰρ κύκλῳ κίνησίς ἐστιν ἀφ' αὑτοῦ εἰς αὐτό, ἡ δὲ κατ' εὐθεῖαν ἀφ' αὑτοῦ εἰς ἄλλο· καὶ ἡ μὲν ἐν τῷ κύκλῳ οὐδέποτε ἐν τοῖς αὐτοῖς, ἡ δὲ κατ' εὐθεῖαν πολλάκις ἐν τοῖς αὐτοῖς. τὴν μὲν οὖν ἀεὶ ἐν ἄλλῳ καὶ ἄλλῳ γιγνομένην ἐνδέχεται κινεῖσθαι συνεχῶς, τὴν δ' ἐν τοῖς αὐτοῖς πολλάκις οὐκ ἐνδέχεται· ἀνάγκη γὰρ ἅμα κινεῖσθαι τὰς ἀντικειμένας. ὥστ' οὐδ' ἐν τῷ ἡμικυκλίῳ οὐδ' ἐν ἄλλῃ περιφερείᾳ οὐδεμιᾷ ἐνδέχεται συνεχῶς κινεῖσθαι· πολλάκις γὰρ ἀνάγκη ταὐτὰ κινεῖσθαι καὶ τὰς ἐναντίας μεταβάλλειν μεταβολάς· οὐ γὰρ συνάπτει τῇ ἀρχῇ τὸ πέρας. ἡ δὲ τοῦ κύκλου συνάπτει, καὶ ἔστι μόνη τέλειος.

φανερὸν δὲ ἐκ ταύτης τῆς διαιρέσεως ὅτι οὐδὲ τὰς ἄλλας ἐνδέχεται κινήσεις εἶναι συνεχεῖς· ἐν ἁπάσαις γὰρ ταὐτὰ συμβαίνει κινεῖσθαι πολλάκις, οἷον ἐν ἀλλοιώσει τὰ μεταξύ, καὶ ἐν τῇ τοῦ ποσοῦ τὰ ἀνὰ μέσον μεγέθη, καὶ ἐν γενέσει καὶ φθορᾷ ὡσαύτως· οὐδὲν γὰρ διαφέρει ὀλίγα ἢ πολλὰ ποιῆσαι, ἐν οἷς ἐστὶν ἡ μεταβολή, οὐδὲ μεταξὺ θεῖναί τι ἢ ἀφελεῖν· ἀμφοτέρως γὰρ συμβαίνει ταὐτὰ κινεῖσθαι πολλάκις. δῆλον οὖν ἐκ τούτων ὅτι οὐδ' οἱ φυσιολόγοι καλῶς λέγουσιν οἱ πάντα

ᵇ 11 κινηθήσεται E^2 12 καὶ κινῆται E^1: κεκίνηται E^2 14 ἡ ἐναντία μὲν J κατ' εὐθεῖαν EKT: ἐπ' εὐθείας ΛS 15 ταυτα EK τὰ KS: τὸ E: ἡ FHJ: εἰ I 18 διαλιπεῖν K ἀφ' (ἡ ἀφ' H) ἑαυτοῦ HIS¹: ἀπ' αὐτοῦ T: ἀπὸ τοῦ αὐτοῦ S^p εἰς . . . 19 αὐτοῦ om. K 19 αὐτὸ scripsi: ἑαυτό F: αὐτό HIJS^pT: τὸ αὐτὸ E ἀφ' αὑτοῦ om. S 21 ἀεὶ] αὐτὴν I καὶ ἐν ἄλλῳ FJ 22 ἐνδέχεται om. E^1 23 ἅμα γὰρ ἀνάγκη F 26 τὰς αὐτὰς EK μεταβολὰς μεταβάλλειν FH 28 συνάπτειν E^1 δὲ ES: δὲ καὶ KΛ 29 οὐδὲ . . . ἐνδέχεται] οὐκ ἐνδέχεται οὐδὲ τὰς ἄλλας Λ οὐ E 30 εἶναι] γίνεσθαι K: γείνεσθαι E ταυταις συμβαίνει E: συμβαίνει ταῦτα Λ κινεῖσθαι post γὰρ I 31 ἐν] ἐν τ' E^2 τὸ F 32 γένει E^1 33 οὐδὲ I διαφθείρει E^1 ποιεῖν H 265ª 1 προσθεῖναι K 2 ταυτὰ συμβαίνει K

olanaksız bir şey sözkonusu olamaz. A'dan devinen nesne aynı anda aynı yönelmeyle A'ya doğru da devinecektir (çünkü oraya doğru devindiği noktaya varacaktır), aynı anda karşıt devinimleri de karşıolumlu devinimleri de gerçekleştirmeyecektir, çünkü 'bir yerden' olan ile 'bir yere' olan her devinim karşıt ya da karşı olumlu değildir, ama düz çizgi üzerindeki karşıttır (burada yere göre karşıt, tıpkı eksendeki gibi, çünkü birbirlerinden en uzakta), aynı uzunluk üzerindeki devinim ise karşı olumlu olur. Dolayısıyla devinimin sürekli olmasına ve hiçbir zaman boyunca kesilmemesine bir engel yoktur, nitekim dairesel devinim aynı noktadan aynı noktaya olur, oysa düz çizgi üzerindeki devinim bir noktadan başka bir noktaya. Yine daire üzerindeki devinim hiçbir zaman aynı [uç] noktalar içinde değildir, oysa düz çizgi üzerindeki devinim çoğu kez öyledir. İmdi hep başka başka yerlerde oluşan devinimin sürekli olması olası, oysa aynı noktalar içinde bu çoğu kez olası değil, çünkü aynı anda karşıolumlu devinimleri gerçekleştirmesi zorunlu. Dolayısıyla ne yarımdaire içinde ne de başka bir çember parçasında devinimin sürekli olması hiçbir zaman olası değil, çünkü çoğu kez aynı devinimlerin yinelenmesi ve karşıt değişmelerin gerçekleşmesi zorunlu, nitekim burada son başlangıca bağlanmaz, oysa dairesel devinimde bağlanır ve yalnızca o tamdır/mükemmeldir.

Bu ayırmadan çıkan şu: kalan öteki devinimlerin de sürekli olması olası değil, çünkü hepsinde devinimin sık sık aynı noktada gerçekleşmesi sözkonusu, sözgelişi nitelik değiştirmede aradaki durumlar, nicelikteki değişmede ortadaki büyüklükler; oluş ile yokoluşta da bu böyle. Değişmenin içinde gerçekleştiği uç noktaları az ya da çok kılmak ya da araya bir şey koyup kaldırmak da bir fark yaratmaz, çünkü heriki durumda da devinimin çok kez aynı noktalarda gerçekleşmesi sözkonusu. Demek, buradan şu da çıkıyor: bütün duyulur nesnelerin hep devindiklerini ileri süren doğa

τὰ αἰσθητὰ κινεῖσθαι φάσκοντες ἀεί· κινεῖσθαι γὰρ ἀνάγκη τούτων τινὰ τῶν κινήσεων, καὶ μάλιστα κατ' ἐκείνους [ἐστὶν] ἀλλοιοῦσθαι· ῥεῖν γάρ φασιν ἀεὶ καὶ φθίνειν, ἔτι δὲ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν λέγουσιν. ὁ δὲ λόγος νῦν εἴρηκε καθόλου περὶ πάσης κινήσεως ὅτι κατ' οὐδεμίαν κίνησιν ἐνδέχεται κινεῖσθαι συνεχῶς ἔξω τῆς κύκλῳ, ὥστε οὔτε κατ' ἀλλοίωσιν οὔτε κατ' αὔξησιν. ὅτι μὲν οὖν οὐτ' ἄπειρός ἐστι μεταβολὴ οὐδεμία οὔτε συνεχὴς ἔξω τῆς κύκλῳ φορᾶς ἔστω τοσαῦθ' ἡμῖν εἰρημένα.

9 Ὅτι δὲ τῶν φορῶν ἡ κυκλοφορία πρώτη, δῆλον. πᾶσα γὰρ φορά, ὥσπερ καὶ πρότερον εἴπομεν, ἢ κύκλῳ ἢ ἐπ' εὐθείας ἢ μικτή. ταύτης δὲ ἀνάγκη προτέρας εἶναι ἐκείνας· ἐξ ἐκείνων γὰρ συνέστηκεν. τῆς δ' εὐθείας ἡ κύκλῳ· ἁπλῆ γὰρ καὶ τέλειος μᾶλλον. ἄπειρον μὲν γὰρ οὐκ ἔστιν εὐθεῖαν φέρεσθαι (τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν· ἅμα δ' οὐδ' εἰ ἦν, ἐκινεῖτ' ἂν οὐδέν· οὐ γὰρ γίγνεται τὸ ἀδύνατον, διελθεῖν δὲ τὴν ἄπειρον ἀδύνατον)· ἡ δ' ἐπὶ τῆς πεπερασμένης ἀνακάμπτουσα μὲν συνθετὴ καὶ δύο κινήσεις, μὴ ἀνακάμπτουσα δὲ ἀτελὴς καὶ φθαρτή. πρότερον δὲ καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ τὸ τέλειον μὲν τοῦ ἀτελοῦς, τοῦ φθαρτοῦ δὲ τὸ ἄφθαρτον. ἔτι προτέρα ἡν ἐνδέχεται ἀΐδιον εἶναι τῆς μὴ ἐνδεχομένης· τὴν μὲν οὖν κύκλῳ ἐνδέχεται ἀΐδιον εἶναι, τῶν δὲ ἄλλων οὔτε φορὰν οὔτε ἄλλην οὐδεμίαν· στάσιν γὰρ δεῖ γενέσθαι, εἰ δὲ στάσις, ἔφθαρται ἡ κίνησις.

27 εὐλόγως δὲ συμβέβηκε τὸ τὴν κύκλῳ μίαν εἶναι καὶ συνεχῆ, καὶ μὴ τὴν ἐπ' εὐθείας· τῆς μὲν γὰρ ἐπ' εὐθείας ὥρισται καὶ ἀρχὴ καὶ τελος καὶ μέσον, καὶ πάντ' ἔχει ἐν αὑτῇ, ὥστ' ἔστιν ὅθεν ἄρξεται τὸ κινούμενον καὶ οὗ τελευτήσει (πρὸς γὰρ τοῖς πέρασιν ἠρεμεῖ πᾶν, ἢ ὅθεν ἢ οὗ), τῆς δὲ περιφεροῦς ἀόριστα· τί γὰρ μᾶλλον ὑποιονοῦν πέρας τῶν ἐπὶ τῆς γραμμῆς; ὁμοίως

[a] 5 τινα τούτων FHJ ἐστὶν seclusi 6 ἀεί φασι FHI 7 ἀλλοίωσιν δὲ λέγουσιν E^1 14 ἢ alt. om. E^1 ἐπ' εὐθείας] εὐθεῖα EK 16 γὰρ om. H 17 γὰρ alt.] οὖν FH 18 ἅμα δ'] ἀλλ' Λ 19 οὐ] οὐδὲ E τὸ om. H^1 20 τὴν] τὸ H πεπερασμένης εὐθείας ἀνακάμπτουσα Λ 23 μὲν τέλειον F : τέλειον H 25 ἐνδέχεται ἀΐδιον εἶναι EKS : ἀΐδιον ἐνδέχεται εἶναι FHJ : ἀΐδιον εἶναι ἐνδέχεται I 26–7 στάσιν ... κίνησις om. ST 27 γίνεσθαι FIJK εἰ] ἡ E στάσιν I ἐφθαρμένη κίνησις E 29 ἐπ' alt. ΚΛS : om. E 32 ἢ . . . οὗ] τὸ πόθεν ποῖ E^2K δὲ om. E^1 33 γραμμῆς] περιφερους FH

filozofları[96] yerinde konuşmuyor. Çünkü bu nesnelerin bu devinimlerden birine göre devinmesi ve özellikle onların fikrince, nitelik değiştirmesi zorunlu. Nitekim onlar hep akmaktan ve yitip gitmekten sözediyor, ayrıca oluş ile yokoluşa "nitelik değiştirme" adını veriyorlar. Ama bizim şimdiki temellendirmemiz her devinim üzerine şu genel sonucu çıkardı: dairesel devinim dışında hiçbir devinimde süreklilik olası değil, dolayısıyla ne nitelik değiştirmede bu olasılık var ne de büyümede. İmdi şu kadarını söylemiş olduk: dairesel yer değiştirme dışında hiçbir değişme ne sonsuz ne sürekli.

9 Yer değiştirmeler içinde ilki dairesel yer değiştirmedir, bu açık. Çünkü daha önce de dediğimiz gibi[97] her yer değiştirme ya dairesel ya düz çizgi üzerinde ya da [bu ikisinin] karışımı. İlk ikisinin bu sonuncudan önce gelmesi zorunlu, çünkü sonuncu ilk ikisinden oluşmuştur. Dairesel devinim de düz çizgi üzerinde olandan önce gelir, çünkü yalındır/ mutlaktır ve daha mükemmeldir. Düz çizgi üzerinde sonsuz yer değiştirme olanaksız (bu anlamda 'sonsuz' yoktur[98]. Yine de eğer olsaydı, hiçbir şey devinemezdi, çünkü 'olanaksız olan nesne' oluşamaz, sonsuza gitmek ise olanaksız). Sınırlı düz bir çizgi üzerindeki geri dönen yer değiştirme bileşiktir ve aslında iki devinim var demektir, geri dönmeyen yer değiştirme ise tam/mükemmel değildir ve yokolabilir. Oysa tam/mükemmel olan tam/mükemmel olmayandan, yokolmayan yokolabilenden hem doğaca, hem tanımca hem de zamanca daha önce gelir. Ayrıca ebedi olması olası olan devinim, olası olmayandan önce gelir. İmdi dairesel yer değiştirmenin ebedi olması olası, oysa ötekiler içinde ne bir yer değiştirmenin ebedi olması olası ne de başka bir değişmenin. Nitekim bir durak oluşması gerekiyor, durak varsa, devinim yokolmuştur.

Düz çizgi üzerindeki devinimin değil, dairesel olanın tek ve sürekli olması akla da uygun, çünkü düz çizgi üzerindeki devinimin başı, sonu, ortası bellidir ve bunların hepsini o kendinde taşır, dolayısıyla devinen nesnenin devinmeye başlayacağı bir nokta ile devinmesinin son bulacağı bir nokta vardır (nitekim her nesne sınırlarda durur: ya başlangıç ya da sondur bu sınır), oysa dairesel yer değiştirmenin belli sınırları yok. Zaten daire üzerindeki herhangi bir nokta niçin daha çok uç olsun ki? Her nokta

8. 265ª 4 — 9. 265ᵇ 26

γὰρ ἕκαστον καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος, ὥστ' ἀεί τε εἶναι ἐν ἀρχῇ καὶ ἐν τέλει καὶ μηδέποτε. διὸ κινεῖταί τε καὶ 265ᵇ
ἠρεμεῖ πως ἡ σφαῖρα· τὸν αὐτὸν γὰρ κατέχει τόπον. αἴτιον
δ' ὅτι πάντα συμβέβηκε ταῦτα τῷ κέντρῳ· καὶ γὰρ ἀρχὴ
καὶ μέσον τοῦ μεγέθους καὶ τέλος ἐστίν, ὥστε διὰ τὸ ἔξω εἶναι
τοῦτο τῆς περιφερείας οὐκ ἔστιν ὅπου τὸ φερόμενον ἠρεμήσει ὡς 5
διεληλυθός (ἀεὶ γὰρ φέρεται περὶ τὸ μέσον, ἀλλ' οὐ πρὸς τὸ
ἔσχατον), διὰ δὲ τὸ τοῦτο μένειν ἀεί τε ἠρεμεῖ πως τὸ ὅλον καὶ
κινεῖται συνεχῶς. συμβαίνει δ' ἀντιστρόφως· καὶ γὰρ ὅτι μέ-
τρον τῶν κινήσεων ἡ περιφορά, πρώτην ἀναγκαῖον αὐτὴν
εἶναι (ἅπαντα γὰρ μετρεῖται τῷ πρώτῳ), καὶ διότι πρώτη, 10
μέτρον ἐστὶν τῶν ἄλλων. ἔτι δὲ καὶ ὁμαλῆ ἐνδέχεται εἶναι
τὴν κύκλῳ μόνην· τὰ γὰρ ἐπ' εὐθείας ἀνωμαλῶς ἀπὸ τῆς
ἀρχῆς φέρεται καὶ πρὸς τὸ τέλος· πάντα γὰρ ὅσῳπερ ἂν
ἀφίστηται [πλεῖον] τοῦ ἠρεμοῦντος, φέρεται θᾶττον· τῆς δὲ
κύκλῳ μόνης οὔτ' ἀρχὴ οὔτε τέλος ἐν αὐτῇ πέφυκεν, ἀλλ' 15
ἐκτός.

ὅτι δ' ἡ κατὰ τόπον φορὰ πρώτη τῶν κινήσεων, μαρτυροῦσι πάντες ὅσοι περὶ κινήσεως πεποίηνται μνείαν· τὰς γὰρ ἀρχὰς αὐτῆς ἀποδιδόασιν τοῖς κινοῦσι τοιαύτην κίνησιν. διάκρισις γὰρ καὶ σύγκρισις κινήσεις κατὰ τόπον εἰσίν, οὕτω δὲ 20
κινοῦσιν ἡ φιλία καὶ τὸ νεῖκος· τὸ μὲν γὰρ διακρίνει, τὸ δὲ συγκρίνει αὐτῶν. καὶ τὸν νοῦν δέ φησιν Ἀναξαγόρας διακρίνειν τὸν κινήσαντα πρῶτον. ὁμοίως δὲ καὶ ὅσοι τοιαύτην μὲν οὐδεμίαν αἰτίαν λέγουσιν, διὰ δὲ τὸ κενὸν κινεῖσθαί φασιν· καὶ γὰρ οὗτοι τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι τὴν φύσιν λέγου- 25
σιν (ἡ γὰρ διὰ τὸ κενὸν κίνησις φορά ἐστιν καὶ ὡς ἐν τόπῳ),

ª 34 καὶ τέλος om. EΛ τε EKST : τέ τινα Λ ᵇ 1 ἐν alt. om. EJ κινεῖταί τε scripsi : κινεῖται EΛ : κινεῖτε K 3 πάντα συμβέβηκε ταῦτα EFKP : πάντα ταῦτα συμβέβηκε J : ταῦτα πάντα συμβέβηκε HI τῷ] ἐν τῷ K² 4 εἶναι τοῦτο EIKP : τοῦτο εἶναι FHJ 5 -φερείας . . . τὸ om. E 7 διὸ E¹ : δι' αὐτὸ E² τὸ τοῦτο μένειν E² et fort. PST : τοῦτο μένει E¹KΛ τε] καὶ F 9 περιφορά] περιφορά ἐστι FHI : φορά A ταύτην E² 10 πάντα HIJ πρώτη E²KΛS : πρώτον E¹ 11 μέσον H ὁμαλῆ EHJPS : ὁμαλὴν FIK 12 ἐπὶ τῆς εὐθείας ἀπὸ τῆς ἀρχῆς ἀνωμαλῶς FJ ἀπό τε τῆς E² 14 ἀφίσταται H πλεῖον om. S, secl. Diels : πλεῖω FHJK θᾶττον EJKS : θᾶσσον FHI 15 οὔτε ἡ ἀρχὴ οὔτε τὸ τέλος E²H πέφυκεν ἐν αὐτῇ F 19 διακρίσεις γὰρ καὶ συγκρίσεις K 20 εἰσὶ κατὰ τόπον S 23 πρότερον Λ καὶ om. H 24 μηδεμίαν αἰτίαν IJK : αἰτίαν μηδεμίαν FH Φασι κινεῖσθαι F 25 κίνησιν om. E¹ 26 καὶ ὡς om. S : ὡς EK

aynı şekilde başlangıç, orta, son olur, dolayısıyla o hem her zaman başlangıçta ve sondadır hem de hiçbir zaman. Bunun için daire bir anlamda hem devinir hem de duradurur, çünkü aynı yeri tutar, nedeni de şu: merkez açısından bütün noktalar aynı, aslında merkez, büyüklüğün hem başı, hem ortası, hem de sonudur - o, dairenin dışında olduğundan ötürü, yer değiştiren nesnenin, sanki devinimini bitirmiş gibi, duracağı bir yer yoktur (çünkü nesne hep orta noktanın çevresinde yer değiştirir, uca doğru değil), onun bu durağanlığından ötürü de, bütün, bir anlamda hep duradurur ve de sürekli devinmektedir. Karşı biçimde de aynı sonuç çıkar: devinimlerin ölçüsü dairesel yer değiştirme olduğundan ötürü, onun ilk olması zorunlu (çünkü her şey ilk oranla ölçülür), ilk olduğundan ötürü de öteki devinimlerin ölçüsü. Ayrıca yalnızca dairesel yer değiştirmenin eşbiçimli/sabit hızda olması olası, çünkü düz çizgi üzerinde başlangıçtan ve sona doğru değişik biçimde/ değişen hızda devinilir, nitekim her nesne duraduran şeyden ne denli uzaklaşırsa o denli hızlı devinir. Oysa yalnızca dairesel devinimin başı ile sonu doğal olarak kendinde değil, dışardadır. 265b

Yere göre devinimin, devinimlerin ilki olduğuna ise devinim konusuna değgin bir metin bırakmış olan herkes[99] tanıklık eder. Çünkü onlar devinimin ilkelerini, bu tür devinimi gerçekleştiren devindiricilere yüklüyorlar. Nitekim ayrılma ile birleşme yere göre devinimlerdir ve DOSTLUK ile KİN bu biçimde devinimi gerçekleştiriyor, biri ayırıyor, öteki birleştiriyor. Anaksagoras da US'un, ilk devindirici olarak, ayırdığını söylüyor. Böyle bir neden ileri sürmeyip de devinimin boşluk aracılığıyla olduğunu ileri sürenler[100] için de bu böyle. Nitekim bunlar da doğanın yere göre devinim açısından devindiğini savunuyor (çünkü boşluk aracılığıyla devinim yer değiştirmedir ve bir yerin içindeymiş gibi gerçekle-

τῶν δ' ἄλλων οὐδεμίαν ὑπάρχειν τοῖς πρώτοις ἀλλὰ τοῖς ἐκ τούτων οἵονται· αὐξάνεσθαι γὰρ καὶ φθίνειν καὶ ἀλλοιοῦσθαι συγκρινομένων καὶ διακρινομένων τῶν ἀτόμων σωμάτων φασίν. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσοι διὰ πυκνότητα ἢ μανότητα κατασκευάζουσι γένεσιν καὶ φθοράν· συγκρίσει γὰρ καὶ διακρίσει ταῦτα διακοσμοῦσιν. ἔτι δὲ παρὰ τούτους οἱ τὴν ψυχὴν αἰτίαν ποιοῦντες κινήσεως· τὸ γὰρ αὐτὸ αὐτὸ κινοῦν ἀρχὴν εἶναί φασιν τῶν κινουμένων, κινεῖ δὲ τὸ ζῷον καὶ πᾶν τὸ ἔμ-
266ª ψυχον τὴν κατὰ τόπον αὐτὸ κίνησιν. καὶ κυρίως δὲ κινεῖσθαί φαμεν μόνον τὸ κινούμενον [τὴν] κατὰ τόπον [κίνησιν]· ἂν δ' ἠρεμῇ μὲν ἐν τῷ αὐτῷ, αὐξάνηται δ' ἢ φθίνῃ ἢ ἀλλοιούμενον τυγχάνῃ, πῇ κινεῖσθαι, ἁπλῶς δὲ κινεῖσθαι οὔ φαμεν.

ὅτι μὲν οὖν ἀεί τε κίνησις ἦν καὶ ἔσται τὸν ἅπαντα χρόνον, καὶ τίς ἀρχὴ τῆς ἀϊδίου κινήσεως, ἔτι δὲ τίς πρώτη κίνησις, καὶ τίνα κίνησιν ἀΐδιον ἐνδέχεται μόνην εἶναι, καὶ τὸ κινοῦν πρῶτον ὅτι ἀκίνητον, εἴρηται.

"Οτι δὲ τοῦτ' ἀμερὲς ἀναγκαῖον εἶναι καὶ μηδὲν ἔχειν μέγεθος, νῦν λέγωμεν, πρῶτον περὶ τῶν προτέρων αὐτοῦ διορίσαντες. τούτων δ' ἐν μέν ἐστιν ὅτι οὐχ οἷόν τε οὐδὲν πεπερασμένον κινεῖν ἄπειρον χρόνον. τρία γάρ ἐστιν, τὸ κινοῦν, τὸ κινούμενον, τὸ ἐν ᾧ τρίτον, ὁ χρόνος. ταῦτα δὲ ἢ πάντα ἄπειρα ἢ πάντα πεπερασμένα ἢ ἔνια, οἷον τὰ δύο ἢ τὸ ἕν. ἔστω δὴ τὸ Α τὸ κινοῦν, τὸ δὲ κινούμενον Β, χρόνος ἄπειρος ἐφ' οὗ Γ. τὸ δὴ Δ τῆς Β κινείτω τι μέρος, τὸ ἐφ' οὗ Ε. οὐ δὴ ἐν ἴσῳ τῷ Γ· ἐν πλείονι γὰρ τὸ μεῖζον. ὥστ' οὐκ ἄπειρος ὁ χρόνος ὁ τὸ Ζ. οὕτω δὴ τῇ Δ προστιθεὶς καταναλώσω τὸ Α καὶ τῇ Ε τὸ Β· τὸν δὲ χρόνον οὐ καταναλώσω ἀεὶ ἀφαιρῶν ἴσον· ἄπειρος γάρ· ὥστε ἡ πᾶσα Α τὴν ὅλην Β κινήσει ἐν πεπε-

[b] 27 τοῖς πρώτοις ἀλλὰ om. E¹ 28 οἵοντε I 29 διακρινομένων] ἀλλοιουμένων A φασίν. φασὶ τὸν E¹ 30 δὴ FH ἤ] ἴδια E¹: καὶ E² 31 καὶ pr.] ἢ FHIJ² διακρίσει ταῦτα om. E¹ 33 ἑαυτὸ αὐτὸ HI 34 κινήσει Λ καὶ] ἤτοι K² 266ª 2 τὴν om. ES κίνησιν om. EKS 3 φθίνῃ ἤ] φθίνει J 6 τε om. K 7 τίς alt.] τίς ἡ K κίνησις πρώτη Λ 8 ἐνδέχεται ἀΐδιον E μόνην] καὶ μόνην K 10 ἀμερὲς ἀναγκαῖον εἶναι EIKS: ἀναγκαῖον ἀμερὲς εἶναι HJ: ἀναγκαῖον εἶναι ἀμερὲς F 11 λέγωμεν FHT 12 ἔστι μὲν ἓν K 13 κινούμενον, τὸ κινοῦν Λ 14 τὸ] καὶ E²H 16 τὸ alt. om. Λ β κινούμενον F ᾧ H 17 τῆς B post μέρος Λ: om. K τὸ om. H ᾧ Λ 18 γὰρ om. E¹ 19 ὁ om. H τὸ scripsi: τοῦ Π τῇ] τῷ E¹HJS: τὸ IK 21 β ὅλην Λ

şit), öteki devinimlerden hiçbirinin ilk öğelerde/atomlarda bulunmadığına, yalnızca bunlardan kaynaklanan nesnelerde bulunduğuna inanıyorlar. Nitekim büyümenin, eksilmenin ve nitelik değiştirmenin, bölünmez cisimler birleştiği ve ayrıldığı zaman oluştuğunu söylüyorlar. Aynı şekilde oluş ile yokoluşu sıklık ya da seyreklik aracılığıyla açıklayanlar da, çünkü bunlar birleştirme ve ayırma ile düzeni kuruyor. Ayrıca bunların dışında, RUH'u devinim nedeni yapanlar var[101]. Bunlar kendi kendini devindiren nesnenin, devinen nesnelerin ilkesi olduğunu ileri sürüyor. Hayvan ile her canlı, yere göre devinim açısından kendini devindirir. Biz ise yalnızca yere göre devinim gerçekleştiren nesnenin en başta gelen/asıl anlamda devindiğini söylüyoruz. Ne ki, bir nesne aynı yerde duraduruyor, ama ola ki büyüyor, eksiliyor, ya da nitelik değiştiriyorsa, onun mutlak anlamda değil, belli bir anlamda devindiğini söylüyoruz.

İmdi devinim hep vardı, hep olacak; ebedi devinimin başlangıcı/ilkesi hangisi; ilk devinim hangisi; yalnızca hangi devinimin ebedi olması olası; ilk devindiren devinimsizdir; bütün bunları söylemiş olduk.

10 Şimdi de ilk devindiricinin parçasız olduğunu ve hiçbir büyüklük taşımadığını söyleyelim. Ama ilkin, daha önce gelen bazı özellikler üzerinde belirleme yapalım: bunlardan biri şu: hiçbir sınırlı nesnenin sonsuz zaman boyunca devindirmesi olanaklı değil. Nitekim üç öğe var: devindiren, devinen, üçüncüsü de içinde [devinim gerçekleşen] şey, yani zaman. Bunların ya hepsi sonsuzdur ya hepsi sonludur ya da bazıları, sözgelişi ikisi ya da biri [sonlu ya da sonsuzdur]. İmdi A, devindiren nesne, B, devinen nesne, deviniminin içinde gerçekleştiği sonsuz zaman C olsun; B'nin bir parçası olan D ise E zamanında devinsin. Bu, C ile eşit zaman olmayacaktır. Çünkü daha çok devinim daha uzun zamanda gerçekleşir. Dolayısıyla F zamanı sonsuz olmaz. Bu biçimde D'ye eklemeyle A'yı, E'ye eklemeyle de B'yi bulacağım. Ama zamanı hep eşit zamanlara bölsem de ele geçiremeyeceğim, çünkü o sonsuz. Dolayısıyla A'nın hepsi B'nin tümünü C'nin sınırlı bir parçası olan

30 266a 5 10 15 20

9. 265b 27 — 10. 266b 14

ρασμένῳ χρόνῳ τοῦ Γ. οὐκ ἄρα οἷόν τε ὑπὸ πεπερασμένου κινεῖσθαι οὐδὲν ἄπειρον κίνησιν. 23

ὅτι μὲν οὖν οὐκ ἐνδέχεται τὸ 23
πεπερασμένον ἄπειρον κινεῖν χρόνον, φανερόν· ὅτι δ' ὅλως οὐκ
ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναί δύναμιν, ἐκ 25
τῶνδε δῆλον. ἔστω γὰρ ἡ πλείων δύναμις ἀεὶ ἡ τὸ ἴσον ἐν
ἐλάττονι χρόνῳ ποιοῦσα, οἷον θερμαίνουσα ἢ γλυκαίνουσα ἢ
ῥιπτοῦσα καὶ ὅλως κινοῦσα. ἀνάγκη ἄρα καὶ ὑπὸ τοῦ πεπε-
ρασμένου μὲν ἄπειρον δ' ἔχοντος δύναμιν πάσχειν τι τὸ πά-
σχον, καὶ πλεῖον ἢ ὑπ' ἄλλου· πλείων γὰρ ἡ ἄπειρος. 30
ἀλλὰ μὴν χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα. εἰ γάρ
ἐστιν ὁ ἐφ' οὗ Α χρόνος ἐν ᾧ ἡ ἄπειρος ἰσχὺς ἐθέρμα-
νεν ἢ ἔωσεν, ἐν τῷ δὲ ΑΒ πεπερασμένη τις, πρὸς ταύτην
μείζω λαμβάνων ἀεὶ πεπερασμένην ἥξω ποτὲ εἰς τὸ ἐν τῷ 266b
Α χρόνῳ κεκινηκέναι· πρὸς πεπερασμένον γὰρ ἀεὶ προστι-
θεὶς ὑπερβαλῶ παντὸς ὡρισμένου, καὶ ἀφαιρῶν ἐλλείψω
ὡσαύτως. ἐν ἴσῳ ἄρα χρόνῳ κινήσει τῇ ἀπείρῳ ἡ πεπε-
ρασμένη. τοῦτο δὲ ἀδύνατον· οὐδὲν ἄρα πεπερασμένον ἐνδέχε- 5
ται ἄπειρον δύναμιν ἔχειν. 6

οὐ τοίνυν οὐδ' ἐν ἀπείρῳ πεπε- 6
ρασμένην· καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει πλείω δύ-
ναμιν εἶναι· ἀλλ' ἔτι μᾶλλον ἐν μείζονι πλείω. ἔστω δὴ τὸ
ἐφ οὗ ΑΒ ἄπειρον. τὸ δὴ ΒΓ ἔχει δύναμίν τινα, ἢ ἔν τινι
χρόνῳ ἐκίνησεν τὴν Δ, ἐν τῷ χρόνῳ ἐφ' οὗ ΕΖ. ἂν δὴ τῆς 10
ΒΓ διπλασίαν λαμβάνω, ἐν ἡμίσει χρόνῳ τοῦ ΕΖ (ἔστω
γὰρ αὕτη ἡ ἀναλογία), ὥστε ἐν τῷ ΖΘ κινήσει. οὐκοῦν οὕτω
λαμβάνων ἀεὶ τὴν μὲν ΑΒ οὐδέποτε διέξειμι, τοῦ χρόνου δὲ
τοῦ δοθέντος αἰεὶ ἐλάττω λήψομαι. ἄπειρος ἄρα ἡ δύναμις

[a] 24 οὐκ ἐνδέχεται hic EKS : post 25 μεγέθει Λ 26 ἀεὶ post γὰρ E²K : E¹ incertum ἡ alt. om. E ἐν om. EJ 28 ῥιπτοῦσα scripsi : ῥίπτουσα Π 29 τὸ EHJKS : om. FI 30 πλεῖον E² et ut vid. P : πλείω E¹KΛ πλείω K ἄπειρος E¹KS : ἄπειρος δύναμις E²Λ 32 οὗ] ᾧ E²Λ ἡ om. E ἐθέρμαινεν I : ἐθέρμηνεν E²JK : ἢ ἐθέρμηνεν H 33 ἔσωσεν E¹ τῷ ES : ᾧ ΚΛ αβ EKS : ὁ αβ Λ [b] 1 ἀεὶ λαμβάνων Λ ἥξω] δὲ ἥξω E²H τὸ ἐν om. K¹ 2 πρὸς om. J 3 ὑπερβάλλων E¹ ἀφαιρῶν] ἀφαιρῶν ἀεὶ K ἐλλείψω ὡσαύτως fecit E² 4 χρόνῳ ἄρα I ἡ πεπερασμένη τῇ ἀπείρῳ Λ 6 ἔχειν δύναμιν F 7 καίτοι] καίτοι γε K πλείω EKS : πλείονα E²Λ 8 ἐνεῖναι S πλείω EFH²KS : πλείων H¹IJ 9 ἡ K 10 ἐφ' ᾧ EJ 11 διπλάσιον F χρόνῳ] κινήσει χρόνῳ E²IJK : κινήσεις χρόνῳ F 12 ζ καὶ θ Λ 13 τοῦ E¹KS : om. E²Λ χρόνον I

zaman içinde devindirecektir. Demek ki, sınırlı bir nesne tarafından sonsuz bir devinimin gerçekleştirilmesi olanaksız.

İmdi sınırlı bir nesnenin sonsuz zaman boyunca devindirmesinin olası olmadığı açık. Genelde, sınırlı bir büyüklük içinde sonsuz bir güç olmasının olası olmadığı da şuradan çıkar: diyelim ki daha büyük güç, daha az zamanda hep eşit etki yaratan güç olsun, sözgelişi ısıtan, tatlılaştıran, [bir şeyi] fırlatan ya da genelde devindiren. Bu durumda sonsuz güç taşıyan sınırlı bir nesne tarafından etkilenen nesnenin, herhangi başka bir nesneden [etkilenenden] daha büyük bir etkilenime uğraması zorunlu olur. Çünkü sonsuz güç, daha büyük. Ama bunun için hiçbir zamanın olması olası değil. Nitekim diyelim ki, sonsuz gücün içinde ısıttığı ya da fırlattığı zaman A olsun; AB ise sınırlı bir gücün aynı şeyi gerçekleştirdiği zaman. Bu güce hep daha büyük ama sınırlı bir güç ekleyerek, sonunda A zamanında devinimin gerçekleştirilmesine ulaşacağım, çünkü sınırlı bir nesneye hep ekleyerek, sınırlı olanın hepsini aşacağım ve bölerek de aynı şekilde eksilteceğim [sınırlı olanın tümünün altına ineceğim]. Bu durumda sınırlı güç, sonsuz güçle eşit zaman içinde devindirecektir, ama bu olanaksız. Öyleyse sınırlı bir nesnenin sonsuz güç taşıması da olası değil.

İmdi sonsuz büyüklük içinde de sınırlı bir güç olamaz. Gerçi daha küçük bir büyüklük içinde daha büyük bir güç olması olası, ama daha büyük gücün daha büyük bir büyüklük içinde olması çok daha olası: AB, sonsuz büyüklük olsun, BC, D'yi bir zaman içinde, EF zamanı içinde devindirecek bir güç taşısın. BC'nin iki mislini alırsam, bu, EF'nin yarı zamanında (oranlama bu diyelim), dolayısıyla FH zamanında devindirecektir. Hep böyle gitsem, hiçbir zaman AB'yi katetmeyeceğim, ama verilen zamandan hep daha küçük bir zaman elde edeceğim. O halde güç sonsuz

ἔσται· πάσης γὰρ πεπερασμένης ὑπερβάλλει δυνάμεως, εἴ γε πάσης πεπερασμένης δυνάμεως ἀνάγκη πεπερασμένον εἶναι καὶ τὸν χρόνον (εἰ γὰρ ἔν τινι ἢ τοσηδί, ἢ μείζων ἐν ἐλάττονι μὲν ὡρισμένῳ δὲ χρόνῳ κινήσει, κατὰ τὴν ἀντιστροφὴν τῆς ἀναλογίας)· ἄπειρος δὲ πᾶσα δύναμις, ὥσπερ καὶ πλῆθος καὶ μέγεθος τὸ ὑπερβάλλον παντὸς ὡρισμένου. ἔστιν δὲ καὶ ὧδε δεῖξαι τοῦτο· ληψόμεθα γάρ τινα δύναμιν τὴν αὐτὴν τῷ γένει τῇ ἐν τῷ ἀπείρῳ μεγέθει, ἐν πεπερασμένῳ μεγέθει οὖσαν, ἣ καταμετρήσει τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην δύναμιν.

ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἄπειρον εἶναι δύναμιν ἐν πεπερασμένῳ μεγέθει, οὐδ' ἐν ἀπείρῳ πεπερασμένην, ἐκ τούτων δῆλον. περὶ δὲ τῶν φερομένων ἔχει καλῶς διαπορῆσαί τινα ἀπορίαν πρῶτον. εἰ γὰρ πᾶν τὸ κινούμενον κινεῖται ὑπό τινος, ὅσα μὴ αὐτὰ ἑαυτὰ κινεῖ, πῶς κινεῖται ἔνια συνεχῶς μὴ ἁπτομένου τοῦ κινήσαντος, οἷον τὰ ῥιπτούμενα ; εἰ δ' ἅμα κινεῖ καὶ ἄλλο τι ὁ κινήσας, οἷον τὸν ἀέρα, ὃς κινούμενος κινεῖ, ὁμοίως ἀδύνατον τοῦ πρώτου μὴ ἁπτομένου μηδὲ κινοῦντος κινεῖσθαι, ἀλλ' ἅμα πάντα ⟨καὶ⟩ κινεῖσθαι καὶ πε-
267ª παύσθαι ὅταν τὸ πρῶτον κινοῦν παύσηται, καὶ εἰ ποιεῖ, ὥσπερ ἡ λίθος, οἷόν τε κινεῖν ὃ ἐκίνησεν. ἀνάγκη δὴ τοῦτο μὲν λέγειν, ὅτι τὸ πρῶτον κινῆσαν ποιεῖ οἷόν τε κινεῖν ἢ τὸν ἀέρα [τοιοῦτον] ἢ τὸ ὕδωρ ἢ τι ἄλλο τοιοῦτον ὃ πέφυκε κινεῖν καὶ κινεῖσθαι· ἀλλ' οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμενον, ἀλλὰ κινούμενον μὲν ἅμα ὅταν ὁ κινῶν παύσηται κινῶν, κινοῦν δὲ ἔτι ἐστίν. διὸ καὶ κινεῖ τι ἄλλο ἐχόμενον· καὶ ἐπὶ τούτου ὁ αὐτὸς λόγος. παύεται δέ, ὅταν ἀεὶ ἐλάττων ἡ δύναμις τοῦ

ᵇ 15–16 ὑπερβάλλει . . . πεπερασμένης E^2KΛS : om. E^1 15 εἴ γε πάσης] πάσης δὲ ΛS 17 τὸν om. E^1 ἐν om. FJ^1 18 κινήσει χρόνῳ Λ 21 γὰρ E^1HS : γὰρ δὴ E^2FIJK 22 τῇ EFHKS : τὴν IJ 23 τὴν πεπερασμένην δύναμιν ἐν (τὴν ἐν K) τῷ ἀπείρῳ EK : τὴν ἐν τῷ ἀπείρῳ μεγέθει πεπερασμένην δύναμιν J : τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην S 26 οὐδὲ πεπερασμένην ἐν ἀπείρῳ Λ (ἐν om. F) τώνδε HS 27 ἔχει καλῶς EKS : καλῶς ἔχει Λ 28 ὑπό τινος κινεῖται S 29 συνεχῶς ἔνια E 32 κινεῖ EFJKS : κινοίη HI 33 πᾶν γρ. S : om. K καὶ S Aldina : om. Π γρ. S κεκινῆσθαι H γρ. S 267ª 2 ὁ F τε κινεῖν] τε κινεῖ K : κινεῖν HS : κινεῖ E^1FIJ δὲ FHIJ¹ 3 τὸ om. F τε E^2HIKS : καὶ E^1 : τε καὶ J : τι καὶ F 4 τοιοῦτον seclusi : habet ΠS τι ἄλλο EIJKS : ἄλλο τι FH τοιοῦτον om. EKS ὃ om. E^1 7 καὶ om. HIJK κινεῖ ἄλλο E^1 : κινεῖται ἄλλο H : κινεῖται ἄλλου FIJ : κινεῖται τι ἄλλου Moreliana 8 ἀεὶ ἐλάττων EK et fort. S : ἐλάττων ἀεὶ J : ἐλάττων FHIT

olacak, çünkü her sınırlı gücün zamanının da sınırlı olması gerçekten zo- 15
runluysa, o her sınırlı gücü aşar (nitekim şu nicelikte bir güç belli bir za-
man içinde devindirirse, daha büyük güç ters orantı ile daha az bir sınırlı
zaman içinde devindirecektir). Oysa her güç, tıpkı her sınırı aşan bir
çokluk ya da büyüklük gibi, [bu anlamda], sonsuz olur. Ama bu şöyle de 20
gösterilebilir: sınırlı bir büyüklük içinde olmasına karşın, sonsuz büyük-
lük içinde olanla aynı cinsten olan ve sonsuz büyüklük içindeki sonlu
gücü ölçebilecek olan bir güç alabileceğiz!

İmdi bunlardan çıkan şu: sınırlı bir büyüklük içinde sonsuz bir gü- 25
cün olması, sonsuz bir büyüklük içinde de sınırlı bir gücün olması olası
değil. Ama her şeyden önce, yer değiştiren nesnelerle ilgili olarak bir so-
runu açmak iyi olur: her devinen nesne bir şey tarafından devindiriliyor-
sa, kendi kendini devindirmeyen nesneler içinde bazıları, sözgelişi atılan
nesneler, devindiren nesne [onlara] bitişik olmadığı halde nasıl oluyor 30
da sürekli olarak deviniyorlar? Devindiren nesne, devindiği için devindi-
ren hava gibi, başka bir şeyi de aynı anda devindiriyorsa, aynı şekilde ilk
devindiren bitişik olmadığı için ve devindirmediği için, devinim olması
olanaksızdır. Tersine ilk devindirici devindiği zaman ve devinmeyi bırak-
tığı zaman bütün nesnelerin de aynı anda buna uyması gerekir. Bunu,
devindirmiş olduğu nesneyi devindirici kılan mıknatıs (lithos) gibi yapsa 267a
bile bu böyle. Demek ki şunu söylemek zorunlu: ilk devindirici, hava, su
ya da doğal olarak hem devindiren hem de devinebilen böylesine başka
bir şeyi devindirme olanağına sahip kılar. Ne ki, bunlar devindirmeyi ve
devinmeyi aynı anda bırakmazlar, devindiren devindirmeyi bıraktığı za- 5
man kendileri devinmeyi bırakırlar, ama devindirmeye devam ederler.
Bunun için onlar izleyen başka bir nesneyi de devindirirler, yine o nesne
için de aynı temellendirme geçerlidir. Ama izleyen nesnedeki devin-

10. 266b 15 — 267b 10

κινεῖν ἐγγίγνηται τῷ ἐχομένῳ. τέλος δὲ παύεται, ὅταν μηκέτι ποιήσῃ τὸ πρότερον κινοῦν, ἀλλὰ κινούμενον μόνον. ταῦτα δ' ἀνάγκη ἅμα παύεσθαι, τό τε κινοῦν τὸ δὲ κινούμενον, καὶ τὴν ὅλην κίνησιν. αὕτη μὲν οὖν ἐν τοῖς ἐνδεχομένοις ὁτὲ μὲν κινεῖσθαι ὁτὲ δ' ἠρεμεῖν ἐγγίγνεται ἡ κίνησις, καὶ οὐ συνεχής, ἀλλὰ φαίνεται· ἡ γὰρ ἐφεξῆς ὄντων ἢ ἁπτομένων ἐστίν· οὐ γὰρ ἓν τὸ κινοῦν, ἀλλ' ἐχόμενα ἀλλήλων. διὸ ἐν ἀέρι καὶ ὕδατι γίγνεται ἡ τοιαύτη κίνησις, ἣν λέγουσί τινες ἀντιπερίστασιν εἶναι. ἀδύνατον δὲ ἄλλως τὰ ἀπορηθέντα λύειν, εἰ μὴ τὸν εἰρημένον τρόπον. ἡ δ' ἀντιπερίστασις ἅμα πάντα κινεῖσθαι ποιεῖ καὶ κινεῖν, ὥστε καὶ παύεσθαι· νῦν δὲ φαίνεταί τι ἓν κινούμενον συνεχῶς· ὑπὸ τίνος οὖν; οὐ γὰρ ὑπὸ τοῦ αὐτοῦ.

ἐπεὶ δ' ἐν τοῖς οὖσιν ἀνάγκη κίνησιν εἶναι συνεχῆ, αὕτη δὲ μία ἐστίν, ἀνάγκη δὲ τὴν μίαν μεγέθους τέ τινος εἶναι (οὐ γὰρ κινεῖται τὸ ἀμέγεθες) καὶ ἑνὸς καὶ ὑφ' ἑνός (οὐ γὰρ ἔσται συνεχής, ἀλλ' ἐχόμενη ἑτέρα ἑτέρας καὶ διῃρημένη), τὸ δὴ κινοῦν εἰ ἕν, ἢ κινούμενον κινεῖ ἢ ἀκίνητον ὄν. εἰ μὲν δὴ κινούμενον, συνακολουθεῖν δεήσει καὶ μεταβάλλειν αὐτό, ἅμα δὲ κινεῖσθαι ὑπό τινος, ὥστε στήσεται καὶ ἥξει εἰς τὸ κινεῖσθαι ὑπὸ ἀκινήτου. τοῦτο γὰρ οὐκ ἀνάγκη συμμεταβάλλειν, ἀλλ' ἀεί τε δυνήσεται κινεῖν (ἄπονον γὰρ τὸ οὕτω κινεῖν) καὶ ὁμαλὴς αὕτη ἡ κίνησις ἢ μόνη ἢ μάλιστα· οὐ γὰρ ἔχει μεταβολὴν τὸ κινοῦν οὐδεμίαν. δεῖ δὲ οὐδὲ τὸ κινούμενον πρὸς ἐκεῖνο ἔχειν μεταβολήν, ἵνα ὁμοία ᾖ ἡ κίνησις. ἀνάγκη δὴ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· αὗται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δ' ἡ τοῦ κύκλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν. ἔχει δ' ἀπορίαν εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς, ἀλλὰ μὴ ὥσπερ τὸ ὠθοῦν

[a] 9 ἐγγίνηται E^2FHST : ἐγγένηται E^1IJK δὲ om. E^1 11 κινούμενον τὸ δὲ κινοῦν K 12 ὅλην om. S 15 ἐν E^1KS : καὶ ἐν E^2Λ 16 καὶ E^1KS : καὶ ἐν E^2Λ 19 καὶ alt. E^2KΛS : om. E^1 παύεσθαι] παύεται E^2FHIJ^1 20 ἓν τι E^2Λ 21 εἶναι κίνησιν ES : ἀεὶ κίνησιν εἶναι FI : εἶναί τινα κίνησιν K 22 τε] γέ FHK 23 κινεῖ E^2 τὸ E^2FIKS : om. E^1HJ 24 ἑτέρα E^2KΛS : om. E^1 δὲ E^2 26 δὲ] δὲ καὶ K [b] 2 γὰρ] δὲ S συμμεταβάλλειν EFHJKS : συμβάλλειν IT 3 τε EIJKT : om. FH 5 τὸ κινοῦν οὐδεμίαν EKT : οὐδεμίαν τὸ κινοῦν Λ ἐκεῖνο EHKS : ἐκείνου FIJ 6 ᾖ om. F δὲ E^1FIJ^{1}ST 7 ἐν FIJKT : om. HS : punctis notatum in E αἱ EFHJT : om. I : an καὶ? 8 τὰ ΠT : τὸ S 9 κύκλου HKS : ὅλου EFIJT 10 τι E^2ΛS : τὸ E^1K

dirme gücü azaldıkça, devindirme kesilir, ne zaman ki ilk devindiren devindirmeyi bırakır da yalnızca devinir, o zaman son bulur. Ama bunların birinin devindirmesinin, ötekinin devinmesinin ve devinimin bütününün, aynı anda son bulması zorunlu. Bu devinim kimi kez devinmesi kimi kez durması olası olan nesnelerde oluşur ve sürekli değildir, ama öyle görünür, çünkü ya ardışık ya da bitişik olan varlıklara özgüdür, nitekim devindiren tek değildir karşılıklı peşpeşe gelen devindiriciler sözkonusudur. Bunun için havada ve suda, kimilerinin hortum-girdap adını verdikleri bu tür bir devinim oluşur. Ama sorunu dediğimiz tarzdan başka türlü çözmek olanaklı değil. Hortum-girdap her şeyi aynı anda devinir ve devindirir kılar, dolayısıyla aynı anda da son bulur. Ne ki şimdi sürekli olarak devinen tek bir şey görünüyor. Acaba onu devindiren ne? Nitekim kendisi tarafından devindirilmemektedir[102].

Ama madem varolanlarda sürekli bir devinim olması zorunlu, bu devinim tek; tek bir büyüklüğe de ait olması zorunlu (çünkü büyüklüğü olmayan nesne devinemez), madem tek bir şeyin devinimi ve tek bir devindirici tarafından gerçekleştiriliyor (yoksa sürekli olmayacaktır, hep başka bir devinim bir başka devinimi izleyecek ve devinim bölünecektir), o halde devindiren tek ise, o ya devindirildiği için devindirir ya da devinimsiz olmasına karşın devindirir. İmdi devindirildiği için devindiriyorsa, sonuçta onun kendisinin de değişmesi, aynı anda bir şey tarafından devindirilmesi gerekecektir, dolayısıyla duracak ve durum devinmez bir 267b
nesne tarafından devindirilmeye değin gidecektir. Onun ötekilerle birlikte değişmesi zorunlu değil, ama her zaman devindirebilecektir (nitekim bu biçimde devindirmek yorucu bir şey değil) ve bu devinim sabit hızdadır/eşbiçimlidir: ya yalnızca o ya da en çok o öyle, çünkü devindiren hiçbir değişme taşımıyor. Ne ki, devinimin benzer olması için, devinenin de ona göre değişiklik taşımaması gerekir. İmdi devindirenin ya ortada ya da daire üzerinde olması da zorunlu, çünkü ilke olan bunlar. Ama devindiren nesneye en yakın olanlar en hızlı devinir. Dairenin devinimi ise böyle, öyleyse devindiren orada. Ne ki, burada da bir sorun var: acaba devinen bir şeyin, biteviye iterek değil de ardışık olduğu için süreklilik

πάλιν καὶ πάλιν, τῷ ἐφεξῆς εἶναι συνεχῶς· ἢ γὰρ αὐτὸ δεῖ ἀεὶ ὠθεῖν ἢ ἕλκειν ἢ ἄμφω, ἢ ἕτερόν τι ἐκδεχόμενον ἄλλο παρ' ἄλλου, ὥσπερ πάλαι ἐλέχθη ἐπὶ τῶν ῥιπτουμένων, εἰ διαιρετὸς ὢν ὁ ἀὴρ [ἢ τὸ ὕδωρ] κινεῖ ἄλλος ἀεὶ κινούμενος. ἀμφοτέρως δ' οὐχ οἷόν τε μίαν εἶναι, ἀλλ' ἐχομένην. μόνη ἄρα συνεχὴς ἦν κινεῖ τὸ ἀκίνητον· ἀεὶ γὰρ ὁμοίως ἔχον καὶ πρὸς τὸ κινούμενον ὁμοίως ἕξει καὶ συνεχῶς. διωρισμένων δὲ τούτων φανερὸν ὅτι ἀδύνατον τὸ πρῶτον κινοῦν καὶ ἀκίνητον ἔχειν τι μέγεθος. εἰ γὰρ μέγεθος ἔχει, ἀνάγκη ἤτοι πεπερασμένον αὐτὸ εἶναι ἢ ἄπειρον. ἄπειρον μὲν οὖν ὅτι οὐκ ἐνδέχεται μέγεθος εἶναι, δέδεικται πρότερον ἐν τοῖς φυσικοῖς· ὅτι δὲ τὸ πεπερασμένον ἀδύνατον ἔχειν δύναμιν ἄπειρον, καὶ ὅτι ἀδύνατον ὑπὸ πεπερασμένου κινεῖσθαί τι ἄπειρον χρόνον, δέδεικται νῦν. τὸ δέ γε πρῶτον κινοῦν ἀίδιον κινεῖ κίνησιν καὶ ἄπειρον χρόνον. φανερὸν τοίνυν ὅτι ἀδιαίρετόν ἐστι καὶ ἀμερὲς καὶ οὐδὲν ἔχον μέγεθος.

b 11 τῷ] καὶ τῷ H : καὶ τὸ K συνεχῶς Camotiana : συνεχῆ $E^1\Lambda$: συνεχῆς E^2K γὰρ τὸ αὐτὸ ut vid. PS 12 δεῖ ἀεὶ] δεῖ HIJPS : δὴ F ἄλλου F 13 ὡς καὶ πάλαι H εἰ διαιρετὸς KS : αιρετος E^1 : εἰ δὲ διαιρετὸς $E^2\Lambda$ 14 ὢν $E^2K\Lambda S$: γὰρ ὢν E^1 ἢ τὸ ὕδωρ seclusi : habent $E^2K\Lambda$ et ut vid. P : καὶ τὸ ὕδωρ E^1S ἄλλος FS : ἄλλως E^1P : ἀλλ' ὡς HIJ : ἄλλον E^2K κινούμενον P 16 μόνη EHIJS : μένει FK κινητὸν E^1 17 ἕξει $K\Lambda S$: ἥξει E 18 τὸ τὰ E^1 19 ἔχειν] ὂν ἔχειν H τὸ E^1 γὰρ] γὰρ τὸ E^1 21 πρότερον δέδεικται F 22 ἄπειρον δύναμιν FHI 23 ὑπὸ] ἐστιν ὑπὸ FK 24 νῦν] τὰ νῦν H δὲ τὸ E^1 : τό K κίνησιν κινεῖ H

kazanan bir devinim gerçekleştirmesi olası mı? Nitekim ya onun hep itmesi, çekmesi veya ikisini birden yapması gerekir; ya da atılan nesnelerle ilgili olarak daha önce söylediğimiz gibi[103], hava <ya da su> bölünür olduğu için hep başka bir parçası devindiğinden ötürü devindiriyorsa, başka bir devindiriciden sonra hep başka bir devindiriciden gelen devinimini alan değişik bir şey mi olmalı? Heriki durumda da devinimin tek olması olanaklı değil, ancak ardışık olması olanaklı. Demek ki yalnızca, devinmeyen nesnenin gerçekleştirdiği devinim sürekli olabilir, çünkü o hep aynı şekilde bulunduğundan, devinen nesneye göre de hep aynı şekilde olacaktır ve bu sürekli biçimde olacaktır. Bunlar belirlendikte şu açık: ilk devinmeyen devindiricinin bir büyüklük taşıması olanaksız. Çünkü bir büyüklüğü olsa, onun ya sınırlı ya da sonsuz olması zorunlu olur: sonsuz büyüklüğün varolmasının olası olmadığını Fizik derslerinde daha önce göstermiştik. Sınırlı olanın sonsuz güç taşımasının olanaksız olduğunu ve bir şeyin sonsuz zaman boyunca sınırlı bir nesne tarafından devindirilmesinin olanaksız olduğunu da az önce gösterdik. Oysa ilk devindirici ebedi bir devinimle sonsuz zaman boyunca devindirir. Öyleyse şu açık: o bölünemez, parçası yoktur, hiçbir büyüklük taşımaz.

10. 267b 11 — 1. 242a 15

H (textus alter)

1 Απαν τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι. εἰ μὲν οὖν ἐν αὐτῷ μὴ ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, φανερὸν ὅτι ὑφ' ἑτέρου κινεῖται (ἄλλο γὰρ ἔσται τὸ κινοῦν)· εἰ δ' ἐν αὐτῷ, εἰλήφθω ἐφ' οὗ τὸ AB, ὃ κινεῖται μὴ τῷ τῶν τούτου τι κινεῖσθαι. πρῶτον μὲν οὖν τὸ ὑπολαμβάνειν τὸ AB ὑφ' αὑτοῦ κινεῖσθαι διὰ τὸ ὅλον τε κινεῖσθαι καὶ ὑπὸ μηθενὸς τῶν ἔξωθεν ὁμοίου ἐστὶν ὥσπερ ἂν εἴ τις τοῦ ΔΕ κινοῦντος τὸ ΕΖ καὶ αὐτοῦ κινουμένου ὑπολαμβάνοι τὸ ΔΕΖ ὑφ' αὑτοῦ κινεῖσθαι, διὰ τὸ μὴ συνοραν πότερον ὑπὸ ποτέρου κινεῖται, πότερον τὸ ΔΕ ὑπὸ τοῦ ΕΖ ἢ τὸ ΕΖ ὑπὸ τοῦ ΔΕ. ἔτι τὸ ὑφ' αὑτοῦ κινούμενον οὐδέποτε παύσεται κινούμενον τῷ ἕτερόν τι στῆναι κινούμενον. ἀνάγκη τοίνυν, εἴ τι παύεται κινούμενον τῷ ἕτερόν τι στῆναι, αὐτὸ ὑφ' ἑτέρου κινεῖσθαι. τούτου δὲ φανεροῦ γενομένου ἀνάγκη πᾶν τὸ κινούμενον κινεῖσθαι ὑπό τινος. ἐπεὶ γὰρ εἴληπται τὸ AB κινούμενον, διαιρετὸν ἔσται· πᾶν γὰρ τὸ κινούμενον διαιρετὸν ἦν. διῃρήσθω τοίνυν ᾗ τὸ Γ. ἀνάγκη δὴ τοῦ ΓΒ ἠρεμοῦντος ἠρεμεῖν καὶ τὸ AB. εἰ γὰρ μή, εἰλήφθω κινούμενον. τοῦ τοίνυν ΓΒ ἠρεμοῦντος κινοῖτο ἂν τὸ ΓΑ. οὐκ ἄρα καθ' αὑτὸ κινεῖται τὸ AB. ἀλλ' ὑπέκειτο καθ' αὑτὸ κινεῖσθαι πρῶτον. δῆλον τοίνυν ὅτι τοῦ ΓΒ ἠρεμοῦντος ἠρεμήσει καὶ τὸ ΒΑ, καὶ τότε παύσεται κινούμενον. ἀλλ' εἴ τι τῷ ἄλλο ἠρεμεῖν ἴσταται καὶ παύεται κινούμενον, τοῦθ' ὑφ' ἑτέρου κινεῖται. φανερὸν δὴ ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται· διαιρετόν τε γάρ ἐστιν πᾶν τὸ κινούμενον, καὶ τοῦ μέρους ἠρεμοῦντος ἠρεμήσει καὶ τὸ ὅλον.

Tit. *περὶ κινήσεως τῶν εἰς ϗ τὸ ᾱ α* : ζη. E : *φυσικῆς ἀκροάσεως ζ^ον* H : *φυσικῶν ἑβδομον* I 241b 24 *οὖν*] *γάρ* Aldina 26 *ἄλλο . . . κινοῦν* om. HIJK 27–8 ὃ . . . AB om. I : ὃ om. E 27 *κινεῖται*] *κινεῖται καθ' αὑτὸ ἀλλὰ* F *τῷ μὴ* H : *μὴ* EP 28 *ἑαυτοῦ* FHK : *ου το* E *διὰ . . .* 29 *κινεῖσθαι* om. J 30 *ἂν* om. E 31 *ὑπολαμβάνει* K Δ om. E 32 *πότερα τὸ* E¹HJ 33 *τὸ*] *ὑπὸ τοῦ* E¹ ΕΖ] *ζε* K 242a 2 *κινούμενον* an omittendum? *παύσεται* E 3 *αὐτὸ* Spengel: *αὐτοῦ* E: *τοῦθ'* ΚΛ *δὲ* scripsi: *γὰρ* H 4 *γινομένου* FHJK *κινούμενον διαιρετὸν κινεῖσθαι* E 6 *ᾗ*] *εἰς* E²H 7 *βγ* FHIK 8 *βγ* ΚΛ 10 *πρῶτον*] *καὶ πρῶτον* Spengel *βγ* FK 12 *εἴ τι*] *ὅτι* K 13 *δὴ διότι* E¹JK 15 *καὶ* alt. om. ΚΛ

Yedinci Kitap (textus alter)

1 Her devinen nesnenin 'bir şey' tarafından devindirilmesi zorunlu. İmdi nesne, devinim ilkesini kendinde taşımıyorsa başka bir şey tarafından devindirilmektedir, bu açık (devindiren nesne başka bir şey olacak). Ama [devinme ilkesini] kendinde taşıdığını düşünsek: AB, parçalarından biri açısından değil, 'kendisi' açısından devinen nesne olarak alınsın: ilkin AB'nin, bütün olarak devindiğinden ve hiçbir dış nesne tarafından devindirilmediğinden ötürü kendisi tarafından devindirildiğini [kendi kendine devindiğini] kabul etmek; DE, EF'yi devindirdiği ve kendisi devindiği için, hangisi hangisi tarafından devindiriliyor, acaba DE mi EF tarafından, yoksa EF mi DE tarafından devindiriliyor, bu görülemediğinden ötürü, DEF'nin kendisi tarafından devindirildiğini kabul etmeye benzer. Öte yandan kendisi tarafından devindirilen nesne, hiçbir zaman devinen başka bir nesnenin durması yüzünden devinmekten kesilmeyecektir. Kaldı ki şu zorunlu: bir nesne başka bir nesnenin durması yüzünden devinmekten kesiliyorsa, o nesne 'başka bir nesne tarafından devindirilen bir nesne'dir. Bu açık ise devinen her nesnenin 'bir şey' tarafından devindirilmesi zorunlu. Nitekim madem AB devinen nesne olarak alındı, o 'bölünebilir' olacak, çünkü her devinen nesnenin bölünebilir olduğunu söylemiştik[104]. Diyelim ki [AB], C ile bölünsün. CB durmaktaysa AB'nin de duruyor olması zorunlu, çünkü duruyor olmasa, devinen bir şey olarak kabul edilecek! CB dururken CA devinecek, dolayısıyla AB 'kendi başına, kendinde' devinmiş olmayacak. Oysa onun doğrudan kendinde devindiğini kabul etmiştik. Demek ki şu açık: CB duruyorsa BA da duracaktır ve [tam] o zaman devinim son bulacaktır. Ama bir nesne başka bir nesnenin durması yüzünden durursa ve devinmekten kesilirse, o nesne 'başka bir şey tarafından devindiriliyor' demektir. Öyleyse şu açık: her devinen nesne 'bir şey tarafından' devindirilir. Çünkü devinen her nesne 'bölünebilir' bir nesnedir ve parçası durduğunda bütün de duracaktır.

15 ἐπεὶ δὲ τὸ κινούμενον ὑπό τινος κινεῖται, ἀνάγκη καὶ τὸ κινούμενον πᾶν ἐν τόπῳ κινεῖσθαι ὑπ' ἄλλου· καὶ τὸ κινοῦν τοίνυν ὑφ' ἑτέρου, ἐπειδὴ καὶ αὐτὸ κινεῖται, καὶ πάλιν τοῦτο ὑφ' ἑτέρου. οὐ δὴ εἰς ἄπειρον πρόεισιν, ἀλλὰ στήσε-
20 ταί που καὶ ἔσται τι ὃ πρώτως αἴτιον ἔσται τοῦ κινεῖσθαι. εἰ γὰρ μή, ἀλλ' εἰς ἄπειρον πρόεισιν, ἔστω τὸ μὲν Α ὑπὸ τοῦ Β κινούμενον, τὸ δὲ Β ὑπὸ τοῦ Γ, τὸ δὲ Γ ὑπὸ τοῦ Δ· καὶ τοῦτον δὴ τὸν τρόπον εἰς ἄπειρον προβαινέτω. ἐπεὶ οὖν ἅμα τὸ κινοῦν καὶ αὐτὸ κινεῖται, δῆλον ὡς ἅμα κινήσεται
25 τό τε Α καὶ τὸ Β· κινουμένου γὰρ τοῦ Β κινηθήσεται καὶ τὸ Α· καὶ τὸ Β δὴ κινουμένου τοῦ Γ καὶ τὸ Γ τοῦ Δ. ἔσται τοίνυν ἅμα ἥ τε τοῦ Α κίνησις ⟨καὶ τοῦ Β⟩ καὶ τοῦ Γ καὶ τῶν λοιπῶν ἑκάστου. καὶ λαβεῖν τοίνυν αὐτῶν ἑκάστην δυνησόμεθα. καὶ γὰρ εἰ ἕκαστον ὑφ' ἑκάστου κινεῖται, οὐθὲν ἧτ-
30 τον μία τῷ ἀριθμῷ ἡ ἑκάστου κίνησις, καὶ οὐκ ἄπειρος τοῖς ἐσχάτοις, ἐπειδήπερ τὸ κινούμενον πᾶν ἔκ τινος εἴς τι κινεῖται. ἡ γὰρ ἀριθμῷ συμβαίνει τὴν αὐτὴν κίνησιν εἶναι ἢ γένει ἢ εἴδει. ἀριθμῷ μὲν οὖν λέγω τὴν αὐτὴν κίνησιν τὴν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ τῷ ἀριθμῷ ἐν τῷ αὐτῷ χρόνῳ
242[b] τῷ ἀριθμῷ, οἷον ἐκ τοῦδε τοῦ λευκοῦ, ὅ ἐστιν ἓν τῷ ἀριθμῷ, εἰς τόδε τὸ μέλαν κατὰ τόνδε τὸν χρόνον, ἕνα ὄντα τῷ ἀριθμῷ· εἰ γὰρ κατ' ἄλλον, οὐκέτι μία ἔσται τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει. γένει δ' ἡ αὐτὴ κίνησις ἡ ἐν τῇ αὐτῇ
5 κατηγορίᾳ τῆς οὐσίας ἢ τοῦ γένους, εἴδει δὲ ἡ ἐκ τοῦ αὐτοῦ τῷ εἴδει εἰς τὸ αὐτὸ τῷ εἴδει, οἷον ἡ ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν ἢ ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ κακόν. ταῦτα δ' εἴρηται καὶ
8 ἐν τοῖς πρότερον.

8 εἰληφθω τοίνυν ἡ τοῦ Α κίνησις καὶ ἔστω

[a] 16 δὲ πᾶν τὸ κινούμενον F: δὲ τὸ κινούμενον πᾶν HIJK 17 ὑπό τινος ἄλλου κινεῖσθαι ἐν τόπῳ I 18–19 ἐπειδὴ . . . ἑτέρου om. E 19 οὐ δή] οὐκ H 20 ὃ om. E 21 ἀλλ' om. F²HK 25 τὸ om. F γὰρ καὶ τοῦ E 26 καὶ τοῦ β ΚΛ τοῦ . . . τοῦ Spengel: τὸ γ καὶ τοῦ γ τὸ Π 27 καὶ τοῦ β Aldina: om. Π 28 καὶ] καὶ τοῦ E¹ αὐτῶν ἕκαστον IJK: ἕκαστον αὐτῶν FH 29 κινεῖται ὑφ' ἑκάστου H: ὑφ' ἑκάστου ἀεὶ κινεῖται I 30 ἡ om. E ἄπειροι EJ: ἄπειρον FK 33 τὴν αὐτὴν] μίαν E²I 34 τῷ pr.] τῷ αὐτῷ E [b] 1 ἀριθμῷ γινομένην, οἷον ΚΛ τῷ om. E²: τ' E¹ 2 τὸ om. E¹ τόνδε τὸν] δὲ τὸν EHJ: τὸν τόνδε F 3 ἄλλο EHJ 4 ἡ pr. om. I 6 εἰς] κατὰ F τὸ om. H τοῦ] τοῦ αὐτοῦ EI εἰς] ἡ εἰς E 7 δὲ διήρηται E²: διηρηται E¹

